BIBLIOTHECA

SCRIPTORVM GRAECORVM ET ROMANORVM

TEVBNERIANA

DIOGENIS LAERTII
VITAE PHILOSOPHORVM

VOL. II
EXCERPTA BYZANTINA
ET INDICES

EDIDIT

MIROSLAV MARCOVICH

STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MIM

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Diogenes <Laertius>:
[Vitae philosophorum] Diogenis Laertii Vitae philosophorum /
ed. Miroslav Marcovich. –/
Stutgardiae ; Lipsiae : Teubner
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
Vol. 2. Excerpta Byzantina. – 1999
ISBN 3-519-01317-7

Printed in Germany
Druck und Bindung: Druckhaus „Thomas Müntzer" GmbH, 99947 Bad Langensalza

CONSPECTUS

1. SOPATER APAMEENSIS

Photii *Bibl.* cod. 161. Ἀνεγνώσθη Ἐκλογαὶ διάφοροι ἐν βίβλοις ιβʹ Σωπάτρου σοφιστοῦ. Συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμ-
5 μάτων.

[p. 103 b 33] Ὁ δὲ ἕκτος αὐτῷ ... λόγος ... Σύγκειται [p. 104 a 1] δὲ αὐτῷ ... καὶ ἐκ τῶν Λαερτίου Διογένους Φιλοσόφων βίων βιβλίου πρώτου καὶ πέμπτου, ἐνάτου τε καὶ δεκάτου· ἐν οἷς τὰ περὶ τῶν φιλοσόφων διέξεισιν,
10 ὅθεν τε τὸ φιλοσοφίας ἱερὸν χρῆμα τὴν ἀρχὴν ἔφυ, καὶ ὅπως ἤκμασε, τίνες τε τίνων αἱρέσεων ἀρχηγοὶ καὶ προστάται κατέστησαν, τίνας τε ἔσχον ἐραστὰς καὶ τίνας ἀντιτέχνους τινές, ποῖόν τε ἕκαστος αὐτῶν ἐπεδείκνυτο ἦθος, καὶ πόθεν εἷλκε τὸ γένος, καὶ οἷον τὸ ἐξ ἀρχῆς
15 ἐπιτήδευμα, καὶ πότε καιροῦ ἤκμασε.

2. *Suda*

SIGLA

A Parisini gr. 2625 (s. XIII et XIV) et 2626 (s. XII)
F Laurentianus 55.1, a. 1422 exaratus
V Vossianus Bibl. Lugdunensis 2 Fol., s. XII

G Parisinus gr. 2623, s. XV
I Angelicanus 75, s. XV
T Vaticanus gr. 881, a. 1434 finitus

B Parisinus gr. 2622, s. XIII
M Marcianus 448, s. XIII

EDITIONES

Chalcondyles	Ed. pr. Demetrii Chalcondylis, Mediolani, 1499
Portus	ed. Aemilii Porti, Coloniae Allobrogum, 1629, et Genavae, 1630
Kuster	ed. L. Kusteri, Parisiis, 1700
Gaisford	ed. Th. Gaisford, Oxonii, 1834 (tomi tres)
Bernhardy	ed. G. Bernhardy, Halis et Brunsvigiae, 1853 (tomi quattuor)
Adler	ed. Adae Adler, partes I–V, Lipsiae, in aedibus B.G. Teubneri, 1928–1938 (cf. V, pp. 216–278)

2. *SUDA*

1542 Δ ρ υ ΐ δ α ι: παρὰ Γαλάταις οἱ φιλόσοφοι καὶ σεμνόθεοι. **1.1**

283 Ὦ χ ο ς, φιλόσοφος παρὰ Φοίνιξι, Ζάμολξις παρὰ Θρᾳξίν, Ἄτλας παρὰ Λίβυσιν.

5 28 Μ ά γ ο ι: παρὰ Πέρσαις οἱ φιλόσοφοι καὶ φιλόθεοι· ὧν ἦρχε Ζωροάστρης καὶ μετὰ τοῦτον κατὰ διαδοχὴν Ὀστᾶναι καὶ Ἀστράμψυχοι. **2**

710 Ὀ σ τ ᾶ ν α ι· οὗτοι πρῴην παρὰ Πέρσαις Μάγοι ἐλέγοντο, κατὰ διαδοχὴν Ὀστᾶναι.

10 806 Σ ο φ ί α· καὶ σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος, ὃς ἂν εἴη κατὰ ἀκρότητα ψυχῆς ἀπηκριβωμένος, φιλόσοφος δὲ ὁ σοφίαν ἀσπαζόμενος. **12**

3853 Ἐ φ ε κ τ ι κ ο ί: φιλόσοφοί τινες. Παρὰ τὸ ἐπέχειν περὶ τῶν πραγμάτων καὶ δογματίζειν αὐτὰ 15 ἀκατάληπτα. **16**

286 Α ἵ ρ ε σ ι ς: (20) ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα ἢ δοκοῦσα ἀκολουθεῖν. (19) Ἱππόβοτος δὲ θ΄ φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγάς· α΄ Μεγαρικήν, Ἐρετριακήν, Κυρηναϊκήν, Ἐπι-20 κούρειον, Ἀννικέρειον, Θεοδώρειον, Ζηνώνειον, τὴν καὶ **19–21**

1 Zon(aras) 569 ed. Tittmann **13–15** Zon. 926 **18–19** cf. *Suda*, 554 Ἱππόβοτος

5–6 καὶ φιλόθεοι om. DL **6** ἦρχε : ἄρξαι DL **11** ἂν εἴη : εἴη ἂν DL **14** καὶ – **15** ἀκατάληπτα : ὡς ἀκαταλήπτων DL **19–p. 8.1** πρώτην ... δευτέραν ... usque ad ἐνάτην περιπατητικήν DL

Στωϊκήν, Ἀκαδημαϊκήν, Περιπατητικήν· οὔτε δὲ Κυνικήν, οὔτε Ἠλιακήν, οὔτε Διαλεκτικήν. (20) Τὴν γὰρ Πυρρώνειον οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν. Εἰ γὰρ αἵρεσιν νοοῖμεν πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις 5
ἡ Πυρρώνειος· οὐ γὰρ ἔχει δόγματα.

(21) Ἔτι δὲ καὶ Ἐκλεκτ⟨ικ⟩ή τις ⟨αἵρεσις⟩ εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. Κριτήρια δέ φησιν εἶναι τἀληθῆ· τὸ μὲν ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι τὸ 10
ἡγεμονικόν· τὸ δὲ ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. Ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν, †ποίησιν† τε καὶ τόπον· ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ ποίῳ καὶ ἐν ᾧ. Τέλος δὲ εἶναι ἐφ' ᾧ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ 15
σώματος κατὰ φύσιν καὶ τῶν ἐκτός.

26 295 Θ ε τ ό ν: εἰσποιητόν, οὐ γνήσιον. Θαλῆν τὸν φιλόσοφον μὴ γήμαντα τῆς ἀδελφῆς τὸν υἱὸν θέσθαι.

45, 51, 61–63 776 Σ ό λ ω ν Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. Γέγονε δὲ ἐπὶ τῆς μζ' Ὀλυμ- 20
πιάδος, οἱ δὲ μς'. Ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου

17 cf. *Suda,* 312 Εἰσποιητόν; Zon. 1036 **19–p. 5.9** cf. Schol. in Plat. *Rem publ.* 10, 599 e Σόλωνα

1 ἀκαδημαϊκὴν τὴν ἀρχαίαν DL **4** γὰρ : δὲ DL | πρόσκλισιν (: πρόσκλησιν **A** $\mathbf{V}^{a.c.}$ **M**) ἐν δόγμασιν *Suda* : πρόσκλησιν ἐν δόγμασιν DL F^1 P^4 : πρόσκλισιν δόγμασιν B : πρόσκλισιν νοήμασιν P^1 F^2 γρ. **7** ἐκλεκτ⟨ικ⟩ή Chalcondyles ex DL : ἐκλεκτή *Suda* | αἵρεσις supplevi ex DL **8** ἀρέσαντα *Suda* et DL BP : ἀρέσκοντα DL F **9** ἐξ om. *Suda* **G I T** et DL B **10** τἀληθῆ : τῆς ἀληθείας DL **13** ποιοῦν *Suda* et DL B : ποιόν DL PF | ποίησιν *Suda* et DL : ποιότητα recte Menag. **14** ποίω *Suda* et DL BP^1 ut vid. : ποῦ DL FP^2 | ᾧ *Suda* et DL BF : ὃ DL P **21** μς' Bernhardy ex DL 1.62 : νς' *Suda*

τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὑτοῦ. Οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ.
Ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες Ἄξονες ὠνομά-
5 σθησαν διὰ τὸ ⟨ἐγ⟩γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι· ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται· Ὑποθήκας δι' ἐλεγείας· καὶ ἄλλα. Ἔστι δὲ καὶ οὗτος εἷς τῶν ζ´ ὀνομαζομένων σοφῶν. Καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε· Μηδὲν ἄγαν· ἢ τό· Γνῶθι σαυτόν.

10 457 Ὑ π ο β ο λ ή: ὁμοιότης, προσθήκη. Σόλων δὲ τὰ Ὁμήρου ἐξ ὑποβολῆς ἔγραψε ῥαψῳδεῖσθαι· οἷον ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον [στίχον]. **57**

311 Χ ί λ ω ν, Χίλωνος ⟨ἢ⟩ Δαμαγήτου, Λακεδαιμόνιος, εἷς τῶν ἑπτὰ σοφῶν. Ὃς ἦν βραχυλόγος· ὅθεν Ἀρι-
15 σταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ. **68, 72**

1659 Π ι τ τ α κ ό ς, Μιτυληναῖος, υἱὸς Καϊκοῦ ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. Οὗτος γέγονε κατὰ τὴν λβ´ Ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ζ´ σοφῶν.
20 Ἔγραψε νόμους καὶ τῇ μβ´ Ὀλυμπιάδι Μελάγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε καὶ Φρύνωνα, στρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου, μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. Γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη· "Ὡς χαλεπὸν ἐσθλὸν
25 ἔμμεναι." Τούτου ἀπόφθεγμα· Καιρὸν γνῶθι. Ἐποίησε δὲ **74, 79**

1–3 cf. *Suda*, 781 Σόλοι **4–6** cf. *Suda*, 2833 Ἄξονες **9** cf. DL 1.40; *Suda*, 333 Γνῶθι σαυτόν **13** Χίλωνος cf. *Lex. Ambros.* 241 **17–18** cf. *Suda*, 663 Ὕρρα παῖς **24–25** cf. p. 6.4 et *Suda*, 16 Χαλεπὰ τὰ καλά

5 ⟨ἐγ⟩γραφῆναι scripsi e *Suda*, 2833 Ἄξονες : γραφῆναι *Suda* **7** ἐλεγείας *Suda* (cf. 136 Θέογνις) et Schol. Plat. : ἐλεγείων **V** **11** ἔγραψε : γέγραφε DL **12** στίχον **A (V)**, delevi : om. **G** et DL **13** ἢ addidi

καὶ ἐλεγεῖα ἔπη χʹ, καὶ ὑπὲρ νόμων καταλογάδην.

76 1658 Π ι τ τ ά κ ε ι ο ν: ... Καὶ Σιμων⟨ίδης⟩ φησί· "Ἄνδρ' ἀγαθὸν ἀλαθέα γενέσθαι χαλεπόν, τὸ Πιττάκειον." Εἴρηκε γὰρ ὁ Πιττακός· "Χαλεπὸν ἐσθλὸν ἔμμεναι."

80 4305 Ἄ τ τ α: ... 5

"Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γένεϊ κατ' ἐμέ·
ἡ δ' ἑτέρη προβέβηκε. Τί λῷον; Εἰ δ' ἄγε, σύμ μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω."

236 Β έ μ β η ξ: ... 10

Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.

81 118 Σ α ρ ά π ο υ ς· οὕτως ἐκάλει Ἀλκαῖος Πιττακὸν τὸν φιλόσοφον διὰ τὸ πλατύπουν εἶναι καὶ σύρειν τὼ πόδε· χειροπόδην δὲ διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς 15 χειράδας ἐκάλουν· γαύρικα δὲ ὡς εἰκῇ γαυριῶντα· φύσκωνα δὲ καὶ γάστρωνα διότι παχὺς ἦν· ἀλλὰ μὴν καὶ ζοφοδορπίδα, ὡς ἄλυχνον· ἀγασύραστον δέ, ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν.

83 1569 Π ι ή ν α ν τ α: ... Ἀλυάττου πολιορκοῦντος 20 Πριήνην, τὸν Βίαντα τὸν σοφὸν πιήναντα δύο ἡμιόνους

6–9 et **11–12** Callim. *Epigr.* 1 Pfeiffer = *Anth. Pal.* 7.89.3–6 et 9–10; *Plan.* **13–19** *PLF* Fr. 429 Lobel-Page

1 post καταλογάδην addit τοῖς πολίταις DL **2** Σιμων⟨ίδης⟩ Allatius ex DL : σίμων *Suda* **3** ἀλαθέα : ἀλαθέως DL P (ἀληθέως F[3] : ἀλλὰ θεὸς B) **7** γένεϊ *Suda* et Φ 13 : γενεῇ DL et *Anth.* **11** βέμβηκας : βέμβεικας DL B : βέμβικας DL PF, Φ et *Anth.* **14** σύρειν : ἐπισύρειν DL **16** γαύρηκα DL B | δὲ scripsi ex DL : τε *Suda* **17** διότι : ὅτι DL et Plut. (*Qu. conviv.* 8.6.3, 726 B) **18** ἀγασύραστον : ἀγάσυρτον DL **21** πιάναντα Φ 14

ἐξελάσαι εἰς τὸ στρατόπεδον· τὸν δὲ συνιδόντα καταπλαγῆναι τὸ μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθηνίαν. Καὶ ἐβουλήθη σπείσασθαι καὶ εἰσέπεμψεν ἄγγελον.

2464 Κρόμμυα ἐσθίειν: ἴσον τῷ κλαίειν·
5 Ἀλυάττῃ γὰρ πέμψαντι πρὸς Βίαντα τὸν σοφόν, ἵνα θᾶττον παρ' αὐτὸν ἥκοι, "Ἐγώ," φησίν, "Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν."

270 Βίαντος Πριηνέως δίκη: ... Λέγεται δὲ εἰς τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' **84**
10 ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ ἐχρῆτο. Ἱππῶναξ· "Δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρείσσων."

1719 Κλεόβουλος Εὐαγόρου Λίνδιος, εἷς τῶν **89** ἑπτὰ ὀνομαζομένων σοφῶν, ῥώμῃ καὶ κάλλει διαφέρων τῶν κατ' αὐτόν, μετέσχε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας.
15 Ἐγένετο δὲ αὐτῷ θυγάτηρ Κλεοβουλίνη, ἑξαμέτρων αἰνιγμάτων ποιήτρια. Οὗτος ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια.

Τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε· "Ἀμουσία **91** τὸ πλέον μέρος ἐν βροτοῖσιν." Ἔλεγέ τε τὸν φίλον δεῖν
20 εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος· τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν.

Εὐτυχῶν μὴ ἔσο ὑπερήφανος· ἀπορήσας μὴ ταπεινοῦ. **93** Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

11 = *Suda,* Δ 1055; Hipponactis Fr. 123 West

1 συνιδόντα *Suda* et DL : ἰδὼν Φ **2** τὸ *Suda* et Φ : om. DL | εὐθηνίαν *Suda* et Φ : εὐθένειαν DL P : εὐθενείαν B : εὐσθένειαν F[3] **6** ἐγώ : ἔγωγε **V** : ἐγὼ δέ DL et Φ **7** post ἐσθίειν addunt DL et Φ ἴσον τῷ κλαίειν (cf. v. 4) **9** εἰς : καὶ DL **11** καὶ δικάζεσθαι DL | πριηνέος DL B | κρεῖσσον DL **14** τῶν κατ' αὐτὸν om. DL **15–16** αἰνιγμάτων ἑξαμέτρων DL **16** ἔγραψεν : ἐποίησεν DL et Φ **22** ἔσο *Suda* et Φ : ἴσθι DL

Ἐτελεύτησε δὲ γηραιός, ἔτη βιοὺς ο΄. Ἀπεφήνατο· "Πάντων μέτρον ἄριστον." Καὶ Σόλωνι ἐπέστειλεν οὕτω· "Πολλοὶ μέν τινές εἰσιν ἑταῖροι καὶ οἶκος πάντη· φαμὶ δ' ἐγὼ ποτνιωτάταν ἔσεσθαι Σόλωνι τὰν Λίνδον· δαμοκρατεῖν μὲν οὖν, καὶ ἁ νᾶσος πελαγία." 5

91 1718 Κ λ ε ο β ο υ λ ί ν η, Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ. Ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδόμενον εἰς τὸν ἐνιαυτὸν αἴνιγμα, οὗ ἡ ἀρχή·

> Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα. Τῶν δὲ ἑκάστῳ
> παῖδες ⟨*⟩ τριάκοντα. 10

94 447 Ὑ π ο β ά θ ρ α ν: ... Χρόνῳ δὴ ὕστερον ὑποβάθρῳ λακτίσας τὴν γυναῖκα ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδος [sc. Περίανδρος].

97 1067 Π ε ρ ί α ν δ ρ ο ς Κυψέλου Κορίνθιος, τῶν ζ΄ σοφῶν ... Ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον 15 ἔπη ͵β΄. Οὗτός ἐστι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀπο-

9–10 Φ 15; *Anth. Pal.* 14.101; Stob. *Flor.* 1.8.37

1 ἀπεφήνατο *Suda* et DL : ἀπεφθέγξατο *Frob.* | πάντων om. DL et Stob. (3.1.172 α) **3** τινές τοι DL F[3] | εἰσιν *Suda* et DL BP[1] : ἔασιν F[3]P[5] | ἑταῖροι *Suda* et DL P[1] : ἕτεροι B : ἑτάροι F[3] | πάντη : παντὶ DL **4** ποτνιωτάταν *Suda* et DL F : ποτανιω|ταταταν B : πο . . . . . τάταν P[1], ποτ' ἀνϊωτάταν P[4] | ἐσεῖσθαι DL **4–5** δαμοκρατεῖν μὲν οὖν : δαμοκρατειμέναν DL B : δαμοκρατεομέναν PF[3] **9** δὲ δυώδεκα *Suda* et DL BP : δυώδεκα Φ et Stob. : δυοκαίδεκα DL F[3] et *Anth.* (δυωκαίδεκα) | ἑκάστη *Anth.* **10** παῖδες : κοῦραι Stob. | τριάκοντα vel τριήκοντα *Suda*, DL, Φ et *Anth.* : ⟨δὶς⟩ τριάκοντα Gudius : ἑξήκοντα Stob. **11** ὕστερον om. DL **13** παλλακίδων DL **15** ἔγραψεν : ἐποίησε DL | εἰς τὸν ἀνθρώπειον βίον om. DL **16** ͵β΄ **G M** : δισχίλια DL : μ΄ **A**

θανών, ὡς καὶ τὸ ἐπ' αὐτῷ ἐπίγραμμα μαρτυρεῖ, οὕτως ἔχον·

Μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
5 Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
οὕνεκεν οὐκ ἔτυχε πρήξιος ἧς ἔθελεν.

854 Δ ί γ λ ω σ σ ο ς: ... Ἀνάχαρσις Σκύθης ἦν, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν· ὃς ἔθηκεν νόμους Σκύθαις. **101**

10 1480 Μ ύ σ ω ν α τὸν Χηνέα. **107**

908 Δ ι ε κ π α τ ῆ σ α ι: ... Λέγουσιν Ἐπιμενίδην χρόνον τινὰ διεκπατῆσαι ἀσχολούμενον περὶ ῥιζοτομίαν. **112**

529 Χ ρ ο ῒ δ ῆ λ α· ὅτι Φερεκύδην τὸν σοφόν φασι φθειριάσαντα τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παρα-
15 γενομένου καὶ πυνθανομένου πῶς διακείοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν· "Χροῒ δῆλα." Καὶ τὸ ἐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι. **118**

20 597 Θ υ ω ρ ό ς: ... Ἔλεγε Φερεκύδης ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν. **119**

346 Γ ν ώ μ ω ν: ... Ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων. **2.1**

3–6 Φ 16; *Anth. Pal.* 7.620 **7–9** cf. *Suda,* 704 Σκύθης **13** cf. *Suda,* 215 Φερεκύδης **20–21** 7 B 12 DK = F 74 Schibli **22–23** cf. *Suda,* 241 Ἡλιοτρόπιον

12 τινὰ scripsi ex DL et Φ 19 : ἕνα *Suda* **22** ἐφεῦρεν : εὗρε DL et Φ 21 | post Ἀναξίμανδρος addunt DL et Φ 21 πρῶτος

3 1988 Ἀ ν α ξ ι μ έ ν η ς Εὐρυστράτου Μιλήσιος, φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου· οἱ δὲ καὶ Παρμενίδου ἔφασαν. Γέγονεν ἐν τῇ νε΄ Ὀλυμπιάδι ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν. 5

15, 8 1378 Μ ύ δ ρ ο ς: ...

Ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν
καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας ...

Οὗτος ὁ φιλόσοφος τὸν ἥλιον μύδρον ἔλεγεν εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου. 10

107 Μ α λ θ α κ ό ν: ... ὁ δ' αὐτὸν | ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης.

8 310 Ὁ μ ο ι ο μ έ ρ ε ι α. Ἀναξαγόρας ὁ φιλόσοφος ἔλεγε τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους καὶ φάραγγας. Ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν 15 ψηγμάτων λέγομεν τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερειῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι.

9 102 Ἔ γ κ λ ι σ ι ς· Ἀναξαγόρας φησὶν ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. 20

18 Γ α λ α ξ ί α ς: τὸ ἐν τῷ οὐρανῷ φῶς· ὅπερ ἐστὶν ἀνάκλασις φωτὸς †ἡλιακοῦ† μὴ καταλαμπομένων τῶν ἀστέρων.

16 4084 Ἀ ρ χ έ λ α ο ς Ἀπολλοδώρου ἢ Μίδωνος, Μιλήσιος, φιλόσοφος φυσικὸς τὴν αἵρεσιν κληθείς, ὅτι ἀπὸ 25

7–8 *Anth. Pal.* 7.95.1–2 **9–10** cf. *Suda*, 1981 Ἀναξαγόρας **11–12** *Anth. Pal.* 7.95.3–4 **18–20** Zon. 600

14 ἔχειν, ἀλλὰ DL : ἀλλὰ om. *Suda* et Φ 23 **16** λέγομεν *Suda* : λεγομένων DL et Φ **17** ὁμοιομερειῶν **A M**, DL B et Φ 23 : ὁμοιομερῶν **G** et DL PF[3] **22** ἡλιακοῦ *Suda*, DL et Φ : ⟨τῶν ὑπὸ⟩ *Aldobr.* et ἡλίου V.d. Muehll

Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν· Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου, τοῦ δὲ μαθητὴς Σωκράτης ... Συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ.

5 829 Σ ω κ ρ ά τ η ς Σωφρονίσκου λιθοξόου καὶ μητρὸς Φαιναρέτης μαίας· πρότερον γενόμενος λιθοξόος, ὥστε καί φασιν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδεδυμένας Χάριτας· εἶτα φιλοσοφήσας διὰ τὸ ἀκοῦσαι Ἀναξαγόρου τοῦ Κλαζομενίου, εἶτα Δάμωνος, εἶτα Ἀρχελά-
10 ου. Εἰς δὲ ἄνδρας ἐλθὼν ἐστρατεύσατο εἴς τε Ἀμφίπολιν καὶ Ποτίδαιαν καὶ ἐπὶ Δηλίῳ. **18, 19** **22–23**

Καὶ γαμεταῖς δὲ συνῴκησε δύο· Ξανθίππῃ, ἀφ' ἧς ἔσχεν υἱὸν Λαμπροκλέα, καὶ δευτέρᾳ Μυρτοῖ, τῇ Ἀριστίδου τοῦ δικαίου θυγατρί, ἐξ ἧς ἐγένετο Σωφρονίσκος καὶ
15 Μενέδημος ἢ Μενέξενος, ὥς τισι δοκεῖ. **26**

Ἐμάνθανε δὲ καὶ κιθαρίζειν παρὰ Κόνωνι, γέρων ἤδη ὤν ... **32**

400 Δ η λ ί ο υ κ ο λ υ μ β η τ ο ῦ ... Ἢ οὕτως· Δηλίου κολυμβητοῦ, ἐπὶ τῶν ἄκρως νηχομένων. Σωκράτει
20 γὰρ δόντος τοῦ Εὐριπίδου Ἡρακλείτου τοῦ Σκοτεινοῦ σύγγραμμα, ἐρέσθαι· "Τί δοκεῖ;" Τὸν δὲ φάναι· "Ἃ μὲν συνῆκα γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου δεῖται κολυμβητοῦ εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ." **22**

728 Ἰ σ χ υ ρ ο γ ν ώ μ ω ν · ... Ὁ δὲ Σωκράτης
25 ἰσχυρογνώμων ἦν καὶ δημοκρατικός. **24**

377 Λ ε ι π α ν δ ρ ε ῖ ν · βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν αὐξῆσαι τὸ πλῆθος, ψηφίσασθαι **26**

18 cf. DL 9.12

1 τὴν φυσιολογίαν : τὴν φυσικὴν φιλοσοφίαν DL **15** Μενέδημος ἢ om. DL **16–17** γέρων ἤδη ὤν : ὅτε καιρὸς ⟨*⟩ DL et Φ 24 **22** Δηλίου : Δηλίου γέ τινος DL **23** εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ om. DL : ex DL 9.12 add. *Suda* **27** αὐξῆσαι : συναυξῆσαι DL et Φ 24

γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας· ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην.

36 1070 Τ ρ ο χ ι λ έ α ς· Σωκράτης πρὸς Ἀλκιβιάδην εἰπόντα ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, "Ἀλλ' ἔγωγε," ἔφη, "συνείθισμαι, καθαπερεὶ καὶ τροχιλέας 5 ἀκούων συνεχές."

40 2517 Ἀ ν θ ο μ ο λ ο γ η σ ό μ ε θ α: ... Καὶ αὖθις· "Περὶ Σωκράτους τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλητος."

42 628 Τ ι μ ῶ μ α ι· Σωκράτης ὁ φιλόσοφος καταδι- 10 κασθεὶς ἔφησεν· " Ἕνεκα μὲν τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως."

46 2034 Κ ό ν ι ο ν: βοτάνη δηλητήριος. Διὰ τοῦ ο μικροῦ διὰ τὸ μέτρον τοῦ στίχου·

> Πρὸς γὰρ Ἀθηναίων κόνιον μὲν ἁπλῶς σὺ ἐδέξω· 15
> αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

46 214 Φ ε ρ ε κ ύ δ η ς ... Ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν ...

48 47 Ξ ε ν ο φ ῶ ν Γρύλου Ἀθηναῖος, φιλόσοφος Σωκρατικός· ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπο- 20 μνημονεύματα.

52 Παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλον καὶ Διόδωρον, οἳ
57 καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα
55 ἐπωνομάζετο. Γέγονε δὲ συμφοιτητὴς Πλάτωνος καὶ ἤκ-
56 μαζε κατὰ τὴν ϟε´ Ὀλυμπιάδα. Ἔγραψε βιβλία πλείονα 25

8–9 cf. Plat. *Apol.* 24 b 8; Xenoph. *Memor.* 1.1.1 **11–12** cf. *Suda,* 829 Σωκράτης s.f.; Φ 24 et Plat. *Apol.* 36 e 2–3 **15–16** *Anth. Pal.* 7.96.3–4

1 ἑτέρας **A** et DL : ἑταίρας *Suda* cett. **8** ἀνθωμολογήσατο *Suda* et DL : ἀντωμόσατο Menag. ex Plat. **15** κόνιον μὲν *Suda* : κώνειον DL, *Anth.* et Φ 24 | σὺ *Suda, Anth.* : μὲν DL BP et Φ **16** ἐξέπιαν DL BP[1]F **24** ϟε´ : τετάρτης καὶ ἐνενηκοστῆς DL

τῶν μ´ ...

2538 Π ρ ο ξ ε ν ί α: ἡ τῶν ξένων ὑποδοχή. Καὶ αὐτῷ **51**
[sc. Ξενοφῶντι] προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι.

346 Α ἰ σ χ ί ν η ς Χαρίνου ἀλλαντοποιοῦ, **60–61**
5 φιλόσοφος Σωκρατικός. Τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον, Σφήττιον. Διάλογοι δὲ αὐτοῦ· Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης.

1684 Σ ύ σ τ α σ ι ς. Καὶ σ υ σ τ α θ ῆ ν α ι, ὁμοδί- **61**
10 αιτον καὶ φίλον γενέσθαι. Ἐλθόντα [sc. Αἰσχίνην] δι' ἀπορίαν ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι.

3908 Ἀ ρ ί σ τ ι π π ο ς: ... Πρῶτος δὲ τῶν Σωκρατι- **65**
κῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς. Καὶ **66**
15 ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ. Καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων. Ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει.

96 Π α λ ί ν δ ρ ο μ ο ς ... Πέμψας αὐτῷ μνᾶς εἴ-
20 κοσι παλινδρόμους ἀπέλαβε.

3909 Ἀ ρ ί σ τ ι π π ο ς ... Λέγεται δὲ ὅτι τοῦ παιδὸς **77**
αὐτῷ φέροντος ἀργύριον καὶ ἀχθομένου τῷ βάρει, "Τὸ βαροῦν ἀπόβαλε," ἔφη. Ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο, εἰς τὴν θάλατταν ἐξέβαλεν αὐτά· "Ἡ γὰρ τού-
25 των," ἔφη, "ἀπώλεια ἐμὴ σωτηρία." Καὶ πρὸς Διονύσιον **78**

7 Ἀξίοχος : cf. *Suda*, 2822 Ἀξίοχος **25** Καὶ πρὸς Διονύσιον – **p. 14.10** διαφθαρήσετα cf. S.E. *P.H.* 3.204

10 ἐλθόντα : ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον DL et φ 3 **14** εἰσεπράξατο DL et Φ 27 | Ξενοφῶν τε εἶχε πρὸς αὐτὸν δυσμενῶς DL **15** καὶ χρόνῳ καὶ τόπῳ : καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ DL et Φ **15** Καὶ – **16** μετεδίωκε : Ἀπέλαυε μὲν γὰρ ἡδονῆς (FP^2 : ἡδονῇ BP^1) τῶν παρόντων DL : τὰς ἡδονὰς μὲν μετεδίωκε φ 4 **17** οὐδεμίαν om. DL

τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα καὶ ὀρχήσεως τοῖς ἄλλοις κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δέ, προσκομιζομένης αὐτῷ τῆς στολῆς, εἶπεν Εὐριπίδου ἰαμβικά·

> οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν, 5
> ἄρρην πεφυκὼς καὶ γένους ἐξ ἄρρενος.

Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ·

> καὶ γὰρ ἐν βακχεύμασιν
> ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. 10

79 Ὑπὲρ φίλου δὲ ἀξιῶν καὶ μὴ τυγχάνων, τῶν ποδῶν [sc. Διονυσίου] ἥψατο καὶ ἔπεισε· καὶ "Οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος," εἶπεν, "ἀλλὰ Διονύσιος, ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων."

86 3908 Ἀ ρ ί σ τ ι π π ο ς: ... Διήκουσε δὲ αὐτοῦ ἡ 15 θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ⟨ἐπ⟩εκλήθη Μητροδίδακτος· οὗ Θεόδωρος ὁ Ἄθεος ἐπικληθείς, εἶτα Θεός· τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμώδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης, τοῦ δὲ Ἡγησίας ὁ Πεισιθάνατος, τοῦ δὲ Ἀννίκερις, ὁ Πλάτωνα λυτρω- 20 σάμενος.

86–88 97 ... Ἡ δ ο ν α ί ... Ἡδονὴ δέ ἐστι λεία κίνησις, πόνος δὲ τραχεῖα κίνησις. (87) Καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δὲ ἀποκρουστικόν. Ἡδονὴν μέντοι τὴν

5–6 Eurip. *Bacch.* 836–837; S.E., Stob. *Flor.* 3.5.38, Φ 27 **9–10** Eurip. *Bacch.* 317–318; S.E., Stob., Φ 27 **17** Μητροδίδακτος cf. DL 2.83 **17–18** cf. φ 35 **22–23** cf. Zon. 976 **22–p. 15.11** cf. Φ 3

5 στολήν : πέπλον Φ 27 **10** ὁ νοῦς ὁ : οὖσ' ἥ γε DL, Eurip. **11–12** τῶν ποδῶν – ἔπεισε : εἰς τοὺς (F : om. BP Φ) πόδας αὐτοῦ ἔπεσε DL **17** ⟨ἐπ⟩εκλήθη scripsi ex DL : ἐκλήθη *Suda*

τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, οὐ τὴν καταστηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀοχλησίαν τέλος εἶναί φασι. Διαφέρει δὲ τέλος εὐδαιμονίας. Τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ
5 ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. (88) Εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν, τὴν δὲ εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς.

24 Π ά θ η δ ύ ο: πόνος καὶ ἡδονή. Καὶ ἡ μὲν ἡδο- **86–87**
10 νὴ λεία κίνησις, ὁ δὲ πόνος τραχεῖα κίνησις. (87) Καὶ ἡ μὲν ἡδονὴ εἰδοκητὴ πᾶσι ζῴοις, ὁ δὲ πόνος ἀποκρουστικός.

283 Τ έ λ ο ς ε ὐ δ α ι μ ο ν ί α ς διαφέρει. Τέλος **87**
μὲν γάρ ἐστιν ἡ κατὰ μέρος ἡδονή, εὐδαιμονία δὲ τὸ ἐκ
15 τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι.

3539 Ε ὐ κ λ ε ί δ η ς Μεγαρεύς (Μεγάρων δὲ τῶν ἐν **106, 108,**
Ἰσθμῷ), φιλόσοφος, καὶ τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρι- **112**
κὴν αἵρεσιν εἰσήγαγεν, ἣν δὴ καὶ Διαλεκτικὴν καὶ Ἐρι-
20 στικὴν προσαγορευθεῖσαν. Γέγονε δὲ μαθητὴς Σωκράτους· μεθ' ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. Συνέγραψε διαλόγους· Ἀλκιβιάδην, Αἰσχίνην, Κρίτωνα, Φοίνικα, Λαμπρίαν, Ἐρωτικόν· καὶ ἄλλα τινά.

224 Ῥ ο μ β ο σ τ ω μ υ λ ή θ ρ α· Εὐβουλίδης φη- **108**
25 σίν·

οὑριστικὸς κερατίνας ἐρωτῶν
καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυλίων

24–p. 16.1 *Com. Adesp.* Fr. 294 Kock = *PCG* VIII Fr. 149 Kassel-Austin

24–26 Εὐβουλίδης φησίν· οὑριστικὸς : Οὑριστικὸς δ' Εὐβουλίδης DL et Φ 29 **26** οὑριστικὸς Φ, οὐριστικὸς *Suda* **F** et DL BP[1] : ἐριστικὸς *Suda* cett. : ὁ ὑβριστικὸς DL F **27** κυλίων *Suda* et DL : κολύων Φ

ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥομβοστωμυλήθραν.

113 388 Μ ε γ α ρ ί σ α ι: τὰ Μεγαρέως δοξάσαι. Στίλπων γὰρ ὁ φιλόσοφος Μεγαρεὺς ἦν, τῆς Ἑλλάδος· ὃς τοσοῦτον εὑρησιολογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὡς μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν 5 εἰς αὐτὸν μεγαρίσαι.

121 2451 Κ ρ ί τ ω ν, Ἀθηναῖος, φιλόσοφος, Σωκράτους μαθητής· ὃς καὶ γνησίως διετέθη πρὸς Σωκράτην καὶ τὰ πρὸς τὴν χρείαν πάντα ἐδίδου αὐτῷ.

125 1215 Κ έ β η ς, Θηβαῖος, φιλόσοφος, Σωκράτους μα- 10 θητής. Διάλογοι δὲ αὐτοῦ φέρονται τρεῖς· Ἑβδόμη, Φρύνιχος, Πίναξ ...

134 218 Ν ε ο φ ρ ῶ ν ἢ Ν ε ο φ ῶ ν, Σικυώνιος, τραγικός· οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν.

3.1–2 1707 Π λ ά τ ω ν, Ἀρίστωνος τοῦ Ἀριστοκλέους καὶ 15 Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος· ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη Δρωπίδου ποιητοῦ, τοῦ ἀδελφοῦ Σόλωνος. Ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. Καὶ Ἀρίστων δὲ ὁ Πλάτωνος πατὴρ ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. (2) 20 Ἱστόρηται δὲ ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. Καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. Ἐτέχθη δ' ἐν Αἰγίνῃ ἐν τῇ πη´ Ὀλυμπιάδι ..., καὶ ἐβίω ἔτη β´ καὶ π´· τελευτᾷ δὲ ἐπὶ τῆς ρη´ Ὀλυμπιάδος ... 25

14 Cf. Argum. Eurip. *Med.*, *TrGF* 15 Snell

1 ἀπῆλθ' *Suda*, DL et Φ : ἐπῆλθ' *Suda* **H** et Roeper, *Philol.* 9 (1854) 5 | ῥομβοστωμυλήθραν Suda et Φ : ῥωβοστωμυλήθραν DL : ῥωποπερπερήθραν Plut. *Dem.* 9.5 **2** Μεγαρέων Bernhardy

Καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίστωνι **4–6**
Ἀδείμαντος καὶ Γλαύκων καὶ Ποτώνη θυγάτηρ. Καὶ τὰ
μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ,
ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τῷ
5 Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν γράφει διθυράμβους καὶ
τραγῳδίας· ἀπογνοὺς δὲ τούτων ἐφιλοσόφησε παρὰ Σω-
κράτει ἐπὶ ἔτη κ΄. Καὶ λόγος ἰδεῖν Σωκράτην, καθ' ἣν
ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς
γόνασιν ἐπικαθήμενον. Προσηγορεύετο δὲ Ἀριστοκλῆς,
10 διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον Πλάτων ἐπωνομάσθη·
ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι.

774 Ἀ κ α δ η μ ί α: γυμνάσιον ἐν Ἀθήναις, προ- **7–8**
άστειον ἀλσῶδες ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἑκαδήμου
τινὸς ἥρωος ὀνομασθέν. Πρότερον δὲ διὰ τοῦ ε Ἑκαδημία
15 ἐκαλεῖτο.

893 Σ ώ φ ρ ω ν, Συρακούσιος ... Καὶ ἔγραψε μίμους **18**
ἀνδρείους, μίμους γυναικείους ... Καί φασι Πλάτωνα τὸν
φιλόσοφον ἀεὶ αὐτοῖς ἐντυγχάνειν, ὡς καὶ καθεύδειν ἐπ'
αὐτῶν ἔσθ' ὅτε.

20 1707 Π λ ά τ ω ν ... Τρὶς δὲ ἐν Σικελίᾳ Πλάτων ἦλθε **19–20**
πρὸς τοὺς τυράννους Διονυσίους· καὶ ἐπράθη ὑπὸ τοῦ
τυράννου. Ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς καὶ
ἀφῆκε.

4121 Ἀ ρ χ ύ τ α ς, Ταραντῖνος ..., φιλόσοφος Πυθα- **21**
25 γορικός. Οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ
Διονυσίου τοῦ τυράννου.

316 Π α ρ α γ ρ α μ μ α τ ί ζ ω ν: ... Τίμων οὑτωσὶ **26**
παραγραμματίζων αὐτόν·

12–15 Cf. Schol. Demosth. 24.114; Schol. Plat. *Lys.* 203 a; Zon. 102 **16–19** cf. φ 62 **22–23** cf. DL 2.86; *Suda*, 3908 Ἀρίστιππος s.f.

7 ante ἰδεῖν addunt ὄναρ DL et Φ 33

ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θύματα.

28 706 Σ κ υ θ ρ ω π ά ζ ω:

Ὦ Πλάτων,
ὡς οὐδὲν ἦσθα πλὴν σκυθρυπάζειν μόνον,
ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς. 5

30 214 Γ ε ι ν α μ έ ν α ι ς: γεννηθείσαις·

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δὴ τότε γεινομέναις.

33 545 Ἱ π π ί α ς, Ἀθηναίων στρατηγός ... Ὁ δὲ αὐτοὺς παρὰ τὰ Σοῦσα κατοικίζει· ἐφ' οἷς καὶ Πλάτωνός 10 ἐστιν ἐπίγραμμα·

Εὐβοέων γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

37 418 ⟨Φ ί λ ι π π ο ς ὁ Ὀ π ο ύ ν τ ι ο ς,⟩ φιλόσοφος, ὃς τοὺς Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβʹ· τὸ 15 γὰρ ιγʹ αὐτὸς προσθεῖναι λέγεται.

45 95 Σ ά ο υ: σῷζε, φύλαττε. Ἐν ἐπιγράμμασι· ...

τὸν μέν, ἵνα ψυχήν, τὸν δ', ἵνα σῶμα σάοι.

1 Timon. B 19 Diels = *Suppl. Hell.* 793. Cf. Athen. 11, 505 E; φ 55 **3–5** *PCG* Amphidis Fr. 13 **7–8** *Anth. Pal.* 7.99.1–2 **12–13** *Anth. Pal.* 7.259 **18** *Anth. Pal.* 7.109.2 (τὸν μέν, sc. Πλάτωνα; τὸν δ', sc. Ἀσκληπιόν)

1 ἀνέπλασε *Suda,* DL BF et φ : ἀνέπλασσε DL P et Athen. | θύματα *Suda* et Athen. : θαύματα DL et φ | post θύματα addunt εἰδώς DL, Athen. et φ **4** ἦσθα *Suda,* DL BP et Φ 33 : οἶσθα DL F **8** ἐπέκλωσαν scripsi ex DL et *Anth.* : ἐπεκλώσαντο *Suda* | τότε *Suda* et *Anth.* : ποτε DL | γεινομέναις **A M**[2], *Anth.* et DL : γεινα-μέναις *Suda* cett. **12** εὐβοέων *Suda* : εὐβοίης DL, Φ et *Anth.* | ἐσμὲν *Suda* et *Anth.* : εἰμὲν DL BF[1] : ἦμεν PF[2] : εἶμεν Φ **13** ὅσσον *Suda* et *Anth.* : ὅσον DL F : τόσσον P et Φ : τόσον B **14** Φίλιππος ὁ Ὀπούντιος suppl. Gessner

1922 Ἐ π α γ ω γ ή. Περὶ Πλάτωνός φησιν· ἀναγκαῖον ἡγησάμην ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων καὶ τὴν τάξιν τῶν διαλόγων καὶ ἔφοδον τῆς ἐπαγωγῆς. **47**

627 Δ ι α λ ε κ τ ι κ ή ... Ὅτι Δ ι ά λ ο γ ο ς λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν φιλοσοφουμένων καὶ πολιτικῶν μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. Διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι᾽ ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων. **48–50**

(49) Τοῦ δὴ †λόγου† τοῦ Πλάτωνος δύο εἰσὶ χαρακτῆρες οἱ ἀνωτάτω·

ὁ ὑφηγητικὸς καὶ ὁ ζητητικός.

Διαιρεῖται δὲ ὁ ὑφηγητικὸς

εἰς θεωρηματικὸν καὶ πρακτικόν.

Καὶ ὁ θεωρηματικὸς δὲ — ὁ δὲ πρακτικὸς

εἰς τὸ⟨ν⟩ φυσικὸν καὶ λογικόν· — εἰς τὸ⟨ν⟩ ἠθικὸν καὶ πολιτικόν.

1 φησιν : sc. Diogenes Laertius **4–5** συγκείμενος et **8–10** cf. Zon. 511

4 λόγος : om. DL, add. Stephanus **11** λόγου *Suda* et DL : ⟨δια⟩λόγου Cobet | Πλάτωνος : Πλατωνικοῦ DL **17** τὸ⟨ν⟩ ... τὸ⟨ν⟩ scripsi ex DL : τὸ ... τὸ *Suda*

Ὅτι καὶ τοῦ ζητητικοῦ β´ εἰσὶ χαρακτῆρες·

γυμναστικὸς		καὶ ἀγωνιστικός.	
Καὶ τοῦ ⟨γυμναστικοῦ		τοῦ δὲ⟩ ἀγωνιστικοῦ	
μαιευτικὸς	καὶ πειραστικός·	ἐνδεικτικὸς	καὶ ἀνατρεπτικός.

(50) Οἱ δὲ ἄλλως διαιροῦσιν· 5

εἰς δραματικόν, διηγηματικόν, μικτόν.

Ἀλλ' οὗτοι τραγικῶς μᾶλλον ἢ φιλοσόφως διαιροῦσιν.

51–52 1319 Δ ο γ μ α τ ί ζ ε ι ... Δογματίζειν ἐστὶ τὸ δόξαν τιθέναι, ὡς τὸ νομοθετεῖν νόμους τιθέναι. Δόγματα δὲ ἑκατέρως καλεῖται, τό τε δοξαζόμενον καὶ ἡ δόξα αὐτή. 10 (52) Τούτων δὲ τὸ μὲν δοξαζόμενον πρότασίς ἐστιν, ἡ δὲ δόξα ὑπόληψις. Ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. Καὶ περὶ τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ 15 Ἀθηναίου ξένου, ⟨τοῦ Ἐλεάτου ξένου⟩· εἰσὶ δ' οἱ ξένοι οὐχ, ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης, ἀλλὰ πλάσματά ἐστιν ἀνώνυμα.

53–55 1923 Ἐ π α γ ω γ ή· ἐπαγωγή ἐστι λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον αὐτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. Δύο δὲ 20 τῆς ἐπαγωγῆς εἰσι τρόποι, ὅ τε κατ' ἐναντίωσιν καὶ ὁ ἐκ τῆς ἀκολουθίας. Ὁ μὲν οὖν κατ' ἐναντίωσίν ἐστιν ἐξ οὗ

12–16 cf. φ 55; *Suda,* 2110 Ἔπεχε **19–20** cf. Zon. 797 **20–p. 21.13** cf. Φ 33

1 χαρακτῆρες : οἱ πρῶτοι χαρακτῆρες DL **3–4** γυμναστικοῦ μαιευτικὸς καὶ πειραστικός· τοῦ δὲ supplevi ex DL **7** οὗτοι : ἐκεῖνοι DL **8** δόξαν : δόγματα DL BF : δόγμα P **16** τοῦ Ἐλεάτου ξένου om. *Suda,* supplevi ex DL

τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολουθήσει τὸ ἐναντίον, οἷον· Ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ ἤτοι ἕτερός ἐστιν ἢ ⟨ὁ⟩ αὐτός. Εἰ μὲν οὖν ἕτερός ἐστιν τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατήρ, πατρὸς ἕτερος ὢν οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ
5 αὐτός ἐστι τῷ ἐμῷ πατρί, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ ὁ ἐμὸς ἂν εἴη πατήρ. (54) Καὶ πάλιν· Εἰ μὴ ζῷόν ἐστι ὁ ἄνθρωπος, λίθος ἂν εἴη ἢ ξύλον. Οὐκ ἔστι δὲ λίθος ἢ ξύλον· ἔμψυχος γάρ ἐστι καὶ ἐξ αὑτοῦ κινεῖται· ζῷον ἄρα ἐστίν. Εἰ δὲ ζῷόν ἐστι, ζῷον δὲ καὶ ὁ κύων καὶ ὁ βοῦς, εἴη
10 ἂν καὶ ὁ ἄνθρωπος ζῷον ⟨*⟩ καὶ κύων καὶ βοῦς. Καὶ οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ᾽ ἐναντίωσιν καὶ μάχην τρόπος, ὁ διελέγχων. Ὁ δὲ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς· ὁ μὲν τὸ ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικνύς, ⟨*⟩. Καὶ ἔστιν ὁ μὲν πρότερος ῥητορικός, ὁ δὲ δεύτερος
15 διαλεκτικός. Οἷον ἐν τῷ προτέρῳ ζητεῖται εἰ ὅδε ἀπέκτεινεν. Ἀπόδειξις τὸ εὑρῆσθαι αὐτὸν κατ᾽ ἐκεῖνον τὸν καιρὸν ᾑμαγμένον. (55) Ῥητορικὸς δέ ἐστι ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος, ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους, οὐ τὰ καθόλου τὴν πραγματείαν ἔχει. Ζητεῖ γὰρ
20 οὐ περὶ αὐτοῦ τοῦ δικαίου, ἀλλὰ τῶν ἐπὶ μέρους δικαίων. Ὁ δὲ ἕτερός ἐστι διαλεκτικός, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρους. Οἷον ζητεῖται εἰ ἡ ψυχὴ ἀθάνατος καὶ εἰ ἐκ τῶν τεθνεώτων οἱ ζῶντες· ὅπερ ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς διά τινος καθολικοῦ, ὅτι ἐκ
25 τῶν ἐναντίων τὰ ἐναντία. Καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται ἔκ τινων ὄντων ἐπὶ μέρους· ⟨οἷον⟩ ὅτι τὸ

24 cf. Plat. *Phaed.* 70 d–72 a

3 ὁ addidi ex DL et Φ **8** ἔμψυχος *Suda* et DL F : ἔμψυχον DL BP et Φ | ἄρα scripsi ex DL et Φ : γὰρ *Suda* **10** post ζῷον add. ὢν Cobet : om. *Suda,* DL et Φ **13** post ἀποδεικνύς lac. indicavi : lac. etiam in DL B[1]P[1] : ὁ δὲ τὸ καθόλου διὰ τῶν ἐπιμέρους πιστούμενος DL B[2] in mg : ὁ δὲ διὰ τῶν ἐπὶ μέρους κατασκευαστικὸς τοῦ καθόλου προαποδειχθέντος Φ **17** καιρὸν : χρόνον DL **26** οἷον addidi ex DL

καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι καὶ ἀνάπαλιν, καὶ τὸ μεῖζον ἐκ τοῦ μικροτέρου καὶ ἀνάπαλιν.

56–58 395 Τ ε τ ρ α λ ο γ ί α· κατὰ τὴν τραγικὴν τετραλογίαν ἐξέδωκε Πλάτων τοὺς διαλόγους· ἐκεῖνοι γὰρ τέτρασι δράμασιν ἠγωνίζοντο (Διονυσίοις, Ληναίοις 5 Παναθηναίοις, Χύτροις), ὧν τὸ δʹ ἦν Σατυρικόν. Τὰ δὲ δʹ δράματα ἐκαλεῖτο τετραλογία.

(57) Εἰσὶ τοίνυν οἱ πάντες Πλάτωνι γνήσιοι διάλογοι ἓξ καὶ νʹ. Διπλαῖς δὲ χρῆται ταῖς ἐπιγραφαῖς καθ' ἕκαστον τῶν βιβλίων, τῇ μὲν ἀπὸ τοῦ ὀνόματος, τῇ δὲ ἀπὸ τοῦ 10 πράγματος. (58) Ταύτης τῆς τετραλογίας, ἥτις ἐστὶ πρώτη, ἡγεῖται Εὐθύφρων ἢ Περὶ ὁσίου· ὁ διάλογός ἐστι πειραστικός. Δευτέρα Ἀπολογία Σωκράτους, ἠθικός· τρίτη Κρίτων ἢ Περὶ πρακτέου, ἠθικός· τετάρτη Φαίδων ἢ Περὶ ψυχῆς, ἠθικός. Δευτέρα τετραλογία, καὶ ἐφεξῆς, ἐν τῷ 15 βιβλίῳ Λαερτ(ί)ου Διογένους Περὶ βίων φιλοσόφων.

61 3413 Ε ὖ δ ι ά γ ε ι ν· οὕτως ἐπέγραφεν Ἐπίκουρος, εὖ διάγειν· χαίρειν δὲ ὁ Κλέων, καὶ εὖ πράττειν ὁ Πλάτων.

3664 Ε ὖ π ρ ά τ τ ε ι ν· οὕτως ἡ ἐπιγραφὴ τῶν 20 ἐπιστολῶν Πλάτωνος. Ἔγραψε δὲ ἐπιστολὰς ιγʹ· εἰσὶ δὲ τοῦ ἠθικοῦ εἴδους. Εὖ διάγειν· οὕτως Ἐπίκουρος ἐπέγραφε· χαίρειν δὲ ἐπέγραφε Κλέων.

166 Χ α ί ρ ε ι ν· οὕτως ἐπέγραφε Κλέων, ὁ δὲ Πλάτων εὖ πράττειν, ὁ δὲ Ἐπίκουρος εὖ διάγειν. 25

63 807 Σ ο φ ί α ν Πλάτων ἡγεῖται ἰδιαίτατα μὲν τὴν

9 δὲ : τε DL | καθ' ἕκαστον : καθ' ἑκάστου DL BP[1] : ἑκάστου FP[4] **12** δ' ἐστὶ DL **13–14** δευτέρα ... τρίτη ... τετάρτη : δεύτερος ... τρίτος ... τέταρτος DL **16** Λαερτ(ί)ου *ed. Basil. Frob.* (a. 1549) : λαέρτου *Suda* | Διογένους *ed. pr.* : διογένης **G V M** **17** ἐπέγραφεν : ἔγραφεν DL

τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην· ἥν φησι περὶ θεὸν καὶ ψυχὴν σώματος κεχωρισμένην. Ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας φιλοσοφίας. Κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ
5 πᾶσα ἐμπειρία, οἷον ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν.

142 Φ α ῦ λ ο ς: εὐτελής, χαλεπός ... Ὅτι Πλάτων **63–64** κέχρηται ἐπὶ διαφερόντων σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν, οἷον ὁ φαῦλος.

141 Φ α ῦ λ ο ν: τὸ ἁπλοῦν, εὐχερές. Καὶ Εὐριπίδης
10 ἐν τῷ Λικυμνίῳ·

φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,

ἁπλοῦν καὶ ἀπόνηρον λέγων. Ἔστι δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ ... Πλάτων ἐν τῷ Περὶ ψυχῆς...

22 Ε ἰ δ έ α· ὅτι Πλάτων διαφόροις ὀνόμασιν ἐπὶ
15 τοῦ αὐτοῦ σημαινομένου χρῆται. Τὴν γοῦν εἰδέαν ⟨καὶ⟩ εἶδος ὀνομάζει καὶ γένος καὶ παράδειγμα καὶ ἀρχὴν καὶ αἴτιον· καὶ οὔτε κινούμενον οὔτε μένον· καὶ ταὐτὸ καὶ ἓν καὶ πολλά. Καὶ πάλιν ἓν ὄνομα ἐν διαφόροις σημαινομένοις.

20 928 Σ π ε ύ σ ι π π ο ς Εὐρυμέδοντος, ἀδελφιδοῦς **4.1, 4** Πλάτωνος τοῦ φιλοσόφου ἀπὸ Ποτώνης τῆς αὐτοῦ ἀδελφῆς, ἀκουστὴς αὐτοῦ Πλάτωνος καὶ διάδοχος γενόμενος τῆς Ἀκαδημίας ἐπὶ τῆς ρη´ Ὀλυμπιάδος. Συνέγραψε πλεῖστα, καὶ μάλιστα φιλόσοφα. Αὐστηρὸς τὴν γνώμην

11 Eurip. Fr. 473.1 N[2] **13** sequitur Plat. *Phaed.* 95 e 8 **15–17** αἴτιον : cf. *Suda,* 96 Ἰδέας

4 φιλοσοφίας : σοφίας **G** et DL **7** διαφερόντων *Suda* et DL F : διαφερόντως DL BP **14** διαφόροις : διαφέρουσιν DL **15** καὶ addidi e *Suda* I 96 et DL **18** διαφόρως **V** | σημαινομένοις **I** : σημαινόμενον cett. **20** ἀδελφιδοῦς *Suda* et Φ 34 : ⟨ὃς⟩ ἦν υἱὸς τῆς ἀδελφῆς αὐτοῦ DL BP

καὶ εἰς ἄκρον ὀξύθυμος.

2 81 Δ α σ μ ο λ ο γ ῶ · ... "Πλάτων μὲν ἀτελεῖς φόρων τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς [sc. Σπεύσιππε] καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις." 5

4 421 Ἔ κ ζ ε σ ι ς: ... Φασὶ δὲ αὐτὸν [sc. Σπεύσιππον] φθειρσὶν ἐκζέσαι.

6 2904 Π ρ ο ύ ν ε ι κ ο ς: ... Φασὶ δὲ Ξενοκράτη, εἴ ποτε μέλλοι ἐς ἄστυ ἀπιέναι, τοὺς θορυβώδεις πάντας καὶ προυνείκους ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ. 10

7 2528 Ἀ ν θ ρ ώ π ι ν ο ν. Δῆθεν διωκομένην ὑπό τινων τὴν ἑταίραν [sc. Φρύνην] καταφυγεῖν εἰς τὸ οἰκίδιον· τὸν δὲ [sc. Ξενοκράτη] ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι αὐτήν.

2817 Ἀ ξ ι ό π ι σ τ ο ς: πιθανός. Ἦν δὲ ἀξιόπιστος σφόδρα, ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. 15

8 42 Ξ ε ν ο κ ρ ά τ η ς Ἀγάθωνος ἢ Ἀγαθάνορος, Χαλκηδόνιος, μαθητὴς καὶ διάδοχος μετὰ Σπεύσιππον Πλάτωνος ... Καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τάλαντα λ´, αὐτὸς ἀπέπεμψεν εἰπών, βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. 20

109 Μ α λ θ ά ξ α ι: ... Τοὺς μὲν δώροις μαλθασσομένους καὶ εἰς τὰς κλήσεις συνιέναι ...

10 3 Λ α β α ῖ ς ... Καὶ αὖθις· λαβαὶ φιλοσοφίας, ἀριθμητικὴ καὶ γεωμετρική. 25

20–22 cf. φ 50; Φ 35; Themist. *Or.* 2, p. 26 a, et 21, p. 252 a Hardouin

9 ἀπιέναι *Suda* et DL P[1] : ἀνιέναι DL BFP[2] : παριέναι Φ 35 **14** αὐτήν *Suda* : om. DL et Φ **15** ἦν δὲ καὶ DL et Φ

1852 Κ ν ά π τ ω. Πρὸς Ξενοκράτην τὸν φιλόσοφον ἐλθών τις φιλοσοφῆσαι, μήτε γεωμετρικὴν μήτε ἀστρονομίαν μεμαθηκώς, τοῦτον εἰπεῖν· "Παρ' ἐμοὶ πόκος οὐ κνάπτεται."

5 820 Μ έ τ ο ι κ ο ι: ... Καὶ αὖθις· Τοῦτον δὲ [sc. Ξενοκράτη] ἐπίπρασκον [sc. Ἀθηναῖοι], τὸ μετοίκιον ἀτονοῦντα θεῖναι. **14**

1887 Π ο λ έ μ ω ν Φιλοστράτου ἢ Φιλοκράτους, Ἀθηναῖος, φιλόσοφος ... Ἐγεγόνει δὲ σφόδρα ἄσωτος· 10 εἶτα ἐφιλοσόφησε. **16**

Ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν· ὥστε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν. **20**

15 76 Ὀ ζ ω τ ά· Ἀριστοφάνης περὶ Εὐριπίδου φησίν· "ὀζωτὰ καὶ στιλφωτά·" (19) ἅπερ, ὡς αὐτός φησι· **18–19**

καταπυγοσύνη ταῦτά ἐστι πρὸς κρέας μέγα.

1594 Ἐ ξ έ δ ρ α. ... Κατῴκουν πλησίον τοῦ Μουσείου καὶ τῆς Ἐξέδρας. **19**

20 1462 Δ ώ ρ ι ο ς ο ἰ κ ο ν ο μ ί α. Τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ὁ Πολέμων ἐνεδέδυτο Ξενοκράτους καὶ τὸ βάρος, οἱονεὶ Δώριός ⟨τις⟩ οἰκονομία.

121 Β ά ρ ο ς· περὶ Πολέμωνος· ἦν δὲ καὶ τὸ βάρος οἱονεὶ Δώριός τις οἰκονομία.

16 et **17** *PCG* Aristoph. Fr. 128; cf. Poll. 6.69

2 post φιλοσοφῆσαι addit μήτε μουσικὴν DL **16** ὀζωτὰ *Suda* : ὀξωτὰ ss. **M**, ὀξωτα fere DL et Pollux | στιλφωτὰ *Suda*, στιλφῶτα DL BP : σιλφωτὰ *Suda* ss. **M**, σιλφωτα DL F **22** τις addidi e *Suda* et DL

20 2730 Κύων Μολοττικός· ὅπου τὰ ποιήματα αὐτῷ [sc. Πολέμωνι]

κύων τις ἐδόκει συμποεῖν Μολοττικός.

644 Ὑπόχυτος οἶνος: ὁ γλυκύς. Ἦν δὲ ὁ Πολέμων ὁ φιλόσοφος 5

οὐ γλυκὺς οὐδ' ὑπόχυτος, ἀλλὰ Πράμνιος.

22 229 Σεμνυνόμενος: ... Σεμνυνόμενος ὁ Διονυσόδωρος ἐπὶ τῷ μηδένα τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους μήτ' ἐπὶ κρηνῆς ἀκηκοέναι, καθάπερ Ἰσμενίου.

26 101 Οἴμοι: ... Καὶ Εὐριπίδης ἐκ τοῦ Βελλεροφόντου· 10

Οἴμοι· τί δ' οἴμοι; Θνητά τοι πεπόνθαμεν.

27 545 Φλοιός: ... Εἶχε δὲ ὁ Κράντωρ ἀπελέκητον φωνὴν καὶ φλοιοῦ μεστὴν τραγῳδῶν.

631 Σκίφη· καί τινος ποιητοῦ τοὺς στίχους ἔφη Κράντωρ ὁ φιλόσοφος σκίφης εἶναι μεστούς. 15

262 Θέσεις: ... Ἔλεγε Κράντωρ ὁ φιλόσοφος τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι.

29 258 Εἴσῃ: ... Εὐριπίδης ἐξ Ἀνδρομέδας·

Ὦ παρθέν', εἰ σώσαιμί σε, εἴσῃ μοι χάριν; 20

1367 Ἄλοχος: ... Εὐριπίδου ἐξ Ἀνδρομέδας·

Ἄγου με, ὦ ξένε, εἴτε δμωΐδ' ἐθέλεις εἴτ' ἄλοχον.

6 *PCG* Phrynichi Fr. 68 **12** Eurip. Fr. 300 N^2 **20** Eurip. Fr. 129 N^2. Cf. Schol. Eurip. *Med.* 476; Φ 38 **22** Eurip. Fr. 132 N^2. Cf. Herodiani *De figuris* p. 98.11 Spengel, Φ 38

6 γλυκὺς : γλύξις DL **7** ὁ Διονυσόδωρος : Διονυσόδωρον ... τὸν αὐλητὴν DL et φ 40 **8** μηδένα : μηδὲν DL et φ **14** τραγῳδῶν : τραγῳδὸν DL : om. Φ 37 **19–20** εἰ σώσαιμί σε, ἐξ Ἀνδρομέδας, ὦ παρθέν' *Suda* : transposui

3816 Ε ὐ φ υ ᾶ: ... Ὡς εὐφυὴς καὶ εὐεπιχείρητος **30**
ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος.

213 Θ ε ώ ρ η μ α δ ι α λ ε κ τ ι κ ό ν: ... καὶ Τεθε- **32**
ωρημένη ... Ὁ μὲν οὖν Ἀρκεσίλαος ὁ φιλόσοφος νωθρὸς
5 ἦν τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος,
εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα
ἐμπτῆναι. = 221 Τ ε θ ε ω ρ η μ έ ν η.

2110 Ἔ π ε χ ε: ... Ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος διὰ
τὸ περὶ πάντων ἐπέχειν οὐδὲ βιβλίον τι συνέγραψεν.

10 2825 Ἀ ξ ί ω μ α: ... Ὁ δὲ Ἀρκεσίλαος ἦν ἀξιωματι- **33**
κώτατος καὶ συνηγμένος.

77 Λ α λ ι ά: ... Ἦν δὲ ὁ Ἀρκεσίλαος ἐν τῇ λαλιᾷ
διαστατικὸς τῶν ὀνομάτων καὶ παρρησιαστὴς ἱκανῶς.

932 Δ ι έ ξ ο δ ο ι: ἐκπνοαί, ἐκκρίσεις· **35**

15 λήθουσι γάρ τοι καὶ ἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

Ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους. = 420
Λ ή θ ω σ ι.

270 Φ η μ ί: ... Ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος φυ- **36**
20 σικῶς ἐν τῷ διαλέγεσθαι ἐχρῆτο τῷ Φήμ' ἐγὼ ⟨καὶ⟩ Οὐ
συγκαταθήσεται τούτοις ὁ δεῖνα (εἰπὼν τοὔνομα).

354 Δ ε ί ξ ε ι ς· ὁ δὲ Ἀρκεσίλαος ἐς τὰς ἀργυρικὰς **38**
δείξεις ἀπήντα πρῶτος, συχνοῖς τε ἐπήρκει καὶ συνηρά-
νιζε.

14–15 διέξοδοι cf. Zon. 517 **15–16** Sophocl. Fr. 477 Radt. Cf. Plut. *Qu. conviv.* 718 A

4 Ἀρκεσίλαος : immo Ἱππόνικος DL **5** τὴν φύσιν om. DL **9** περὶ πάντων H. Wolf ex DL : περιπατῶν *Suda* **13** καὶ παρρησιαστὴς ἱκανῶς : ἐπικόπτης θ' ἱκανῶς καὶ παρρησιαστὴς DL **15** λήθουσι : πλήθουσι Plut. **16** τόκος παρῇ scripsi ex DL : τόκῳ σπαρῇ *Suda* : παρῇ τόκος Plut. **19–20** φυσικῶς πως DL **20** καὶ addidi ex DL

39 2388 Π ρ ο ε μ π ί π τ ε ι ν· τὸν βασιλέα πάντων θεραπευόντων αὐτὸς [sc. Ἀρκεσίλαος] ἡσύχαζε, μὴ βουλόμενος προεμπίπτειν εἰς γνῶσιν.

665 Ἐ κ τ ο π ί ζ ω: ... τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημίᾳ διέτριβεν. = 1918 Π ο λ ι τ ι σ μ ό ς. 5

42 2665 Κ ύ λ ι ξ: ... καὶ Ἐπικυλίκιοι ἐξηγήσεις.

43 41 Γ ά λ λ ο ς: ... καὶ Γ ά λ λ ο ι, οἱ ἀπόκοποι ... Ὅτι Γάλλοι μὲν γίνονται ἐξ ἀνδρῶν, ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται.

44 370 Π α ρ α κ ό ψ α ς: ... Ἐτελεύτησε δὲ [sc. Ἀρκεσίλαος] ἄκρατον πολὺν ἐμφορηθεὶς καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστόν. 10

45 3181 Ἔ σ π α σ α ς: ἔπιες, εἵλκυσας·

Ἀρκεσίλαε, τί μοι †τόσον† ἄκρητον ἀφειδῶς
ἔσπασας, ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἐών; 15

46 249 Ἀ γ κ ώ ν· ... Βίων φησὶν ὁ φιλόσοφος· "Ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος (διεδήλου δὲ τὸν ταριχέμπορον) ..."

1377 Σ ύ μ β ο λ ο ν· περὶ Βίωνος τοῦ πατρός· "ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ 20 δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ⟨ἂν⟩ ὁ τοιοῦτος γῆμαι, ἀπ' οἰκήματος."

4–5 cf. Zon. 676 **14–15** *Anth. Pal.* 7.104.1–2; cf. Zon. 885

1–2 τὸν βασιλέα πάντων θεραπευόντων : πολλῶν δὲ καὶ τὸν Ἀντίγονον θεραπευόντων DL **14** τόσον *Suda* et DL F[1] : τί τόσον *Anth.* : τί τοσοῦτον DL BP **15** ὄλισθες ἐών *Suda* : ὤλισθες ἐῶν DL F et Zon. : ὀλεισθαι σε ων DL B[1] : ὀλέσθαι· ὃν P[1] **21** ἂν addidi ex DL et Φ 39

112 Κ α θ ι π π ά ζ ε σ θ α ι: ... Ὁ δὲ Βίων ὁ σοφιστὴς ποικίλος ἦν, πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι φιλοσοφίας. **47**

72 Λ α κ ύ δ η ς Ἀλεξάνδρου Κυρηναῖος, φιλόσοφος, ὃς τῆς νέας Ἀκαδημίας κατῆρξεν. **59**

174 Β α σ τ α χ θ ε ί η: ... Ὁ δὲ Λακύδης σφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτύλιον ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη καί τι βασταχθείη τῶν ἀποκειμένων.

400 Κ α ρ ν ε ά δ η ς Λίβυς, ἀπὸ Κυρήνης, υἱὸς Φιλοκώμου, φιλόσοφος, ἀφ' οὗπερ ἡ νέα Ἀκαδημία ἤρξατο. Φασὶ δὲ τελευτήσαντος αὐτοῦ τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι. **62, 64**

3929 Ἀ ρ ι σ τ ο τ έ λ η ς, υἱὸς Νικομάχου καὶ Φαιστιάδος· ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος. Ἐκ Σταγείρων, πόλεως τῆς Θράκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν ... **5.1**

Ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν ἠγάγετο μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου· ὅστις ἦν ἄρχων Ἀταρνέως· χώρα δὲ αὕτη Τρῳάδος, Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς ἔλαβε· καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. **3–4**

Ἦρξε δὲ ἔτη ιγ' τῆς Περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημίας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. Ἐγεννήθη δὲ ἐν τῇ ϥθ' Ὀλυμπιάδι καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον· οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο'. **2, 5, 6, 9–10**

11–12 cf. φ 39

4 Κυρηναῖος scripsi ex DL : Κυρηναίου *Suda* **11–12** καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι *Suda* et φ : om. DL

1 399 Ν ι κ ό μ α χ ο ς, ἰατρός, καὶ αὐτὸς Σταγειρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός· ἐξ οὗ κατήγετο Νικόμαχος, ὁ πατὴρ Ἀριστοτέλους τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός.

4–5 240 Κ α λ λ ι σ θ έ ν η ς ... Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς· ὃν ἔδωκεν ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. Ὁ δ' ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀνεῖλεν ... Τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρῳ ἀνῃρῆσθαί φασιν ... 5

8 2575 Π ρ ό π ο λ ο ι ... Μέλλων Εὐρυμέδων ποτ' Ἀριστοτέλην ⟨ἀσεβείας⟩ 10

γράψασθαι Δηοῦς μύστιδος ὢν πρόπολος.

924 Ἀ κ ό ν ι τ ο ν: ...

ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε τοῦτ' ἀκονιτί

(τουτέστι χωρὶς κόπου). 15

1333 Σ υ κ ο φ ά σ ο υ ς: συκοφάντας.

ἦν ἄρα νικῆσαι συκοφάσους ἀδίκους.

36–38 199 Θ ε ό φ ρ α σ τ ο ς Μελάντα γναφέως ..., ἀπὸ Ἐρεσσοῦ, ἀκουστὴς Ἀριστοτέλους καὶ διάδοχος τῆς σχολῆς τῆς ἐν τῷ περιπάτῳ ὑπ' αὐτοῦ καταλειφθείσης εἰς Χαλκίδα ἐκδημήσαντος. Οὗτος πρότερον ἐκαλεῖτο Τύρταμος· διὰ δὲ τὸ θείως φράζειν ὑπ' Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος ... Μαθητὰς δὲ ἔσχε πλεῖον ἢ ͵β΄, ἐρώμενον δὲ τὸν Ἀριστοτέλους υἱὸν τοῦ 20

11–12, 14 et **17** *Anth. Pal.* 7.107 **13–15** cf. Zon. 110

11 Ἀριστοτέλην ⟨ἀσεβείας⟩ scripsi ex DL et *Anth.* (Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστότελην ἀσεβείας) : Ἀριστοτέλη *Suda* **17** συκοφάσους *Suda* et *Anth.* : συκοφάσεις DL BP : συκοφάντας DL F

φιλοσόφου Νικόμαχον. Ἐτιμήθη δὲ παρὰ Κασσάνδρῳ τῷ
Ἀντιπάτρου· καὶ τελευτᾷ κατάπονος ὑπὸ τοῦ ἀεὶ γράφειν **40**
γενόμενος ... Βιβλία δὲ αὐτοῦ παμπλεῖστα, ὧν καὶ ταῦτα· **42**
Ἀναλυτικῶν προτέρων τρία, Ἀναλυτικῶν ὑστέρων ζ´,
5 ⟨Περὶ⟩ ἀναλύσεως συλλογισμῶν, Ἀναλυτικῶν ἐπιτομή,
Ἀνηγμένων τόπων ⟨β´⟩· Περὶ λίθων, Περὶ φυτῶν, Περὶ **44–45**
μετάλλων, Περὶ ὀδμῶν καὶ ἄλλα.

1185 Σ τ ρ ά τ ω ν, Λαμψακηνός, φιλόσοφος, Θεο- **58**
φράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου ἢ
10 Ἀρκεσίου. Ὃς ἐπεκλήθη Φυσικὸς διὰ τὸ παρ' ὀντιναοῦν
ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. Καθηγήσατο δὲ καὶ
Πτολεμαίου τοῦ ἐπικληθέντος Φιλαδέλφου. Καὶ ἔγραψε
βιβλία πολλά.

265 Ὠ τ ο κ ά τ α ξ ι ς: ... Ὠτοθλαδίας τε καὶ ἐμπι- **67**
15 νὴς ὢν [sc. Λύκων], ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος.

273 Ῥ ο ί α κ ε ς. Δίδωμι δὲ τῷ Καλλινίκου παιδίῳ **72**
ῥοιάκων ζεῦγος, ψιλοτάπιδα, ἀμφίταπον, περίστρωμα,
προσκεφάλαια δύο τῶν καλλίστων.

510 Φ θ ό ν ο ς ... Σφόδρα δὲ λαμπρὸς ὢν [sc. Δημή- **76–77**
20 τριος] παρὰ τοῖς Ἀθηναίοις, ὅμως ἐσκοτίσθη καὶ αὐτὸς
ὑπὸ τοῦ πάντα διεσθίοντος φθόνου· δίκην γὰρ θανάτου
ὦφλε.

429 Δ η μ ή τ ρ ι ο ς Φανοστράτου Φαληρεύς, φιλό- **78**
σοφος Περιπατητικός ... Εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ

5 περὶ **T** et DL : om. cett. **6** β´ addidi ex DL **16** Καλλινίκου : Καλλίνου DL | post παιδίῳ addit DL θηρακλείων(BP[1] : θηρικλεῖ F) ζεῦγος καὶ τῇ γυναικὶ αὐτοῦ **17** ῥοιάκων *Suda* et DL PF : ῥοίσκων B[2] : Ῥο⟨δ⟩ιακῶν Lennep **18** τῶν καλλίστων : τὰ βέλτιστα τῶν καταλειπομένων DL **20** ἐσκοτίσθη : ἐπεσκοτήσθη DL B[1] : ἐπεσκοτήθη DL PFB[2] et Φ 46 : κατεστρατηγήθη *Suda,* 429 Δημήτριος **21** διεσθίοντος *Suda* et DL BP : κατεσθίοντος DL F **22** ὦφλε : οὐ παρὼν ὦφλεν DL

ἐπικρατείας ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθε καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων, δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νόμῳ πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσι. 5

80, 75 Γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. Ἠκροάσατο δὲ Θεοφράστου καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. Συνέγραψε δὲ συχνὰ βιβλία.

79 155 Μ α ν θ ά ν ε ι ν: ... Μανθάνω γὰρ καὶ τοῦτο, 10 ὅτι Μένανδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ [sc. Δημητρίῳ].

85 512 Φ: Σ τ ί χ ο ι Δ η μ η τ ρ ί ο υ ε ἰ ς φ θ ο ν ε ρ ο ύ ς·

> Ζωὸν ἀτιμάσαντες ἀποφθίμενον ποθέουσι· 15
> καί ποθ' ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο
> ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν δ' ἐστήσατο λαός.

92–93 449 Π α ρ α σ τ ι χ ί ς· Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. (93) Αἰσθόμενος δὲ ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ 20 τὸ γεγονός· τοῦ δὲ ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλος.

6.13 64 Κ α θ ε ῖ ν α ι: ... Ἀντισθένην φασὶ πρῶτον πώγωνα καθεῖναι καὶ βάκτρῳ καὶ πήρᾳ χρήσασθαι.

18 532 Φ λ έ δ ω ν. Τὸν Ἀντισθένην τὸν φιλόσοφον 25

15–17 *Suppl. Hell.* 373

15 ἀτιμάσαντες *Suda* et DL F : ἀτιμήσαντες DL BP **17** ἄστεα *Suda* et DL BP : ἄστεϊ DL F **20** δὲ *Suda* et DL P : δὴ DL B et Φ 47 : om. DL F **22** Πάγκαλος Wehrli ex DL et Φ : παγκάλως *Suda* **23** Ἀντισθένην : Διόδωρον τὸν Ἀσπένδιον DL **24** χρήσασθαι : χρῆσθαι DL

ἐπιτιμῶν ὁ Τίμων διὰ τὸ πλῆθος "παντοφυῆ φλέδονα" καλεῖ.

1143 Δ ι ο γ έ ν η ς, Ἱκεσίου υἱὸς τραπεζίτου, Σινωπεύς. Ὃς φυγὼν τὴν πατρίδα διὰ τὸ παρακόψαι νόμισμα **20–21**
5 ἦλθεν εἰς Ἀθήνας καὶ Ἀντισθένει παραβαλὼν τῷ Κυνικῷ ἠράσθη τοῦ ἐκείνου βίου καὶ τὴν Κυνικὴν φιλοσοφίαν ἠσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας.

Γηραιὸς δὲ ὢν ὑπὸ πειρατοῦ Σκιρτάλου ἐλήφθη καὶ **74–75** πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ τινὶ παρὰ τῷ πριαμένῳ διέ-
10 μεινεν, οὐχ ἑλόμενος λυθῆναι ὑπὸ Ἀθηναίων ἢ τῶν οἰκείων καὶ φίλων.

Ἐπὶ δὲ τῆς ριγ´ Ὀλυμπιάδος κατέστρεψε τὸν βίον **77, 79** δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος καὶ θεραπείας ὑπεριδών, κατὰ τὴν αὐτὴν ἡμέραν ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος
15 ἐν Βαβυλῶνι ἀπέθανεν.

3640 Ε ὐ π ά ρ υ φ α: ... Ἰδὼν Διογένης ὁ Κύων εὐπάρυφόν τινα ἐν Κορίνθῳ, ἔφη· "Τούτῳ με πώλει." **74**

761 Ἴ ϋ γ ξ: ... Τοιαύτη τις προσῆν ἴϋγξ Διογένους **76** τοῖς λόγοις τοῦ Κυνός.

20 577 Ν υ κ τ α λ ό ς: ... Περὶ Διογένους τοῦ Κυνός **77** φησιν· οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός.

180 Ἄ γ ε δ ῆ τ α: ... Καὶ ἐπίγραμμα εἰς Διογένην **79** τὸν Κύνα·

> Διόγενες, ἄγε λέγε, τίς ἔλαβέ σε μόρος
> 25 ἐς Ἄϊδος;—Ἔλαβέ με κυνὸς ⟨ἄγριον⟩ ὀδάξ.

Τὸ δὲ ἐπίγραμμα διὰ βραχέων.

1 *PPF* Timon. B 37 = *Suppl. Hell.* 811 **18–19** cf. Zon. 1132 **24–25** *Suda,* 1141 Διογένης et 28 Ὀδάξ. Zon. 35; *Anth. Pal.* 7.116; Φ 49

4 παρακόψαι : παραχαράξαντος DL et Φ 49 **25** ἄγριον addidi e *Suda,* 28 Ὀδάξ, DL, Φ et *Anth.* : om. *Suda,* A 180 et Δ 1141

84 3274 Ἀπόγραφος· ὁ δὲ Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει (τουτέστι τοῦ Ξενοφῶντος). = 351 Ὀνησίκριτος.

85 2341 Κράτης Ἀσκωνίδου Θηβαῖος, φιλόσοφος Κυνικός, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ. 5
87–88 Ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτῃ εἰπών, εἰ οἱ παῖδες αὐτῷ φιλοσοφήσουσι, τῷ δήμῳ δοῦναι· εἰ δὲ μή, τοῖς παισὶν αὐτοῖς. Γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνεῖτιν κυνογαμίαν τὸν γάμον ἐκάλεσε. Παῖδα δὲ ἔσχε ἐξ αὐτῆς Πασικλέα. Ἦν δὲ ἐπὶ τῆς ριγ´ Ὀλυμπι- 10
86 άδος. Ἐπεκλήθη δὲ Θυρεπανοίκτης διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς πάντα, οὗπερ ἠβούλετο, οἶκον ... Ὅτι Κράτης εἶπεν·

> Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος·
> †ἂν δὲ μηδὲ τούτῳ δύνασαι,† βρόχος. 15

96–97 448 Ἤρα: ἐπεθύμει. Ἱππαρχία ἤρα τῶν λόγων Κράτητος, οὐδενὸς ἄλλου ἐπιστρεφομένη πράγματος. (97) Ἥτις ἐς συμπόσιον ἐλθοῦσα σὺν Κράτητι Θεόδωρον τὸν Ἄθεον ἤλεγξε, σόφισμα προτείνασα τοιοῦτο· Ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία 20 ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτο ἄν· Θεόδωρος τύπτων

11–12 cf. *Suda*, 606 Θυρεπανοίκτης **14–15** *PPF* Cratetis B 14; cf. *Anth. Pal.* 9. 497; Iul. *Or.* 6, 198 D **16** cf. 517 Ἱππαρχία

11 ἀδεῶς om. *Suda*, Θ 606 | ἐπεισιέναι **A** et Θ 606 : εἰσέρχεσθαι **G V M** : εἰσιέναι DL **12** πάντα scripsi ex Θ 606 : παντὸς *Suda* : εἰς πᾶσαν ... οἰκίαν DL **15** ἂν δὲ μηδὲ τούτῳ δύνασαι *Suda* (ἂν **A** : εἰ **G V M** | μηδὲ **A** : μὴ **G M** | τούτῳ **A** : τοῦτο **G M**) : ⟨ἐ⟩ὰν δὲ τούτῳ μὴ δύνῃ ⟨χρῆσθαι⟩ conieci conl. DL (ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι) : ἂν δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι Iul. : ἐὰν δὲ μηδὲ (*Plan.* : μὴ *Pal.*) ταῦτα τὴν φλόγα σβέσῃ *Anth.* **17** οὐδενὸς – πράγματος : οὐδενὸς τῶν μνηστευομένων ἐπιστρεφομένη DL **19** ἤλεγξε : ἐπήλεγξε DL **21** δὲ τύπτων DL

ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. Ὁ δὲ πρὸς τὸ λεχθὲν οὐκ ἀπήντησεν, ἀνεσύρατο δ' αὐτῆς τὸ ἱμάτιον.

150 Θ ε ό δ ω ρ ο ς· ὁ ἐπίκλην Ἄθεος ... Οὗτος εἶπε **98**
5 πρὸς Ἱππαρχίαν, τὴν γυναῖκα Κράτητος· αὕτη ἐστὶν

ἡ τὰς πρὸς ἱστοὺς ἐκλιποῦσα κερκίδας

καὶ τρίβωνα φοροῦσα.

180 Φ α ι ό ς· Μένιππος ὁ Κυνικὸς ἐπὶ τοσοῦτον **102**
τερατείας ἤλασεν, ὡς Ἐριννύος ἀναλαβεῖν σχῆμα, λέγων
10 ἐπίσκοπος ἀφῖχθαι τῶν ἁμαρτανομένων ἐξ ᾅδου καὶ
πάλιν κατιὼν ἀπαγγέλλειν ταῦτα τοῖς ἐκεῖ δαίμοσιν. Ἦν
δὲ ⟨αὐτῷ⟩ ἡ ἐσθὴς αὕτη· φαιὸς χιτὼν ποδήρης, περὶ αὐτῷ
ζώνη φοινικῆ, καὶ πῖλος Ἀρ⟨κα⟩δικὸς ἐπὶ τῆς κεφαλῆς,
ἔχων ἐνυφασμένα τὰ ιβ' στοιχεῖα· ἐμβάται τραγικοί,
15 πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μελίνη.

2712 Κ υ ν ι σ μ ό ς: αἵρεσις φιλοσόφων. Ὁ δὲ ὁρισ- **104–105**
μὸς αὐτοῦ· "σύντομος ἐπ' ἀρετὴν ὁδός." Τέλος δὲ τοῦ
Κυνισμοῦ τὸ κατ' ἀρετὴν ζῆν, ὡς Διογένης καὶ Ζήνων ὁ
Κιτιεύς. (105) Ἤρεσκε δ' αὐτοῖς λιτῶς βιοῦν, αὐτάρκεσι
20 χρωμένοις σιτίοις, πλούτου καὶ δόξης καὶ εὐγενείας

6 Eurip. *Bacch.* 1236

1 οὐδ' ἄρα DL **2** οὐκ : οὐδὲν DL | ἀνεσύρατο : ἀνέσυρε DL **3** τὸ ἱμάτιον scripsi ex DL (θοἰμάτιον) : τὸ ῥημάτιον *Suda* **6** πρὸς ἱστοὺς : παρ' ἱστοῖς DL, Φ 54 et Eurip. **7** καὶ τρίβωνα φοροῦσα om. DL (cf. 6.97) **8** Μένιππος (= M 612) *Suda* : Μενέδημος DL **9** ἀναλαβεῖν σχῆμα : ἀναλαβὼν σχῆμα περιῄει DL **10–11** καὶ ... ἀπαγγέλλειν : ὅπως ... ἀπαγγέλλοι DL BP **12** αὐτῷ addidi ex DL **13** Ἀρ⟨κα⟩δικὸς scripsi ex DL : ἀρδικὸς *Suda* **15** μειλίνη DL **19** ἤρεσκε : ἀρέσκει DL **20** post σιτίοις addunt DL et Φ 49 καὶ τρίβωσι μόνοις

καταφρονεῖν. Ἔνιοι δὲ βοτάναις καὶ ὕδατι ψυχρῷ ἐχρῶν-
το, σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις· καὶ ἔφασκον
θεοῦ μὲν ἴδιον εἶναι τὸ μηδενὸς δεῖσθαι, τῶν δὲ θεῷ
ὁμοίων τὸ ὀλίγων χρῄζειν. Ἀρέσκει δ' αὐτοῖς καὶ τὴν
ἀρετὴν διδακτὴν εἶναι καὶ ἀναπόβλητον. 5

7.1–2 76 Αἰγυπτία κληματίς: ἐπὶ τῶν ἰσχνῶν
καὶ ὑπομήκων· ὁποῖος ἦν Ζήνων ὁ Κιτιεύς. (2) Ὅν φασι
χρηστηριαζόμενον πῶς ἄριστα βιώσεται, ἀποκρίνασθαι
τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ
τῶν ἀρχαίων ἀναγινώσκειν. 10

79 Ζήνων: ... Ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ
περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς· ὅπερ ἦν τοῖς
ἀρχαίοις διὰ τῶν βιβλίων.

1313 Συγχρωτίζεσθαι: πλησιάζειν. Ζήνωνι
γὰρ τῷ Κιτιεῖ ἐχρήσθη πυνθανομένῳ περὶ βίου, πῶς ἂν 15
εὐδαίμων γένοιτο, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅ ἐστι
τοῖς βιβλίοις τοῖς τῶν ἀρχαίων.

3 3531 Εὐκαίρως ... Εὐκαίρως δὲ παριόντος Κρά-
τητος, ὁ βιβλιοπώλης δείξας αὐτόν φησι· "Τούτῳ παρα-
κολούθησον." 20

4–5 604 Νῦν εὐπλόηκα, ὅτε νεναύγη-
κα: ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ
Κιτιεὺς καταλιπὼν τοὺς πρὶν διδασκάλους καὶ Κράτητος
τοῦ φιλοσόφου φοιτητὴς γενόμενος τοῦτο εἴρηκε· ναυ-
αγίῳ περιπεσὼν καὶ εἰπών· "Εὖ γε ποιεῖ ἡ τύχη προσελαύ- 25
νουσα ἡμᾶς φιλοσοφίᾳ," οὕτω τραπῆναι πρὸς φιλοσο-
φίαν.

1 καταφρονεῖν : καταφρονοῦσιν DL et Φ | ἔνιοι δὲ : ἔνιοί τε DL BP : ἐνίοτε Φ : ἔνιοι DL F | ἐχρῶντο : χρῶνται DL : χρωμένοις Φ **3** θεοῦ : θεῶν DL et Φ | θεῷ : θεοῖς DL et Φ **8** χρηστηριαζομένου DL PF et Φ 55 : χρηστηριασαμένου DL B

1150 Σ τ ω ϊ κ ο ί· Ζήνων ὁ Κιτιεὺς ἀνακάμπτων ἐν τῇ Ποικίλῃ στοᾷ καὶ Πεισιανακτείῳ, ὕστερον δὲ ἀπὸ τῆς γραφῆς τοῦ ζωγράφου Πολυγνώτου Ποικίλῃ κληθείσῃ, διετίθετο τοὺς λόγους, ⟨βουλόμενος καὶ τὸ χωρίον ἀπερί-
5 στατον ποιῆσαι.⟩ Ἐπὶ ⟨γὰρ⟩ τῶν λ΄ ⟨τῶν⟩ πολιτῶν πρὸς τοῖς χιλίοις υ΄ ἀνῄρηντο ἐν αὐτῷ. Προσῄεσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ, καὶ διὰ τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον καὶ Ζηνώνειοι καλούμενοι. **5**

1469 Π ε ι σ ι α ν ά κ τ ε ι ο ς σ τ ο ά: ἥτις ἀπὸ Πο-
10 λυγνώτου ζωγράφου Ποικίλη κληθεῖσα.

79 Ζ ή ν ω ν Μνασέου ἢ Δημέου, Κιτιεύς ... Ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωϊκὸς διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρῴην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα Ποικίλη ἐκλήθη.

15 438 Λ ή κ υ θ ο ν ... Ζήνων ὁ Κιτιεὺς ποιήσας κοῖλον ἐπίθεμα τῇ ληκύθῳ περιέφερε νόμισμα, λύσιν ἕτοιμον τῶν ἀναγκαίων ἵν' ἔχοι Κράτης. **12**

82 Ν α υ τ ι κ ῶ ς δ α ν ε ί ζ ε ι ν· φασὶ Ζήνωνα ὑπὲρ ͵α΄ τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦ-
20 τα δανείζειν ναυτικῶς. **13**

609 Σ κ ι ν δ α ψ ό ς: ὄργανον μουσικόν. Περὶ Ζήνωνος τοῦ Κιτιέως· **15**

ὁ δ' ἔρρει γύργαθος †αὐτοῦ
μικρὸς ἰών·† νοῦν δ' εἶχεν ἐλάσσονα σκινδαψοῖο.

23–24 *PPF* Timonis B 38.2–3 = *Suppl. Hell.* 812; Φ 55

2 ὕστερον om. DL **4–5** βουλόμενος – ποιῆσαι supplevi ex DL (cf. v. 6 ἐν αὐτῷ) **5** γὰρ addidi ex DL | τῶν[2] addidi ex DL **5–6** τοῖς χιλίοις **G M**[2] : τοὺς χιλίους **A V M**[1] et DL **17** Κράτης Kuster ex DL : κράτος *Suda* **23–24** αὐτοῦ μικρὸς *Suda* : αὐτῆς μικρὸς DL et Φ : αὐτῇ σμικρὸς Diels **24** ἰὼν *Suda*, DL BP[2] et Φ : ἐὼν DL F | σκινδαψοῖο : κινδαψοῖο DL et Φ

16 488 Γ υ μ ν ο ρ ρ ύ π α ρ ο ι: οἱ σοφισταί. Ἦσαν δὲ περὶ αὐτὸν γυμνορρύπαροί τινες.

2853 Π ρ ό σ χ η μ α: ... προσχήματι οἰκονομίας, βαρβαρικῆς ἐχόμενος [sc. Ζήνων] σμικρολογίας.

17 606 Σ κ ι μ α λ ί σ ω: ... Δυοῖν ὑπερανακειμένοιν ἐν πότῳ τοῦ Ζήνωνος, καὶ τοῦ ὑπ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ γόνατι. Ἐπιστραφέντος δέ, "Τί οὖν οἴει τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;" 5

21 364 Μ ε γ α λ ο δ ω ρ ί α · ... Ζήνων ἐπιβαλομένου τινὸς μέγα φυσᾶν, πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. 10

25 76 Κ α θ ῆ κ ό ν φασι πρῶτον ὠνομακέναι Ζήνωνα Κιτιέα καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι.

26 3722 Ἄ π υ ρ α σ ῖ τ α · ... Καὶ Ἄπυρος τροφή, ἡ δι' ὀπώρας καὶ λαχάνων. Ὁ δὲ Ζήνων ἀπύρῳ τροφῇ ἐκέχρητο καὶ τρίβωνι λεπτῷ. 15

27–28 79 Ζ ή ν ω ν Μνασέου ἢ Δαμέου, Κιτιεύς ... Καὶ παροιμία Ζ ή ν ω ν ο ς ἐ γ κ ρ α τ έ σ τ ε ρ ο ς. Οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. Φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει. (28)Τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. Καὶ δὴ η΄ πρὸς τοῖς ϙ΄ βιοὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας. 20

10–12 cf. Athen. 14, 629 AB; Φ 55

4 ἐχόμενος Toup ex DL : ἐχόμενοι *Suda* **6** ὑπ' αὐτὸν **G M** et DL F : ὑφ' αὐτὸν **A V**, DL BP et Φ **8** post οἴει add. ἔφη Φ **10** Ζήνων : immo Καφισίας ὁ αὐλητής | ἐπιβαλομένου Suda et DL F : ἐπιβαλλομένου DL BP, Φ et Athen. **11** τινὸς τῶν μαθητῶν DL, Φ et Athen. | μέγα *Suda* et Athen. : μεγάλα DL et Φ **22** ὑπερεβάλλετο DL | εἴδει : εἴδει τούτῳ DL

4420 Α ὔ ε ι ς: φωνεῖς, λαλεῖς. Ζήνων γὰρ ὁ Κιτιεὺς **29**
ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. Παίσας δὲ τὴν γῆν τῇ χειρί φησι τὸ ἐκ Νιόβης·

ἔρχομαι· τί μ' αὔεις;

5 Καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν, βιοὺς δὲ ἔτη ⟨η΄ καὶ⟩ ϙ΄ ἄνοσος· οἱ δὲ δυοῖν δέοντας ξ΄ ζῆσαι αὐτὸν ἔτη φασίν.

4387 Ἄ τ ρ ε σ τ ο ς· **30**

ἐνηθλήσω δὲ προνοίᾳ
10 αἵρεσιν ἀτρέστου μητέρ' ἐλευθερίης.

21 Κ ά δ μ ο ς: ... Ἐν ἐπιγράμματι Ζήνωνος·

Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; †ὃν† καὶ ὁ Κάδμος
κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

327 Κ ά π π α ρ ι ς: εἶδος βοτάνης ... Ὁ δὲ Ζήνων ὁ **32**
15 Κιτιεὺς ὤμνυε κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα.

202 Δ έ λ τ ο ς: ... Ζήνων ὁ Κιτιεὺς Κλεάνθην τὸν **37**
αὐτοῦ διάδοχον ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.

627 Δ ι α λ ε κ τ ι κ ή: ... Διαλεκτική ἐστιν ἐπιστή- **42**
20 μη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων... Καλεῖται δὲ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι· τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει.

85 Φ α ν τ α σ ί α κ α ὶ φ ά ν τ α σ μ α δ ι α- **50–51**
φ έ ρ ε ι: φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἵα

9–10 et **12–13** *Anth. Pal.* 7.117.3–6

6 η΄ καὶ addidi e *Suda* et DL | ζῆσαι : immo ἀφηγήσασθαι τῆς σχολῆς DL **10** ματέρ' ἐλευθερίας DL **12** ὃν *Suda* et DL BP[1] F : ἣν *Pal.*[1], ἦν *Pal.*[2] : ἧς DL P[5] **21** τοῦ ὀρθῶς διαλέγεσθαι DL

γίνεται κατὰ τοὺς ὕπνους· φαντασία δὲ τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλλοίωσις. Οὐ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος, ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι. Νοεῖται δὲ φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομε- 5 μαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. (51) Τῶν δὲ φαντασιῶν αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δὲ οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν 10 ἀσωμάτων καὶ τῶν ἄλλων λόγῳ λαμβανομένων.

52–53 524 Ν ο ῦ ς· ... Ὅτι τῶν διανοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατὰ ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν. (53) Καὶ κατὰ περίπτωσιν μὲν τὰ 15 αἰσθητά· καθ' ὁμοιότητα δὲ τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατ' ἀναλογίαν δὲ αὐξητικῶς μέν, ⟨*⟩ ὁ Τιτυὸς καὶ ὁ Κύκλωψ, μειωτικῶς δέ, ὡς ὁ Πυγμαῖος (καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν)· κατὰ μετάθεσιν δέ, 20 οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους· κατὰ σύνθεσιν δὲ Ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν θάνατος. Νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. Φυσικῶς δὲ νοεῖται ⟨δί⟩καιόν τι καὶ ἀγαθόν· καὶ κατὰ στέρησιν, οἷον ἄχειρος. 25

1 δέ ἐστι DL **11** τῶν ἄλλων τῶν λόγῳ DL **12** τῶν νοουμένων DL **14** τὰ δὲ κατὰ μετάθεσιν *Suda*, om. DL, add. Stephanus **15–16** ἐνοήθη τὰ αἰσθητά DL **18** post μὲν om. ὡς *Suda* et DL, add. Huebner **21** δὲ ἐνοήθη DL **24** ⟨δί⟩-καιόν Kuster ex DL : καὶ ὅν *Suda* **25** ἄχειρος **A F V M**[1] : ἄχειρ **G M**[2] et DL

2495 Π ε ρ ὶ π ρ ο λ ή ψ ε ω ς· ... Ὁ δὲ Χρύσιππος ἐν τῷ ιβʹ Φυσικῶν λόγων δύο φησὶν εἶναι κριτήρια, αἴσθησιν [γνῶσιν] καὶ πρόληψιν· ἔστι δὲ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. **54**

5 835 Σ ῶ μ α: ... Ὅτι πᾶν τὸ ποιοῦν σῶμά ἐστι· ποιεῖ δ' ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων· ὥστε σῶμά ἐστι. **55–56**

658 Λ ό γ ο ς· λόγος ἐστὶ φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη. (57) Λόγος δὲ σημαίνει ςʹ. Διαφέρει 10 δὲ λέξις καὶ λόγος· λέξις μὲν γὰρ ἄσημος γίνεται, ὡς βλίτυρι, λόγος δὲ οὐδαμῶς. Διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει. (59) Ἀρεταὶ δὲ τοῦ λόγου εʹ· Ἑλληνισμός, σαφήνεια, συντομία, πρέπον, 15 ἀποσκευή. **56–59**

104 Β α ρ β α ρ ί ζ ε ι: ... Ἔστι δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων· σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν. = 782 20 Σ ο λ ο ι κ ι σ μ ό ς. **59**

2929 Ἀ π α ρ τ ί α ν: ... Καὶ Ἀ π α ρ τ ι ζ ό ν τ ω ς ... Ὅρος γάρ ἐστι λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος. = 1951 Ἀ ν ά λ υ σ ι ς et 627 Ὅ ρ ο ς. **60**

1706 Ἀ μ φ ι β ο λ ί α: λέξις δύο ἢ καὶ πλείονα 25 πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, ὥσθ' ἅμα πλείονα ἐκδέξασθαι κατὰ τὴν αὐτὴν λέξιν· οἷον Αὐλη- **62**

2 Φυσικῶν λόγων scripsi conl. DL : φυσικῷ λόγῳ *Suda* | δύο **A V** : τρία **G M** : om. DL **3** γνῶσιν om. DL, del. Bernhardy **14** εʹ *Suda* et DL F : εἰσὶ εʹ DL BP **15** ἀποσκευή : κατασκευή DL **19** ὡς τὸ – ἔπεσεν om. DL **25** post κυρίως addit DL καὶ κατὰ τὸ αὐτὸ ἔθος **26** τὴν αὐτὴν : ταύτην τὴν DL

τρὶς πέπτωκε· δηλοῦται γὰρ δι' αὐτῆς καὶ ὅτι Οἰκία τρὶς πέπτωκε, καὶ ὅτι ἡ Κιθαρῳδὸς ἡ αὐλοῦσα. = 4435 Αὐλητρὶς πέπτωκεν.

64–63 1039 Κ α τ η γ ό ρ η μ α· κατηγόρημά ἐστι τὸ κατά τινος ἀγορευόμενον ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ 5 τινων. (63) Ἐν γὰρ τῷ περὶ πραγμάτων καὶ σημαινομένων τόπῳ τέτακται ὁ περὶ λεκτῶν αὐτοτελῶν ⟨καὶ⟩ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν ⟨καὶ⟩ κατηγορημάτων (καὶ ὀρθῶν καὶ ὑπτίων). Λεκτὸν δέ φασι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. Τῶν δὲ λεκτῶν τὰ 10 μέν εἰσιν ἐλλιπῆ ⟨καὶ ἀναπάρτιστον ἔχοντα τὴν διάνοιαν⟩, οἷον "Γράφει" (ἐπιζητοῦμεν γὰρ τίς;), τὰ δὲ αὐτοτελῆ καὶ ἀπηρτισμένην ἔχοντα τὴν διάνοιαν, οἷον "Γράφει ὁ Σωκράτης." Ἐν μὲν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι τὰ ἀξιώματα καὶ οἱ 15 συλλογισμοὶ καὶ τὰ ἐρωτήματα καὶ τὰ πύσματα.

65–66 2827 Ἀ ξ ί ω μ α· ... Ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψευδές· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ ἢ καταφαντόν· οἷον "'Ημέρα ἐστί," "Δίων περιπατεῖ." Ὠνόμασται δὲ ἀξίωμα παρὰ φιλοσόφοις ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι. Ὁ γὰρ λέγων "'Ημέρα ἐστὶν" ἀξιοῦν 20 δοκεῖ τὸ ἡμέραν εἶναι. Οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δέ, ψεῦδος.

(66) Διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα. Ἔστι γὰρ προστακτικόν, ὁρκικόν, ἀρατικόν, ὑποθετικόν, 25

2 ἡ κιθαρῳδὸς ἡ αὐλοῦσα : αὐλήτρια DL **7** καὶ αὐτοτελῶν DL | καὶ addidi ex DL **8** καὶ[3] addidi ex DL **9** λεκτὸν scripsi ex DL : λεκτέον *Suda* **11** καὶ ἀναπάρτιστον ἔχοντα τὴν διάνοιαν supplevi ex DL **13** διάνοιαν : ἐκφοράν DL **17** ὅ ἐστιν scripsi ex DL : τουτέστιν *Suda* **18** ψευδές : ψεῦδος DL **19** ἢ καταφαντὸν om. DL **20** παρὰ φιλοσόφοις om. DL **25** ἔστι γὰρ om. DL

προσαγορευτικόν. Ἀξίωμα μὲν γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα, ἢ ἀληθὲς ἢ ψευδές. Ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μέν, ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως· οἷον " Ἆρά γε ἡμέρα ἐστί;" Τοῦτο δὲ οὔτε
5 ἀληθές ἐστιν, οὔτε ψευδές· ὥστε τὸ μὲν " Ἡμέρα ἐστὶν" ἀξίωμα, τὸ δὲ " Ἆρά γε ἡμέρα ⟨ἐστίν⟩;" ἐρώτημα. Πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, "Ναί," ἀλλὰ εἰπεῖν· "Οἰκεῖ ἐν τῷδε τῷ τόπῳ." Τὰ δὲ λοιπὰ δῆλα.

10 371 Α ἰ τ ι ῶ δ ε ς ψ ε ῦ δ ο ς: ἤτοι ὃ ἀπὸ ψεύδους **74**
ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον· οἷον "Διότι νύξ ἐστι, Δίων περιπατεῖ."

1572 Π ι θ α ν ό ν· πιθανὸν ἀξίωμά ἐστι τὸ ἄγον εἰς **75**
15 συγκατάθεσιν· οἷον "Εἴ τίς τι ἔτεκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί." Ψεῦδος δὲ τοῦτο· οὐ γὰρ ἡ ὄρνις ᾠοῦ ἐστι μήτηρ.

537 Ἀ δ ύ ν α τ α ε ἶ ν α ι: ... Ἀδύνατον δέ ἐστιν ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι· οἷον "Ἡ γῆ ἵπ-
20 ταται."

1827 Ἀ ν α γ κ α ῖ ο ν: ... Ἀναγκαῖόν ἐστιν ὅπερ ἀληθὲς ὂν οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι· ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δὲ ἐκτὸς αὐτῷ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι· οἷον "Ἡ ἀρετὴ ὠφελεῖ." Οὐκ ἀναγκαῖον
25 δέ ἐστιν ὃ καὶ ἀληθές ἐστι καὶ ψεῦδος οἷόν τε αὐτὸ εἶναι, τῶν ἐκτὸς μηδὲν ἐναντιουμένων· οἷον "Περιπατεῖ Δίων."

10–13 cf. Zon. 89 **18–20** cf. Zon. 47

1 post προσαγορευτικὸν addit DL καὶ πρᾶγμα ὅμοιον ἀξίωματι **2 et 5** ψευδές : ψεῦδος DL **6** ἀξίωμά ἐστι DL | ἐστίν addidi ex DL **7** ἀποκρίνασθαι M et DL F **9** τὰ δὲ λοιπὰ δῆλα om. DL **10** ὃ ἤτοι DL **25** αὐτὸ om. DL

76 3569 Ε ὔ λ ο γ ο ν ἀ ξ ί ω μ α: τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι· οἷον "Βιώσομαι αὔριον."

76–77 1055 Τ ρ ό π ο ν: ... Τρόπος δὲ ἐπὶ τῶν συλλογισμῶν οἱονεὶ σχῆμα τοῦ λόγου, οἷον ὁ τοιοῦτος· "Εἰ τὸ α´, τὸ β´· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον." (77) Παρεισήχθη 5
δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μικροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, "Τὸ δὲ α´· τὸ ἄρα β´."

77 659 Λ ο γ ό τ ⟨ρ⟩ ο π ο ς: παρὰ φιλοσόφοις τὸ ἐξ ἀμ- 10
φοτέρων σύνθετον· οἷον "Εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον." Παρεισήχθη δὲ ὁ λογότ⟨ρ⟩οπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν
καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, "Τὸ 15
δὲ πρῶτον· τὸ ἄρα δεύτερον."

85-87 601 Ὁ ρ μ ή· Ὁρμὴ ἡ πρώτη τοῖς ζῴοις σύνεστιν ἐπὶ τὸ τηρεῖν ἑαυτά, οἰκειούσης αὐτοῖς τῆς φύσεως ἀπ' ἀρχῆς. Πρῶτον γὰρ οἰκεῖον παντὶ ζῴῳ ἡ ⟨αὐτοῦ⟩ σύστασις καὶ ἡ ταύτης συν⟨εί⟩δησις, καὶ οἰκείως ἔχειν πρὸς 20
ἑαυτά· διὸ τὰ βλάπτοντα διωθεῖται, τὰ δ' οἰκεῖα προσίεται. Καὶ οὐ πρὸς ἡδονὴν γίνεται ἡ πρώτη ὁρμὴ τοῖς ζῴοις. (86) Ἐπιγέν⟨ν⟩ημα γὰρ ἂν εἴη, εἰ ἄρα ἔστιν, ἡδονὴν εἶναι ὅταν αὐτὴν καθ' αὐτὴν ἡ φύσις ἐπιζητήσασα τὰ
ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀντιλαμ- 25
βάνεται τὰ ζῷα καὶ θάλλει τὰ φυτά. Καὶ οὐ διήλλαξεν

10 et 13 λογότροπος scripsi e *Suda* et DL : λογοτόπος *Suda* **10** παρὰ φιλοσόφοις om. DL **14** πρόσληψιν scripsi e *Suda* et DL : σύλληψιν *Suda* **19** αὐτοῦ addidi ex DL **20** συν⟨εί⟩δησις scripsi ex DL : σύνδεσις *Suda* | οἰκείως ἔχειν : οἰκειῶσαι DL **23** ἂν εἴη scripsi : ἂν ἦν *Suda* : φασιν DL **24** αὐτὴν : αὐτὴ Salmasius **25** ἀντιλαμβάνεται : ἀφιλαρύνεται DL **26** οὐ : οὐδὲν DL

ἡ φύσις ἐπὶ φυτῶν καὶ ζῴων, ὅτε χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ καὶ ἐφ' ἡμῶν τινα φυτοειδῶς γίνονται. Ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται ⟨πρὸς τὰ οἰκεῖα⟩, τούτοις
5 μὲν τὸ κατὰ φύσιν †τὸ† κατὰ τὴν ὁρμὴν διοικεῖσθαι· τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου, τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι †τοῖς† κατὰ φύσιν· τεχν⟨ίτ⟩ης γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς. (87) Διὸ καὶ Ζήνων τέλος εἶπεν εἶναι τὸ ὁμολογουμένως τῇ
10 φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ [καὶ] πρὸς ταύτην ἡμᾶς ἡ φύσις.

3830 Ἀ ρ ε τ ή: διάθεσις ὁμολογουμένη, καὶ αὐτὴ δι' **89–93** αὑτὴν οὖσα αἱρετή, οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν· ἐν αὐτῇ τέ ἐστιν εὐδαιμονία, ἅτε οὔσῃ ψυχῇ
15 πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς ⟨τοῦ⟩ βίου. Καὶ διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον, ὁτὲ μὲν διὰ τὰς τῶν ἔξωθεν πραγματειῶν πιθανότητας, ὁτὲ δὲ διὰ τὴν κατήχησιν τῶν συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους.
20 (90) Ἡ ἀρετὴ δὲ τέλειός ἐστιν, ὥσπερ ἀνδριάς· καὶ ἢ ἀθεώρητος, ὥσπερ ὑγεία, ἢ θεωρηματική, ὡς φρόνησις. Καὶ ἐπιστημονικαὶ μέν εἰσι καὶ θεωρηματικαὶ αἱ ἔχουσαι σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησις καὶ δικαιοσύνη· ἀθεώρητοι δὲ αἱ κατὰ παρέκτασιν θεωρούμεναι ταῖς ἐκ
25 τῶν θεωρημάτων συνεστηκυίας, καθάπερ ὑγεία καὶ ἰσχύς. Τῇ γὰρ †ἀφροσύνῃ† τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγείαν, καθάπερ τῆς

12–14 ἐν αὐτῇ cf. Zon. 297

4 πρὸς τὰ οἰκεῖα supplevi ex DL **5** τὸ^2 : τῷ ab Arnim **7** τοῖς *Suda* et DL : τῷ conieci **8** τεχν⟨ίτ⟩ης scripsi ex DL : τέχνη *Suda* **9** εἶναι om. DL **10** καὶ delevi, om. DL **15** τοῦ addidi ex DL **17** κατήχησιν DL : κατίχησιν *Suda* **F** : κατίσχησιν **A I V M** : κατίσχυσιν **G T** **23** τὴν σύστασιν DL **26** ἀφροσύνῃ *Suda* et DL BPF (γράφεται) : εὐφροσύνῃ Chalcondyles et DL F : σωφροσύνῃ Menag.

ψαλίδος οἰκοδομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι. (91) Καλοῦνται δὲ ἀθεώρητοι, ὅτι μὴ ἔχουσι συγκαταθέσεις, ἀλλ' ἐπιγίνονται, ὡς ὑγεία καὶ ἀνδρεία. Τεκμήριον δὲ τοῦ ὑπαρκτὴν εἶναι τὴν ἀρετὴν τὸ γενέσθαι ἐκ προκοπῆς τοὺς περὶ Σωκράτην, Διογένην, Ἀντισθένην. Εἶναι δὲ καὶ τὴν 5 κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. Διδακτήν τε εἶναι τὴν ἀρετήν, ὡς δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς ἐκ φαύλων.

(92) Εἰσὶ δὲ δύο ἀρεταί, θεωρητικὴ καὶ πρακτική· οἱ δὲ γ´, λογικήν, φυσικήν, ἠθικήν· οἱ δὲ περὶ Ποσειδώνιον δ´, 10 οἱ δὲ πλείονας, οἱ δὲ μίαν, τὴν φρόνησιν. Πρώτας δὲ ἀνδρείαν, φρόνησιν, δικαιοσύνην, σωφροσύνην, τὰς δὲ λοιπὰς ὑποτεταγμένας ταύταις, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀγχίνοιαν, εὐβουλίαν. (93) Ἀνάλογον δὲ καὶ αἱ κακίαι. 15

92 726 Φ ρ ό ν η σ ι ς· φρόνησίς ἐστιν ἐπιστήμη κακῶν καὶ ἀγαθῶν καὶ οὐδετέρων.

1073 Δ ι κ α ι ο σ ύ ν η: ἐπιστήμη ὧν αἱρετέον καὶ εὐλαβητέον καὶ οὐδετέρων.

93 371 Μ ε γ α λ ό φ ρ ω ν: μεγαλόψυχος. Μεγαλόψυ- 20 χος δέ ἐστιν ὁ ἕξιν ἔχων ὑπεράνω ἑαυτὸν τιθέναι πάντων τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων.

123 Ἐ γ κ ρ ά τ ε ι α: διάθεσις ἀνυπέρβατος τῶν κατ' ὀρθὸν λόγον ἢ ἕξις ἀήττητος ἡδονῶν.

11–12 cf. *Suda*, Γ 148 **18–19** cf. Zon. 518 **23–24** cf. Zon. 600

1 οἰκονομίᾳ **F** et DL F[1] et γράφεται **3** post ἐπιγίνονται addunt DL PF καὶ περὶ φαύλους γίνονται : om. *Suda* et DL B **4** ἐν προκοπῇ DL **7** ὡς scripsi : καὶ *Suda* : om. DL **10** γ´ om. DL **12** φρόνησιν, ἀνδρείαν DL et *Suda*, Γ 148 **14** Ἀνάλογον scripsi coni. DL et *Suda*, Κ 150 : ἀνάλογοι *Suda* **21** ὁ ἐπιστήμην ⟨ἢ⟩ ἕξιν DL | πάντων om. DL

427 Κ α ρ τ ε ρ ί α: ἡ ἐπιστήμη ἢ ἕξις ὧν ἐμμενετέον καὶ μὴ καὶ οὐδετέρων.

403 Ἀ γ χ ί ν ο ι α: ... Ἢ ἕξις εὑρετικὴ τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα.

5 3384 Ε ὐ β ο υ λ ί α: ἐπιστήμη τοῦ σκοπεῖσθαι ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως.

150 Κ α κ ί α· ἀνάλογον ταῖς ἀρεταῖς αἱ κακίαι· αἱ μέν εἰσι πρῶται, αἱ δὲ ὑπὸ ταύτας· οἷον ἀφροσύνη, δειλία, ἀδικία, ἀκολασία, ἀκρασία, βραδύνοια, κακοβου-
10 λία. Εἰσὶ δὲ ἀγνοίας αἱ κακίαι. (95) Τὰ δὲ μετέχοντα τῶν κακιῶν, αἵ τε πράξεις αἱ κατὰ κακίαν καὶ οἱ φαῦλοι· ἐπιγεννήματα δὲ δυσθυμία, δυσφροσύνη καὶ τὰ ὅμοια. **93, 95**

118 Ἀ γ α θ ό ν: κοινῶς μὲν τό τι ὄφελος, ἰδίως δὲ ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας. Ὅθεν αὐτήν τε τὴν
15 ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς λέγεσθαι· οἷον τὸ ἀγαθὸν ἀφ' οὗ συμβαίνει ⟨*⟩, ὡς τὴν πρᾶξιν τὴν κατ' ἀρετήν· ὑφ' οὗ δέ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. Ἢ οὕτως· τὸ ἀγαθόν, τὸ τέλειον κατὰ φύσιν λογικοῦ ἢ ὡς λογικοῦ. Τοιοῦτο δ' εἶναι τὴν ἀρετήν, †ὡς†
20 μετέχοντα τάς τε πράξεις τὰς κατ' ἀρετὴν καὶ τὸ σπουδαίους εἶναι· ἐπιγεννήματα δὲ τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραλήσια. **94–98**

(95) Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ τὴν ψυχήν, τὰ δὲ ἐκτός, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτε ἐκτός. Τὰ μὲν περὶ
25 ψυχὴν ἀρετὰς καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δὲ ἐκτὸς

5–6 cf. Zon. 906

6 πράττοντες : πράξαντες Zon. **15** τριχῶς οὕτως λέγεσθαι DL **16** post συμβαίνει lac. in *Suda* et DL : ὠφελεῖσθαι, τὸ δὲ καθ' ὃ συμβαίνει suppl. ab Arnim **16–17** τὴν κατ' scripsi ex DL : καὶ τὴν *Suda* **19** ἢ *Suda* et DL : del. ab Arnim | ὥς ⟨τε⟩ ab Arnim **20** μετέχοντα τάς S et DL : μετέχοντας *Suda* cett. | τὸ : τοὺς DL

τό τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον καὶ τὴν τούτων εὐδαιμονίαν· τὰ δὲ οὐκ ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα.

(96) Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ τέλικα καὶ ποιητικά. Τὸν μὲν οὖν φίλον 5 καὶ τὰς ὑπ' αὐτοῦ προσγινομένας ὠφελείας ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν καὶ πᾶσαν τὴν κατ' ἀρετὴν πρᾶξιν τελικά. (97) Ποιητικὰ δὲ καὶ τελικὰ ⟨*⟩· καθὸ μὲν ποιοῦσι τὴν εὐδαιμονίαν ποιητικά ἐστιν ἀγαθά· 10 καθὸ δὲ συμπληροῦσιν αὐτήν, ὥστε μέρη αὐτῆς γενέσθαι, τελικά· οἷον φίλος καὶ ἐλευθερία καὶ τέρψις.

(98) Ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις. Διαθέσεις μὲν αἱ ἀρεταί, ἕξεις δὲ τὰ ἐπιτηδεύματα, οὔτε δὲ ἕξεις 15 οὔτε διαθέσεις αἱ ἐνέργειαι. Κοινῶς τῶν ἀγαθῶν μικτὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία· ἁπλοῦν δέ ἐστιν ἀγαθὸν ἐπιστήμη. Καὶ ἀεὶ μὲν παρόντα αἱ ἀρεταί, οὐκ ἀεὶ δὲ οἷον χαρά, περιπάτησις. Πᾶν δὲ ἀγαθὸν λυσιτελὲς εἶναι καὶ συμφέρον καὶ δέον καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν 20 καὶ ὠφέλιμον καὶ δίκαιον καὶ αἱρετόν.

98–99 865 Λ υ σ ι τ ε λ έ ς: ἀγαθόν, ὠφέλιμον ἢ συμφέρον, (99) ὅτι λύει τὰ τελούμενα εἰς αὐτό, ὥστε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ.

242 Δ έ ο ν· ... Δέον δὲ λέγεται, ὅτι συνέχει ἐν οἷς 25 χρή. = 242 Δ έ ο ν.

499 Χ ρ ή σ ι μ ο ν π ρ ᾶ γ μ α· ὅτι χρείαν ὠφελείας παρέχεται· εὔχρηστον δέ, ὅτι χρείαν ἐπαινετὴν ἀπεργάζεται. 497 Χ ρ ή σ ι μ ο ν: τὸ ἀγαθόν, ὅτι χρῆσιν

2 οὐκ *Suda* et DL BP[1] : οὔτε DL FP[4] **6** ὑπ' : ἀπ' DL | προσγινομένας : γινομένας DL **9** post τελικὰ[2] lac. in *Suda* et DL : τὰς ἀρετάς suppl. Lipsius **10** ποιοῦσι : ἀποτελοῦσι DL **12** οἷον – τέρψις om. DL **16** μικτὰ scripsi ex DL : μικρὰ *Suda*

ὠφελείας παρέχεται.

246 Καλὸν πρᾶγμα· καλόν, ὅτι πρὸς τὴν ἑαυτοῦ χρείαν συμμέτρως ἔχει. (100) Εἴδη δὲ τοῦ καλοῦ τέσσαρα· δίκαιον, ἀνδρεῖον, κόσμιον, ἐπιστημονικόν· ἐν 5 γὰρ τοῖσδε τὰς καλὰς πράξεις συντελεῖσθαι. Ἀνάλογον δὲ καὶ τοῦ αἰσχροῦ εἴδη τέσσαρα· ἄδικον, δειλόν, ἄκοσμον, ἄφρον. Λέγεται καλὸν ⟨μοναχῶς⟩ τὸ ἐπαινετοὺς παρεχόμενον τοὺς ἔχοντας ἀγαθὸν ἐπαίνου ἄξιον, ἑτέρως ⟨δὲ⟩ τὸ εὖ πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον· καὶ τὸ ἐπικοσ-10 μοῦν, ὅταν λέγωμεν μόνον τὸν σοφὸν ἀγαθὸν καὶ καλὸν εἶναι. **99–101**

(101) Λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι. Εἶναι δὲ τοῦτο ἀρετὴν καὶ τὸ μετέχον ἀρετῆς, ὅπερ ἐστὶν ἴσον τῷ πᾶν ἀγαθὸν καλὸν εἶναι καὶ τῷ ἰσοδύναμον τὸ καλὸν τῷ 15 ἀγαθῷ. Δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον αἱρετὸν καὶ μήτε ἄνεσιν μήτε ἐπίτασιν ἐπιδέχεσθαι. – 252 Καλοῦ εἴδη τρία· δίκαιον, ἀνδρεῖον, ἐπιστημονικόν.

406 Ὄντα: Τῶν ὄντων τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ 20 κακά, τὰ δὲ οὐδέτερα. (102) Ἀγαθὰ μὲν αἱ ἀρεταί, ⟨φρόνησις, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη καὶ τὰ λοιπά⟩· κακὰ δὲ τὰ ἐναντία, ἀφροσύνη, ἀδικία καὶ τὰ λοιπά· οὐδέτερα δὲ ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει, οἷον ζωή, ὑγεία, ἡδονή, κάλλος, ἰσχύς, πλοῦτος, δόξα, εὐγένεια· καὶ 25 τὰ τούτοις ἐναντία, θάνατος, νόσος, πόνος, αἶσχος, ἀσθένεια, πενία, ἀδοξία, δυσγένεια καὶ τὰ παραλήσια. Μὴ γὰρ εἶναι ταῦτα ἀγαθά, ἀλλ' ἀδιάφορα, κατ' εἶδος **101–103**

2 καλόν, ὅτι scripsi ex DL : ὅτι καλεῖ *Suda* **3** ἔχει scripsi ex DL : ἔχον *Suda* **7** μοναχῶς addidi ex DL (cf. v. 8 ἑτέρως) **8** ⟨ἢ⟩ ἀγαθὸν ab Arnim **9** δὲ addidi ex DL | καὶ : ἄλλως δὲ DL **13** ὅπερ : ὃ DL BF : ᾧ P | τῷ : τὸ DL **14** τῷ[1] **A F** : τὸ **G V M** et DL **20–21** φρόνησις, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη καὶ τὰ λοιπά supplevi ex DL

προηγμένα. (103) Ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν. Οὐ μᾶλλον δὲ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος καὶ ἡ ὑγεία· οὐκ ἄρα ἀγαθόν. Ὧι δὲ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν 5 πλοῦτος καὶ ὑγεία. Ἀλλ' οὐδὲ ἡ ἡδονὴ ἀγαθόν· εἶναι γὰρ καὶ αἰσχρὰς ἡδονάς, μηδὲν δὲ αἰσχρὸν εἶναι ἀγαθόν.

104–107 478 Ἀ δ ι α φ ο ρ ί α: ... Τὸ δὲ ἀδιάφορον διχῶς λέγεται· ἅπαξ μὲν τὸ μήτε πρὸς εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦν, ὡς ἔχει πλοῦτος, δόξα, ὑγεία, 10 ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. Ἄλλως δὲ λέγεται ἀδιάφορον τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν 15 δάκτυλον ἢ συστεῖλαι, τῶν προτέρων ἀδιαφόρων [καὶ] οὐκέθ' οὕτως λεγομένων· ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά. (105) Διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, ⟨*⟩, τῶν δὲ ἑτέρων ἐπ' ἴσης ἐχόντων πρὸς αἵρεσιν καὶ φυγήν.

Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγούμενα, τὰ δὲ 20 ἀποπροηγούμενα· προηγούμενα μὲν τὰ ἔχοντα ἀξίαν, ἀποπροηγούμενα δὲ τὰ ἔχοντα ἀναξίαν. Ἀξίαν δὲ τὴν μέν τινα ⟨λέγουσι⟩ σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν †συλλαμβανομένην† πρὸς τὸν κατὰ 25 φύσιν βίον, ὅμοιον εἰπεῖν, ἥντινα εἰσφέρεται πρὸς τὸν κατὰ φύσιν βίον πλοῦτος, ὑγεία· τὴν δὲ εἶναι ἀξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ,

16 καὶ delevi : om. *Suda* **M** et DL **18** post ἐκλέγεται lac. indicavit ab Arnim, qui τὰ δὲ ἀπεκλέγεται supplevit **19** δὲ del. Menag. **20 et 21** προηγμένα DL **21 et 22** ἀποπροηγμένα DL **23** λέγουσι addidi ex DL (cf. v. 20) **25** συλλαμβανομένην *Suda* et DL BPF : συμβαλλομένην DL D **27** εἶναι ἀξίαν scripsi ex DL : εὐεξίαν *Suda*

ὅμοιον εἰπεῖν, ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθάς.

(106) Προηγούμενα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχειν· οἷον ἐπὶ μὲν τῶν ψυχικῶν εὐφυΐαν, τέχνην, προκοπὴν καὶ
5 τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν ζωήν, ὑγείαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος· ἐπὶ δὲ τῶν ἐκτὸς πλοῦτον, δόξαν, εὐγένειαν καὶ τὰ ὅμοια. Ἀποπροηγούμενα δὲ ἐπὶ μὲν τῶν ψυχικῶν ἀφυΐαν, ἀτεχνίαν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν,
10 πήρωσιν, αἶσχος καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν ἐκτὸς πενίαν, ἀδοξίαν, δυσγένειαν καὶ τὰ παραπλήσια· οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ μηδετέρως ἔχοντα.

(107) Ἔτι τῶν προηγουμένων τὰ μὲν δι' αὑτὰ προῆκται, τὰ δὲ δι' ἕτερα, τὰ δὲ καὶ δι' αὑτὰ καὶ δι' ἕτερα. Δι'
15 αὑτὰ μὲν εὐφυΐα, προκοπὴ καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ πλοῦτος, εὐγένεια καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ καὶ δι' αὑτὰ ἰσχύς, εὐαισθησία, ἀρτιότης. Δι' αὑτὰ μέν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δέ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. Ὁμοίως δὲ ἔχει καὶ τὸ †προηγούμενον† κατὰ τὸν ἐναντίον
20 λόγον.

77 Καθῆκον· ὅτι καθῆκόν φασιν εἶναι ὃ προαχθὲν εὔλογόν τε ἴσχει ἀπολογισμόν, οἷον τὸ ἀκόλουθον ἐν ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. **107–110**

25 (108) ⟨Κατωνομάσθαι δὲ οὕτως τὸ καθῆκον, ἀπὸ τοῦ⟩ κατά τινας ἥκειν τῆς προσονομασίας εἰλημμένης. Ἐνέργημα δ' αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον.

3 προηγμένα DL | ἔχειν *Suda* et DL BP[1] : ἔχει DL F **6** post κάλλος addit DL F καὶ τὰ παραπλήσια (cf. v. 11) : om. *Suda* et DL BP **7** ἀποπροηγμένα DL **11** δυσγένειαν scripsi ex DL : δυσμένειαν *Suda* **13** προηγμένων DL **19** προηγμένον DL BPF : ἀποπροηγμένον DL D **21** προαχθὲν *Suda* et DL : πραχθὲν Menag. ex Sexto Emp. et Stob. **22** τε *Suda* et DL : del. ab Arnim **25** Κατωνομάσθαι – ἀπὸ τοῦ supplevi coni. DL **26** ἥκειν scripsi ex DL : εἴκειν *Suda*

Τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, ⟨*⟩. Καθήκοντα μὲν οὖν εἶναι ὅσα λόγῳ πρέπει ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον, ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα· γονέων 5 ἀμελεῖν, ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδος ὑπερορᾶν καὶ τὰ παραπλήσια· (109) οὔτε καθήκοντα οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔτε αἱρεῖ λόγος πράττειν, οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν, στλεγγίδα καὶ τὰ ὅμοια τούτοις. 10

Καὶ τὰ μὲν εἶναι καθήκοντα ἄνευ περιστάσεως, ὡς τάδε· ὑγείας ἐπιμελεῖσθαι καὶ αἰσθητηρίων καὶ τὰ ὅμοια· κατὰ περίστασιν δὲ τὸ πηροῦν ἑαυτὸν καὶ τὴν κτῆσιν διαρριπτεῖν. Ἀνάλογον δὲ καὶ τῶν παρὰ τὸ καθῆκον. Ἔτι τῶν καθηκόντων τὰ μὲν ἀεὶ καθήκει, τὰ δὲ οὐκ ἀεί. Καὶ 15 ἀεὶ μὲν καθήκει τὸ ⟨*⟩ ἐρωτᾶν καὶ πυνθάνεσθαι καὶ περιπατεῖν καὶ τὸ ὅμοια. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν παρὰ τὸ καθῆκον. (110) Ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς.

110–112 27 Π ά θ ο ς: ... Περὶ παθῶν· ὅτι τῆς ψυχῆς μέρη τὰ 20 ε′ αἰσθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐστὶν ἡ διάνοια, ⟨καὶ τὸ γεννητικόν⟩. Ἐκ δὲ τῶν ψευδῶν ἐπιγίνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαστάνειν καὶ ἀκαταστασίας αἴτια. Ἔστι δὲ αὐτὸ τὸ πάθος ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς 25 κίνησις ἢ ὁρμὴ πλεονάζουσα.

2 post καθῆκον lacunam in DL indicavit Menagius, qui τὰ δ' οὔτε καθήκοντα οὔτε παρὰ τὸ καθῆκον supplevit **3** λόγῳ πρέπει *Suda* : λόγος αἱρεῖ DL (cf. vv. 5 et 8) **7** πατρίδα DL **12** ὑγείας scripsi ex DL : ἁγνείας *Suda* **16** post τὸ addit Stephanus ex DL D κατ' ἀρετὴν ζῆν, οὐκ ἀεὶ δὲ τὸ : om. *Suda* et DL BPF | πυνθάνεσθαι : ἀποκρίνεσθαι DL **22** ἐστὶν αὐτὴ ἡ DL | καὶ τὸ γεννητικόν addidi ex DL

Τῶν παθῶν τὰ ἀνωτάτω γένη τέσσαρα· λύπη, φόβος, ἐπιθυμία, ἡδονή. (111) Δοκεῖ δὲ τὰ πάθη κρίσεις εἶναι· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι· καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως καὶ τὰ ἄλλα.
5 Καὶ τὴν μὲν ⟨λύπην⟩ εἶναι συστολὴν ἄλογον· εἴδη δὲ αὐτῆς ἔλεος, φθόνος, ζῆλος, ζηλοτυπία, ἄχθος, ἐνόχλησις, †ἄνοια†, ὀδύνη, σύγχυσις. Ἔλεον μὲν ⟨οὖν εἶναι λύπην⟩ ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι, φθόνον δὲ λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ζῆλον δὲ λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ⟨ὧν
10 αὐτὸς ἐπιθυμεῖ, ζηλοτυπίαν δὲ λύπην ἐπὶ τῷ καὶ ἄλλῳ παρεῖναι⟩ ὧν καὶ αὐτὸς ἔχει, (112) ἄχθος λύπην βαρύνουσαν, ἐνόχλησιν λύπην στενοχωροῦσαν καὶ δυσχωρίαν παρασκευάζουσαν, †ἄνοιαν† λύπην ἐκ διαλογισμῶν μένουσαν ἢ ἐπιτεινομένην, ὀδύνην λύπην ἐπίπονον,
15 σύγχυσιν λύπην ἄλογον, ἀποκλείουσαν καὶ κωλύουσαν τὰ παρόντα συνορᾶν.

304 Φ ι λ α ρ γ υ ρ ί α: ὑπόληψις τοῦ τὸ ἀργύριον καλὸν εἶναι. **111**

843 Λ ύ π η· ... Συστολὴ ἄλογος ψυχῆς (διὸ οὐ λυ-
20 πηθήσεσθαι τὸν σπουδαῖον δεῖ). Εἴδη δὲ αὐτῆς ⟨ἔλεος,⟩ φθόνος, ζῆλος, ζηλοτυπία, ἄχθος, ἐνόχλησις, †ἄνοια,† ὀδύνη, σύγχυσις.

559 Φ ό β ο ς: ... Φόβος δέ ἐστι προσδοκία κακοῦ. Εἰς δὲ τὸν φόβον ἀνάγεται ταῦτα· δεῖμα, ὄκνος, αἰσχύνη, **112**

1 τὰ G et DL : τῶν *Suda* cett. **2** δοκεῖ δὲ αὐτοῖς DL **5** λύπην addidi e *Suda* Λ 843 et DL **7** ἄνοια *Suda* et DL BP[1]F : ἀνία Kuster ex DL P[4] | οὖν εἶναι λύπην supplevi ex DL **9** ὧν αὐτὸς – **11** παρεῖναι supplevi ex DL (excidit ob isoteleuton) **13** ἄνοιαν *Suda* et DL BP[1]F : ἀνίαν Kuster ex DL P[4] **15** ἀποκλείουσαν *Suda* et DL P[1]F[2] : ἀποκλύουσαν B : ἀποκναίουσαν P[4] : ἀποκαίουσαν F[1] **19** ψυχῆς om. DL **19** διὸ – **20** δεῖ om. DL **20** ἔλεος addidi e *Suda* Π 27 et DL **21** ἄνοια *Suda* et DL : ἀνία Kuster ex DL P[4]

ἔκπληξις, θόρυβος, ἀγωνία. Δεῖμα μὲν οὖν ἐστι φόβος δέος ἐμποιῶν, ὄκνος δὲ φόβος μελλούσης ἐνεργείας, αἰσχύνη δὲ φόβος ἀδοξίας, ἔκπληξις δὲ φόβος ἐκ φαντασίας ἀσυνήθους πράγματος, θόρυβος δὲ φόβος μετὰ κατεπείξεως φωνῆς, ἀγωνία δὲ φόβος ἀδήλου πράγματος. 5

113–114 2341 Ἐ π ι θ υ μ ί α· ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται ταῦτα· σπάνις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις, θυμός. Ἔστι δὲ ἡ μὲν σπάνις ἐπιθυμία τις ἐν ἀποτεύξει καὶ οἷον κεχωρισμένη ἐκ τοῦ πράγματος, τεταμένη δὲ διακενῆς ἐπ' αὐτὸ καὶ περισπωμένη· μῖσος δέ 10 ἐστιν ἐπιθυμία τις τοῦ κακῶσαί τινα μετὰ †προσκοπῆς† τινος καὶ †προστάσεως·† ⟨φιλονεικία δὲ ἐπιθυμία τις περὶ αἱρέσεως·⟩ ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ δοκοῦντος ἠδικηκέναι οὐ προσηκόντως· ἔρως δὲ ἐπιθυμία τις οὐ περὶ σπουδαίου πράγματος· ἔστι γὰρ ἐπιβολὴ φιλοπονίας διὰ 15 κάλλος ἐμφαινόμενον· (114) μῆνις δέ ἐστιν ὀργή τις πεπαλαιωμένη, ἐπίκοτος καὶ ἐπιτηρητική· θυμὸς δὲ ὀργὴ ἀρχομένη.

114 97 ... Ἡ δ ο ν α ί ... Ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν, ὑφ' ἣν τάττεται κήλησις, 20 ἐπιχαιρεκακία, τέρψις, διάχυσις. Κήλησις μὲν οὖν ἐστιν ἡδονὴ δι' ὤτων κατακηλοῦσα· ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· τέρψις δέ, οἷον τρέψις, προτροπή

4 φόβος *Suda* et DL D : om. DL BPF **5** ἀγωνία δὲ *Suda* et DL D : om. DL BPF | φόβος ἀδήλου πράγματος *Suda* : om. DL, add. Stephanus **10** περισπωμένη : σπωμένη DL **11** κακῶσαί τινα : κακῶς εἶναί τινι DL | προσκοπῆς *Suda* et DL BP[1] : προκοπῆς *Suda* **I F** et DL F[2]P[4] **12** προστάσεως *Suda* et DL BP[1] : παρατάσεως DL F[2]P[4] : προτάσεως *Suda* **I** et DL F[2] **12** φιλονεικία – **13** αἱρέσεως supplevi ex DL **14** οὐ *Suda* : οὐχ ἢ DL BP[2]F : οὐχὶ P[1] **14–15** περὶ σπουδαίου πράγματος : περὶ σπουδαίους DL **15** φιλοπονίας *Suda* et DL : φιλοποιίας Stephanus **22** κατακηλοῦσα : κατακλῶσα DL

τις ψυχῆς ἐπὶ τὸ ἀνειμένον· διάχυσις δὲ ἀνάλυσις ἀρετῆς.

2767 Ἐ π ι χ α ι ρ ε κ α κ ί α: ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς.

3997 Ἀ ρ ρ ώ σ τ η μ α ν ο σ ή μ α τ ο ς δ ι α- **115**
5 φ έ ρ ε ι· ἀρρώστημα γάρ ἐστι νόσημα μετὰ ἀσθενείας, τὸ δὲ νόσημα οἴησις σφόδρα δοκοῦντος αἱρετοῦ. Καὶ ὡς ἐπὶ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον κατάρρους, διάρροια, οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν ⟨εὐ⟩καταφορίαι, οἷον φθονερία, ἐλεημοσύνη καὶ τὰ παραπλήσια.

10 3633 Ε ὐ π ά θ ε ι α: ... Ἡ εὐπάθεια διαιρεῖται εἰς χαράν, εὐλάβειαν, βούλησιν. Καὶ τὴν μὲν χαρὰν ἐναντί- **116** αν εἶναι τῇ λύπῃ φασὶν καὶ τῇ ἡδονῇ, οὖσαν εὔλογον ἔπαρσιν, τὴν δὲ εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν. Φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς,
15 εὐλαβηθήσεσθαι δέ. Τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. Καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον ὑπὸ τὰς πρώτας εὐπαθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν εὔνοιαν, εὐμένειαν, ἀσπασμόν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβειαν
20 αἰδῶ, ἁγνείαν· ὑπὸ δὲ τὴν χαρὰν τέρψιν, εὐφροσύνην, εὐθυμίαν.

2873 Ἀ π α θ ῆ: ... Ἀπαθῆ φασιν εἶναι τὸν σοφὸν **117** διὰ τὸ ἀνέμπτωτον εἶναι· εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ, τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ.

10–16 cf. Zon. 910

6 σφόδρα DL PF : σφοδρὰ *Suda* et DL B **7** σώματος *Suda* et DL P[1]F : τοῦ σώματος DL BP[4] **8** ⟨εὐ⟩καταφορίαι scripsi ex DL : καταφορίαι *Suda* **9** φθονερία scripsi ex DL BP[1] : φθονέρα *Suda* : φθόνοι FP[4] | post ἐλεημοσύνη add. DL FP[4] ἔριδες : om. *Suda* et DL BP[1] **12** καὶ τῇ ἡδονῇ om. **A** mg, **G V** et Zon. **13** φόβῳ *Suda* et DL : θυμῷ Zon. **15** φασὶν εἶναι DL

4398 Ἀ τ υ φ ί α: ... Ἄτυφόν φασιν εἶναι τὸν σοφόν· ἴσως γὰρ ἔχειν πρός τε τὸ ἔνδοξον καὶ ἄδοξον.

4462 Α ὐ σ τ η ρ ό ς. Αὐστηροὺς εἶναί φασι πάντας τοὺς σοφοὺς καὶ σπουδαίους, τῷ μήτε αὐτοὺς κατὰ ἡδονὴν ὁμιλεῖν, μήτε παρ' ἄλλων τὰ καθ' ἡδονὴν παρα- 5 δέχεσθαι. Καὶ ἄλλον δὲ εἶναι αὐστηρόν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ κατὰ φαρμακοποσίας χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ.

118 874 Ἀ κ ί β δ η λ ο ν: ... Καὶ ἀκιβδήλους φασὶν εἶναι τοὺς σπουδαίους, φυλακτικούς τε εἶναι †τοὺς† ἐπὶ τὸ 10 βέλτιον τὰ περὶ αὐτοὺς παριστάνειν, διὰ παρασκευῆς δυναμένους τῆς τὰ φαῦλα μὲν ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης ἀπλάστως· περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα καὶ τῷ εἴδει.

3683 Ἀ π ρ ά γ μ ω ν: ... Ἀπράγμονας δεῖ εἶναι τοὺς 15 σπουδαίους, ἐκκλίνειν τε τὸ πράττειν τι παρὰ τὸ καθῆκον. Καὶ οἰνωθήσεσθαι μέν, οὐ μεθυσθήσεσθαι δέ. Ἔτι δὲ οὐδὲ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. 20

119 305 Θ ε ῖ α: ... Θείους τε εἶναι τοὺς σπουδαίους· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν· τὸν δὲ φαῦλον ἄθεον.

15–16 cf. Zon. 238

4 σοφοὺς καὶ σπουδαίους : σπουδαίους DL et Φ 7 | κατὰ : πρὸς DL et Φ **5** ἄλλων scripsi ex DL PF et Φ : ἄλλοις *Suda* : ἄλλου DL B[2] | καθ' *Suda* et Φ : πρὸς DL PF | παραδέχεσθαι : παρέχεσθαι DL P[1]F et Φ : προσδέχεσθαι P[4] **7** κατὰ : πρὸς DL PF et Φ | φαρμακοποσίαν DL PF et Φ **10** τοὺς *Suda* et DL PF : τοῦ *Frob.* **11** τὰ : τι DL PF | αὐτοὺς : αὐτῶν DL PF **12** δυναμένους *Suda* : om. DL PF **15** δεῖ *Suda* et Zon. : om. DL **16** τε : γὰρ DL **18** post μέντοι addunt ποτὲ DL et Φ

Διττὸν δὲ εἶναι τὸν ἄθεον· τὸν δὲ ἐναντίον τῷ θεῷ λεγόμενον καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου, ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον. Θεοσεβεῖς τε τοὺς σπουδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεοῦ νομίμων.

5 3735 Ε ὐ σ έ β ε ι α: ἐπιστήμη θεοῦ θεραπείας. Σπουδαῖοι τοιγαροῦν θύειν θεῷ ἁρμόδιοι, ἁγνοὶ τυγχάνοντες· ἐκνεύειν γὰρ τὰ περὶ θεοῦ ἁμαρτήματα. Καὶ τὸν θεὸν ἄγασθαι αὐτούς· ὁσίους τε γὰρ εἶναι καὶ δικαίους. Καὶ μόνους τούτους ἱερέας εἶναι· ἐπεσκέφθαι γὰρ περὶ θυσι-
10 ῶν, ἱδρύσεων καὶ καθαρμῶν καὶ τῶν ἄλλων τῶν πρὸς τὸ θεῖον οἰκείων.

1654 Ἀ μ π λ ά κ η μ α: ... Ὅτι ἀρέσκει τοῖς Στωϊκοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα· εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψευδὲς ψευδοῦς, οὕτως οὐδὲ **120–121**
15 ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. Καὶ γὰρ ὁ ρʹ σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. (121) Οἱ δέ φασιν, ὧν καὶ Ἡρακλείδης ὁ Ταρσεύς, ἄνισα εἶναι τὰ ἁμαρτήματα.

20 1917 Π ο λ ι τ ι κ ό ς: ... Ὅτι πολιτεύεσθαι δεῖ τὸν σοφόν· καὶ γὰρ κακίαν ἐφέξειν, καὶ ἐπ' ἀρετὴν παρορμῆσαι ἱκανὸς ἔσται. **121**

1 ἐναντίον *Suda* et Φ : ἐναντίως DL **3** τε *Suda* et DL D : om. DL BPF **4 et 5** θεοῦ : θεῶν DL **6** θύειν ... ἁρμόδιοι **A** : θύσειν ... ἁρμόδιοι *Suda* cett. : θύσειν DL et Φ | θεῷ : θεοῖς DL et Φ | ἁγνοὶ τυγχάνοντες : ἁγνούς τε ὑπάρχειν DL et Φ **7** θεοῦ : θεοὺς DL | τὸν θεὸν : τοὺς θεοὺς DL et Φ **8** post δικαίους addunt DL BPF πρὸς τὸ θεῖον : om. *Suda* et Φ **9** μόνους scripsi ex DL : μὲν *Suda* **10–11** τὸ θεῖον : θεοὺς DL **14** ψευδὲς ψευδοῦς : ψεῦδος ψεύδους DL et Φ **17** πλέον καὶ ἔλαττον ἁμάρτημα *Suda* et Φ : ὁ πλέον καὶ ὁ ἔλαττον ἁμαρτάνων DL P[2]FB (om. ὁ ... ὁ BP[1]) **18** εἰσὶν *Suda* et DL : ἐστὶν Φ **21–22** παρορμῆσαι ἱκανὸς ἔσται : παρορμήσειν DL et Φ

1370 Δ ο ξ ά σ α ι: ... Ὅτι τὸν σπουδαῖον οὐ δεῖ δοξάσαι, τουτέστι ψεύδει μὴ συγκατατίθεσθαι.

807 Ἐ λ ε ύ θ ε ρ ο ς· μόνος ἐλεύθερος ὁ σπουδαῖος, οἱ δὲ φαῦλοι δοῦλοι· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας. 5

121–122 1424 Δ ο ῦ λ ο ι: ... Ὅτι δοῦλοι οἱ φαῦλοι τῶν κακῶν, οἱ δὲ σπουδαῖοι ἐλεύθεροι. (122) Εἶναι δὲ καὶ ἄλλην δουλείαν, τὴν ἐν ὑποτάξει, καὶ τρίτην, ⟨τὴν⟩ ἐν κτήσει τε καὶ ὑποτάξει, ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὐτή. Οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς 10 σπουδαίους, ἀλλὰ καὶ βασιλέας· ἡ γὰρ βασιλεία ἀρχὴ ἀνυπεύθυνος, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη. = 122 Β α σ ι λ ε ί α.

123 1280 Σ υ γ γ ν ώ μ η: ... Ὅτι οὐ δεῖ τὸν σπουδαῖον ἔν τινι συγγνώμην ἔχειν, μηδὲ παριέναι τὰς ἐπιβαλλούσας 15 ἐκ τοῦ νόμου κολάσεις, ἐπεὶ τό γε εἴκειν καὶ ὁ ἔλεος αὐτή τε ἡ ἐπιείκεια †οὐδεμία† ἐστὶ ψυχῆς πρὸς κολάσεις †προσποιουμένη† χρηστότητα· μηδ' οἴεσθαι σκληροτέρας αὐτὰς εἶναι.

1656 Ἄ μ π ω τ ι ς: ... Ὅτι τὸν σπουδαῖον οὐ δεῖ 20 θαυμάζειν τῶν δοκούντων τι παραδόξων, οἷον Χαρώνεια καὶ ἀμπώτεις καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. Ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ βιώσεται ὁ σπουδαῖος, κοινωνικὸς ὢν φύσει καὶ πρακτικός.

126 3830 Ἀ ρ ε τ ή: ... Τὸν δὲ ἐνάρετον χρὴ θεωρητικὸν 25

2 συγκατατίθεσθαι *Suda* et DL B : συγκαταθήσεσθαι DL PF | post συγκατατίθεσθαι addunt μηδενί DL et Φ **6–7** τῶν κακῶν om DL **8** τὴν² addidi ex DL **10–11** τοὺς σπουδαίους : τοὺς σοφοὺς DL : om. Φ **12** συσταίη : σταίη DL **14–15** ἔν τινι : μηδενί DL **15** μηδὲ : μὴ γὰρ DL **17** οὐδεμία *Suda*, DL et Φ, corruptum | post ψυχῆς addunt ἀρετὴ **G V M** **18** προσποιουμένη *Suda* et DL : προσποιουμένης Φ **22** ἀμπώτεις **M** : ἀμπώτις cett.

εἶναι καὶ πρακτικὸν ποιητέων. Τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐστὶ καὶ ὑπομενετέα ⟨καὶ ἀπομενετέα⟩ καὶ ἐμμενετέα, ὥστε εἰ τὰ μὲν αἱρετῶς ποιεῖ, τὰ δὲ ὑπομενητικῶς, ⟨τὰ δὲ ἀπονεμητικῶς,⟩ τὰ δὲ ἐμμενετικῶς, φρόνιμός τέ ἐστι καὶ
5 ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. Κεφαλαιοῦσθαι δὲ ἑκάστην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον, οἷον τὴν ἀνδρείαν περὶ τὰ ὑπομενετέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα καὶ μὴ καὶ οὐδέτερα· ὁμοίως καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι.–Ὅτι ἕπεται τῇ φρονήσει εὐβουλία
10 καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία καὶ κοσμιότης, τῇ δὲ δικαιοσύνῃ ἰσότης καὶ εὐγνωμοσύνη, τῇ δὲ ἀνδρείᾳ ἀπαραλλαξία καὶ εὐτονία.

Ὅτι φασὶν οἱ Στωϊκοὶ μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ **127** κακίας, οἱ δὲ Περιπατητικοὶ μεταξὺ λέγουσιν εἶναι τὴν
15 προκοπήν· ὡς γὰρ δεῖν φασιν οἱ Στωϊκοὶ ἢ στρεβλὸν εἶναι ξύλον ἢ ὀρθόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δικαιότερον οὔτε ἀδικώτερον· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

3831 Ἀ ρ ε τ ή: ... Ὅτι ἀποβλητὴ ἡ ἀρετὴ διὰ μέθην **127–128** ἢ μελαγχολίαν, ἀναπόβλητος δὲ διὰ βεβαίαν κατάληψιν.
20 Καὶ αὐτάρκη δὲ αὐτήν φασιν εἶναι. (128) Οἱ δὲ οὐκ αὐτάρκη εἶναι, ἀλλὰ χρεία ἐστὶν ἰσχύος καὶ ὑγείας καὶ χορηγίας.

3070 Ἔ ρ ω ς: ... Ὅτι τὸν ἔρωτά φασιν ἐπιβολὴν **130** φιλοποιΐας διὰ κάλλος ἐμφαινόμενον· καὶ μὴ εἶναι συν-
25 ουσίας, ἀλλὰ φιλίας. Τὸν γοῦν Θρασωνίδην, καίπερ ἐξουσίαν ἔχοντα τῆς ἐρωμένης, διὰ τὸ μισεῖσθαι ἀπέχεσθαι αὐτῆς. Εἶναι οὖν τὸν ἔρωτα φιλίαν, ⟨καὶ⟩ μὴ εἶναι θεόπομπον. Εἶναι δὲ τὴν ὥραν ἄνθος ἀρετῆς.

2 καὶ ἀπομενετέα supplevi ex DL BP et Φ **3** εἰ scripsi ex DL et Φ : εἶναι *Suda* | ποιεῖ scripsi ex DL et Φ : ποιεῖν *Suda* **3–4** τὰ δὲ ἀπονεμητικῶς supplevi ex DL et Φ **15** οἱ Στωϊκοὶ om. DL et Φ **19** βεβαίους καταλήψεις DL et Φ **20** post εἶναι addit DL πρὸς εὐδαιμονίαν **25–26** καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμένην DL et Φ **27** καὶ addidi ex DL et Φ

132–133 862 Φ υ σ ι κ ὸ ς λ ό γ ο ς παρὰ φιλοσόφοις. Μετὰ τὸν ἠθικὸν διεξέρχονται περὶ τοῦ φυσικοῦ, τουτέστι περὶ σωμάτων, περὶ ἀρχῶν καὶ στοιχείων καὶ περάτων τοῦ κόσμου καὶ τόπου ⟨καὶ⟩ κενοῦ· (133) περὶ ἀστέρων, περὶ ἡλίου· περὶ τοῦ ἡγεμονικοῦ· πῶς ὁρῶμεν, τίς ἡ αἰτία τῆς 5 κατοπτρικῆς φαντασίας· περὶ νεφῶν, βροντῶν, ἴριδος.

134 4092 Ἀ ρ χ ή. Ἀρχαὶ τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. Τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην· τὸ ποιοῦν δὲ τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν. Διαφέρει δὲ ἀρχαὶ καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους καὶ 10 ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. Ἀλλὰ καὶ ἀσωμάτους εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι.

135 2739 Ἐ π ι φ ά ν ε ι α· ἐπιφάνειά ἐστι σώματος πέρας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. Αὐτὴ 15 δὲ κατ' ἐπίνοιαν καὶ καθ' ὑπόστασιν λέγεται.

424 Γ ρ α μ μ ή· γραμμή ἐστιν ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, ⟨ἢ⟩ τὸ μῆκος μόνον ἔχον.

1105 Σ τ ι γ μ ή· στιγμή ἐστι γραμμῆς πέρας, ἥτις ἐστὶ σημεῖον ἐλάχιστον. 20

136–137 1238 Σ τ ο ι χ ε ῖ ο ν· στοιχεῖόν ἐστιν ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. (137) Τὰ δὴ δʹ στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην· εἶναι δὲ τὸ μὲν πῦρ θερμόν, τὸ δὲ ὕδωρ ὑγρόν, τὸν ἀέρα ψυχρόν, τὴν γῆν ξηράν. Οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ 25 ἀέρι εἶναι τὸ αὐτὸ μέρος. Ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ,

14–16 cf. Zon. 805 **18** cf. Zon. 452

3 post στοιχείων addit DL καὶ θεῶν **3–4** τοῦ κόσμου om. DL **4** καὶ addidi ex DL **12** ἀσωμάτους : σώματα DL BPF : ἀσώματα ΦD **15** αὐτὴ : αὕτη Zon. : ταύτην DL **18** ἢ addidi ex DL

ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα, εἶτα τὸ ὕδωρ, ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν.

5 2148 Κόσμος· ὅτι οἱ Στωϊκοὶ τὸν κόσμον τριχῶς **137–140** εἶναι λέγουσιν· αὐτόν τε τὸν θεὸν [καὶ] τὸν ἐκ τῆς ἁπάσης οὐσίας ἰδιοποιόν· ὅς δὴ ἄφθαρτός ἐστι καὶ ἀγέννητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως κατὰ χρόνου ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ 10 πάλιν ἐξ αὑτοῦ γεννῶν· (138) καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀστέρων κόσμον εἶναι λέγουσι· καὶ τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. Καὶ ἔστι κόσμος ὁ ἰδιοποιὸς τῆς τῶν ὅλων οὐσίας, ἢ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς φύσεων, ἢ σύστημα ἐκ στοιχείων καὶ ἀνθρώπων 15 καὶ τῶν ἕνεκα τού⟨των γεγονότων⟩. ⟨*⟩

Τὸν δὴ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς, δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον. (139) Δι' ὧν μὲν ὡς ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν 20 νεύρων· δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. Οὕτω δὴ ⟨καὶ⟩ τὸν ὅλον κόσμον ὡς ζῷον ὄντα ἡγεμονικὸν ἔχειν τὸν αἰθέρα, ⟨ὃν⟩ καὶ χωρεῖν διὰ τῶν ζῴων ἁπάντων καὶ φυτῶν καθ' ἕξιν.

(140) Καὶ ἕνα εἶναι τὸν κόσμον καὶ τοῦτον πεπερασμέ-25 νον, σχῆμα ἔχοντα σφαιροειδές· πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τοῦτο. Ἔξωθεν δ' αὐτοῦ τὸ κενὸν εἶναι

6 εἶναι om. DL et Φ 7 | καὶ delevi, om. DL **7** ἰδιοποιόν : ἰδίως ποιόν DL **8** χρόνου : χρόνων DL et Φ **12** ἰδιοποιὸς : ἰδίως ποιὸς DL **14** στοιχείων : θεῶν DL **15** ἕνεκα τού⟨των γεγονότων⟩ scripsi ex DL : τῶν ἕνεκά του *Suda* | post ⟨γεγονότων⟩ lac. indicavi conl. DL et Φ (Οὐρανὸς δέ ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον), cf. *Suda* O 940 **16** οἰκεῖσθαι *Suda* et DL PF : διοικεῖσθαι DL B et Φ **21** καὶ addidi ex DL et Φ **22** ὃν addidi conl. DL et Φ **26** τὸ κενὸν Kuster ex DL : τὸ κέντρον *Suda*

περικεχυμένον, ἄπειρον, ὅπερ ἀσώματον ⟨εἶναι⟩· ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχόμενον. Ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζει⟨ν⟩ τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια συντονίαν καὶ σύμπνοιαν. 5

138 940 Ο ὐ ρ α ν ό ς. Οὐρανός ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον.

141 533 Χ ρ ό ν ο ς· οἱ φιλόσοφοι ἀσώματον αὐτὸν εἶναί φασι, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. Τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρους, τὸν δὲ ἐνεστῶτα πεπερασμένον. Ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον· οὗ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον· τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα ὁ κόσμος. Καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος· ἐξαυχμοῦται γοῦν καὶ ἐξυδατοῦται. 10 15

143–146 149 Π ᾶ ν· τὸ πᾶν ἐστιν ὅ τε κόσμος καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ †συστήματος.† Ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί, τὸ δὲ κενὸν ἄπειρον. 20

(144) Τῶν δὲ ἀστέρων τὰ μὲν ἀπλανῆ συμφέρεσθαι τῷ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινήσεις κινεῖσθαι. Τὸν δὲ ἥλιον λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζῳδιακοῦ κύκλου· ὁμοίως τε τὴν σελήνην ἑλικοειδῆ. Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ καὶ μείζονα τῆς γῆς καὶ σφαιροειδῆ, ἀναλόγως τῷ κόσμῳ. Πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν. Καὶ τῷ τὴν γῆν 25

1 ὅπερ scripsi ex DL et Φ : ὥσπερ *Suda* | εἶναι addidi ex DL et Φ **4** ἀναγκάζει *Suda,* correxi ex DL et Φ **16** γοῦν *Suda,* DL BP[1] et Φ : γὰρ DL F **18** συστήματος *Suda* et DL BP[1] : σύστημα *Suda* M[ss], DL FP[4] et Φ **21** συμπεριφέρεσθαι DL et Φ **21–22** τῷ οὐρανῷ *Suda* et Φ : τῷ ὅλῳ οὐρανῷ DL **28** τῷ : τὸ M[2], DL et Φ

δὲ κωνοειδῆ σκιὰν ἐπιβάλλειν τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος.

(145) Γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. Τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα καὶ τὰ ἄλλα
5 ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν· τὰ δὲ ἄλλα ἀπὸ γῆς. Δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα καὶ τὴν γῆν ἀκίνητον οὖσαν. Τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς,
10 ἀλλ' ἀπὸ ἡλίου λαμβάνειν ἐπιλαμπομένην.

Ἐκλείπειν δὲ τὸν ἥλιον ἐπιπροσθούσης αὐτῷ τῆς σελήνης κατὰ τὸ ἐφ' ἡμᾶς μέρος. (146) Φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα (γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης
15 ὕδωρ ἐχούσης). Τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς ἀποσκίασμα· ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν, καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ ἡλίῳ, ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη παραλλάττει τῷ πλάτει, ἢ βορειοτέρα ἢ νοτιωτέρα γινομένη.
20 Ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει· γίνεται δὲ τὸ πλάτος αὐτῆς κατὰ τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων ἐν Χηλαῖς καὶ Σκορπίῳ καὶ Κριῷ καὶ Ταύρῳ.

25 178 Θ ε ό ς: ... Θεὸν δὲ εἶναι δοξάζουσιν Ἕλληνες **147** ζῷον ἀθάνατον, λογικόν, τέλειον, νοερόν, ἐν εὐδαιμονίᾳ,

4 Τρέφεσθαι – **7** οὖσαν = *Suda*, 1956 Ἄναμμα

1 ἐπιβάλλειν : ἀποβάλλειν Φ : ἀποτελεῖν DL **5** νοερὸν Kuster ex DL : νωθρὸν *Suda* **10** ἀπὸ *Suda* et Φ : παρ' DL **12** ἐφ' : πρὸς DL et Φ **16** ἀποσκίασμα *Suda* et Φ : σκίασμα DL **20** τῶν ἡλιακῶν καὶ τῶν : τὸν ἡλικὸν καὶ τὸν DL **22–23** τῶν ἡλιακῶν καὶ om. DL **23** τῶν *Suda* et DL BF : τὸν P **25** Ἕλληνες om. DL

κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. Εἶναι δὲ τὸν μὲν δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων, κοινῶς δὲ καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνά- 5
μεις.

148–149 864 Φ ύ σ ι ς ἐστὶν ἥ τε συνέχουσα τὸν κόσμον καὶ ἡ φύουσα τὰ ἐπὶ τῆς γῆς. Ἢ οὕτως· ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὑτῆς ἐν ὡρισμένοις χρόνοις καὶ τοιαῦτα δρῶσα 10
ἀφ' οἵων ἀπεκρίθη. (149) Ταύτην δὲ τοῦ συμφέροντος στοχάζεσθαι, ὡς δῆλον ἐκ τῆς ἀνθρώπου δημιουργίας.

149 142 Ε ἱ μ α ρ μ έ ν η: ... Ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὅλων εἰρομένη, ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται.

151 113 Δ α ί μ ο ν α: ... Φασὶ δὲ οἱ φιλόσοφοι δαίμονας 15
εἶναί τινας ἀνθρώπων συμπάθειαν ἔχοντας.

234 Χ ε ι μ ὼ ν: ... Χειμὼν δέ ἐστιν ὁ ὑπὲρ γῆς ἀὴρ κατεψυγμένος διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον.

152 254 Θ έ ρ ο ς· θέρος ἐστὶν ὁ ὑπὲρ γῆς ἀὴρ καταθαλπόμενος τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ. 20

494 Φ θ ι ν ό π ω ρ ο ν: †παλινδρομία† τοῦ ἡλίου ἀφ' ἡμῶν †γενομένου† ⟨*⟩ †τῶν καρπῶν† πρὸς τοὺς

13–14 cf. Zon. 629

11 δὲ καὶ τοῦ DL et Φ **12** post στοχάζεσθαι addit DL ἡδονῆς | ἀνθρώπου scripsi ex DL : οὐρανοῦ *Suda* **14** ὅλων : νόμων DL BPF et Φ : ὄντων DL D | ὁ κόσμος : τὸ πᾶν Zon. **21** φθινόπωρον : μετόπωρον DL et Φ | παλινδρομία *Suda* : τὴν παλινδρομίαν Φ : τῃ παλινδρομίᾳ recte DL BPF **22** γενομένου corruptum : γίνεσθαι recte DL BPF | post γενομένου lacuna in *Suda,* DL BPF et Φ : cf. Aet. 3.7.2 | τῶν καρπῶν corruptum : exspectes τῶν ἀνέμων (cf. p. 65 v. 1 αὐτῶν) | πρὸς : παρὰ DL et Φ

τόπους ἀφ' ὧν ἐγένοντο. Τῆς δὲ γενέσεως αὐτῶν αἴτιον γενέσθαι τὸν ἥλιον, ἐξατμίζοντα τὰ νέφη.

598 Ἶ ρ ι ς: ... Ἡ αὐγαὶ ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμέναι, ἢ ἔμφασις ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει
5 δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλου περιφέρειαν.

1996 Κ ο μ ῆ τ α ι: ... οἷον πωγωνίας καὶ λαμπαδίας **152–153** πυρὰ ὑφεστῶτα παχέος ἀέρος εἰς τὸν αἰθερώδη τόπον ἀνενεχθέντος. (153) Σέλας ⟨δὲ⟩ πυρὸς ἀθρόου ἔξαψις
10 †περιφερομένου† ταχέως καὶ φαντασίαν μήκους ἐμφαίνοντος.

75 Ὑ ε τ ό ς: ... ἐκ νέφους μεταβολὴ εἰς ὕδωρ, **153** ἐπειδὰν ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία κατενεχθῇ.

15 831 Π ά χ ν η· ἐπειδὰν ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ὑφ' ἡλίου μὴ κατεργασθῇ, καταψυχθῇ δέ, πάχνη καλεῖται.

5 Χ ά λ α ζ α: νέφος πεπηγὸς καὶ ὑπὸ πνεύματος διαρρυφθὲν καὶ κατενεχθέν. Χιὼν δὲ ὑγρὸν ἐκ νέφους
20 πεπηγό⟨το⟩ς.

4252 Ἀ σ τ ρ α π ή: ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος.

549 Β ρ ο ν τ ή: νεφῶν ψόφος ἐκ παρατρίψεως ἢ ῥήξεως.

3–6 cf. Zon. 1120

1 ἐγένοντο : ῥέουσι DL et Φ **2** γενέσθαι *Suda* et DL P^2F : γίνεσθαι DL BP^1 : εἶναι Φ **8** post πυρὰ addunt DL et Φ εἶναι | παχέος : πάχους DL et Φ **9** δὲ addidi ex DL et Φ | ἔξαψιν **G**, DL et Φ **10** περιφερομένου : ἐμπεριφερομένου Φ : ἐν ἀέρι φερομένου recte DL **14** κατενεχθῇ : ὑφ' ἡλίου μὴ κατεργασθῇ *Suda* Π 831 **19** διαρρυφθὲν **V** $\mathbf{M^1}$: διαρριφθὲν **A G** $\mathbf{M^2}$: διαθρυφθὲν DL et Φ **20** πεπηγότος scripsi ex DL et Φ : πεπηγός *Suda*

154 1377 Κ ε ρ α υ ν ό ς: ἔξαψις σφοδρὰ μετὰ πολλῆς βίας πίπτουσα ἐπὶ γῆς, νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων. Οἱ δὲ συστροφὴν πυρώδους ἀέρος βιαίως καταφερομένην.

1224 Τ υ φ ώ ν: κεραυνὸς βίαιος, πολὺς καὶ πνευματώδης, ἢ πνεῦμα καπνῶδες, †ἐρρωγὸς ἀπὸ† νέφους. 5

2269 Π ρ η σ τ ή ρ: ... Ἢ νέφος †περισχεθὲν† πυρὶ μετὰ πνεύματος βιαιοτάτου.

291 Σ ε ι σ μ ό ς: ⟨Σεισμὸν γίνεσθαι⟩ πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς ἐγκαθειρχθέντος. Εἶναι δ' αὐτῶν 10 τοὺς μὲν χασματίας, τοὺς δὲ βρασματίας.

155 595 Δ ι α κ ό σ μ η σ ι ς: ... Μέση ἡ γῆ κέντρου λόγον ἔχουσα, μεθ' ἣν τὸ ὕδωρ σφαιροειδές, ἔχον τὸ αὐτὸ σχῆμα τῇ γῇ, ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι· μετὰ τὸ ὕδωρ δὲ ἀέρα ἐσφαιρωμένον. Κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ 15 ε'.

2654 Κ ύ κ λ ο ι ἐν τῷ οὐρανῷ πέντε· ἀρκτικός, ὁ ἀεὶ φαινόμενος, τροπικὸς θερινός. ἰσημερινός, χειμερινὸς ⟨τροπικός⟩, ἀνταρκτικὸς ἀφανής. Λέγονται δὲ παράλληλοι καθότι οὐ συννεύουσιν εἰς ἀλλήλους· γράφονται μέν- 20 τοι περὶ τὸ αὐτὸ κέντρον. Ὁ δὲ ζῳδιακὸς λοξός ἐστιν, ὡς †αἴτιος† τοῖς παραλλήλοις.

6 ἐρρωγὸς ἀπὸ νέφους *Suda* et DL P[1] (B) : ἐρρωγότος νέφους DL FP[4] **7** περισχεθὲν : περισχισθὲν DL P[1]B[2] et Φ : περιχυθὲν DL F : περισχεθὲν DL D **8** βιαιοτάτου om. DL et Φ (fortasse in lacuna) **9** σεισμὸν γίνεσθαι supplevi post Menagium **13** ἔχουσα *Suda* et Φ : ἐπέχουσα DL PF : ἀπέχουσα DL B **14** σχῆμα : κέντρον DL **18–19** χειμερινὸς post φαινόμενος in *Suda,* huc transtuli et τροπικός addidi ex DL **19** παράλληλοι *Suda* et DL B : πάντα ἄλληλοι DL P[1] F : ἀκατάλληλοι Φ **22** αἴτιος : ἐπιὸς DL BP[1] : ἐπιὼν DL F | τοὺς παραλλήλους DL

137 Ζ ῶ ν α ι· ἐπὶ γῆς ε´· βόρειος ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· εὔκρατος· ⟨*⟩ καύματος, ἡ καλουμένη διακεκαυμένη· ἀντεύκρατος· νότιος, ἀοίκητος διὰ ψῦχος. **156**

5 442 Ὕ π ν ο ς· τὸν ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. **158**

41 Ἡ γ ε μ ο ν ι κ ό ν: ... Ἢ τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν τῇ καρδίᾳ. **159**

10 282 Τ έ λ ο ς· ... Ἀρίστων δὲ ὁ Χῖος τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα πρός τι μεταξὺ ἀρετῆς καὶ κακίας, μηδὲ ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα. Εἶναι γὰρ ὅμοιον τὸν σοφὸν τῷ ἀγαθῷ ὑποκριτῇ. **160**

15 2627 Ἐ π ι σ τ ή μ η· ... Ἐπιστήμη δέ ἐστιν ἕξις ἐν φαντασιῶν προσδέξει †ἀνυποκρίτῳ.† **165**

282 Τ έ λ ο ς· ... Διαφέρει δὲ τέλος καὶ ὑποτελίς· τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα 20 εἶναι. – Οἱ δὲ εἶπον τέλος εἶναι τὴν ἐπιστήμην, ⟨ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντ' ἀναφέροντα πρὸς⟩ τὸ μετ' ἐπιστήμης ζῆν καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον.

1–4 cf. Zon. 965 **7–9** cf. Zon. 973 **17–20** εἶναι = 603 Ὑποτελίς

2 ante καύματος lacuna in *Suda* et Φ : ἀοίκητος ὑπὸ DL BPF | καυμάτων DL et Φ **4** ψῦχος **T** et Chalcondyles ex DL : καῦμα *Suda* cett. et Zon. **11** τι *Suda*, DL et Φ 56 : τὰ *Frob.* **16** ἀνυποκρίτῳ : ἀνυπόπτωτον DL (cf. 7.47) | post ἀνυπόπτωτον add. DL B^2PF ὑπὸ λόγων : ὑπὸ λόγου B^1 et *Frob.*

168–170 1711 Κ λ ε ά ν θ η ς ... Φανίου, Ἄσσιος, μαθητὴς Κράτητος, εἶτα Ζήνωνος, οὗ καὶ διάδοχος γέγονε· διδάσκαλος δὲ τοῦ φιλοσόφου Χρυσίππου, τοῦ Σολέως, καὶ Ἀντιγόνου τοῦ βασιλέως. Οὗτος πρότερον ἦν πύκτης, ἐλθὼν δὲ εἰς Ἀθήνας ἠράσθη φιλοσοφίας καὶ τοσοῦτον 5 γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς κληθῆναι. Μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθῷ καὶ μεθ' ἡμέραν τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν· ὅθεν ἐπωνομάσθη Φρεάντλης.

177 3569 Ε ὔ λ ο γ ο ν ἀ ξ ί ω μ α: ... Λόγου ποτὲ γενο- 10 μένου πρὸς Κλεάνθην τὸν φιλόσοφον καὶ Πτολεμαῖον τὸν βασιλέα περὶ τοῦ δοξάσειν τὸν σοφὸν καί τινος εἰπόντος ὡς οὐ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν κηρίνας ῥοὰς ἐκέλευσε παρατεθῆναι. Τοῦ δὲ σοφοῦ ἀπατηθέντος ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖ- 15 σθαι αὐτὸν φαντασίᾳ. Πρὸς ὃν ὁ σοφὸς εὐστόχως ἀπεκρίνατο, εἰπὼν οὕτω συγκατατεθεῖσθαι οὐχ ὅτι ῥοαί εἰσιν, ἀλλ' ὅτι εὔλογόν ἐστι ῥοὰς αὐτὰς εἶναι· διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου.

179–180; 184–185 568 Χ ρ ύ σ ι π π ο ς Ἀπολλωνίδου, Σολεὺς ἢ Ταρ- 20 σεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς Στωϊκῆς σχολῆς μετὰ Κλεάνθην καὶ τελευτήσας ο´ καὶ τριῶν ἐτῶν (ὑπὸ τοῦ πιεῖν ἄκρατον καὶ ἰλιγγιάσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου), ἐπὶ ρμγ´ Ὀλυμπιάδος. Συνέταξε δὲ βιβλία πλεῖον ἢ ψ´ φιλόσοφά τε καὶ ἱστορικὰ 25 καὶ γραμματικά.

7–9 = 696 Φρεάντλης

4 πρότερον : πρῶτον DL et Φ 59 **8** μισθῷ : μισθοῦ φ 42 **11** Κλεάνθην : immo Σφαῖρον (titulum Σφαῖρος non novit *Suda*) **12** τινος : τοῦ Σφαίρου DL **14** τοῦ δὲ σοφοῦ : τοῦ δὲ Σφαίρου DL **16** ὁ σοφὸς : ὁ Σφαῖρος DL et Φ 60 **20** Ἀπολλωνίου DL **25** πλεῖον ἢ ψ´ : ὑπὲρ πέντε καὶ ἑπτακόσια DL

569 Χ ρ ύ σ ι π π ο ς: ... Ὅτι Χρύσιππος ὁ φιλόσοφος τοιούτους τινὰς ἠρώτα λόγους· "Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει ⟨*⟩· ἀσεβεῖ ἄρα ὁ ἱεροφάντης." "Ὃ ἔστιν 5 ἐν τῇ πόλει, τοῦτο καὶ ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ." "Ἔστι τις κεφαλή· ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δέ γε τις κεφαλὴ ἣν οὐκ ἔχεις· οὐκ ἄρα ἔχεις κεφαλήν." (187) "Εἴ τίς ἐστιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ 10 ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις." "Εἴ τι λαλεῖς, τοῦτό σου διὰ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξά σου ἄρα διὰ τοῦ στόματος διέρχεται." "Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις." **186–187**

15 3124 Π υ θ α γ ό ρ α ς: ... Ὅτι Πυθαγόρᾳ τὰ σύμβολα ἦν τάδε· Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν· ζυγὸν μὴ ὑπερβαίνειν· ἐπὶ χοίνικος μὴ καθίζειν· καρδίαν μὴ ἐσθίειν· φορτίον συγκαθαιρεῖν μηδὲ συνεπιτιθέναι· τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν· ἐν δακτυλίῳ θεοῦ εἰκόνα μὴ 20 περιφέρειν· χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ· †λαδίῳ† εἰς θᾶκον μὴ ὀμόργνυσθαι· πρὸς ἥλιον τετραμμένον μὴ ὀμιχεῖν· ἐκτὸς λεωφόρου μὴ βαδίζειν· μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν· ὁμωροφίους χελιδόνας μὴ ἔχειν· γαμψώνυχα μὴ τρέφειν· ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ 25 ἐφίστασθαι· ὀξεῖαν μάχαιραν ἀποστρέφειν· ἀποδημοῦντα ἐν τοῖς ὅροις ἀνεπιστρεπτεῖν. **8.17–27**

4 post λέγει lac. in *Suda*, DL et Φ 61 : τὰ μυστήρια ab Arnim : αὐτά conieci conl. DL 2.101 **7** ἣν οὐκ ἔχεις om. DL et Φ **18** συγκαθαιρεῖν **A V** et DL BPF : μὴ συγκαθαιρεῖν **G M** et DL D | μηδὲ : καὶ μὴ DL **20** λαδίῳ *Suda* et DL P[1] : ἐλαδίω DL BFDP[4] : δᾳδίῳ Menag. ex Iambl. *Protr.* 21 **22** ὀμιχεῖν *Suda* et DL F[2]DP[4] : ὀμιλεῖν DL BP[1] **26** ἐν : ἐπὶ DL

(18) Ἤθελε δὲ αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν ὅτι δυναστῶν ὀργὴν καὶ οἰδούντων θυμὸν μὴ κινεῖν. Τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τῷ φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ὁ γὰρ 5 χοῖνιξ ἡμερήσιος τροφή. Διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. Διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρῄνει †τὸ† ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθημητικῶς ἔχειν τοῦ ζῆν, μηδ' ὑπὸ τῶν ἐνθάδε ἡδονῶν ὑπάγεσθαι. 10 Καὶ τἆλλα πρὸς ταῦτα λοιπόν ἐστιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν.

(19) Παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθῖνον ἐσθίειν, μήτε μελάνουρον, καρδίας τε ἀπέχεσθαι καὶ κυάμων καὶ μήτρας καὶ τρίγλης. Ἐνίοτε δ' αὐτὸν ἀρκεῖ- 15 σθαι μέλιτι μόνῳ ἢ κηρῷ ἢ ἄρτῳ (οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι), ὄψου τε τὰ πολλὰ λαχάνοις ἑφθοῖς καὶ ὠμοῖς, τοῖς δὲ θαλαττίοις σπανίως. Στολὴ δὲ αὐτῷ λευκὴ καὶ καθαρά, καὶ στρώματα λευκὰ ἐξ ἐρίων· τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφίκετο τοὺς τόπους. Οὐδὲ πώποτε δὲ ἐγνώ- 20 σθη οὔτε διαχωρῶν οὔτε ἀφροδισιάζων οὔτε μεθυσθείς. (20) Ἀπείχετο δὲ καταγέλωτος καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. Ὀργιζόμενός τε οὔτε οἰκέτην ἐκόλαζεν οὔτε ἐλεύθερον οὐδένα. Ἐκάλει δὲ τὸ νουθετεῖν πελαργᾶν. Μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῶν 25

24 Ἐκάλει – **25** πελαργᾶν cf. *Suda*, Π 929

2 ὅτι om. DL | οἰδούντων : οἰδοῦντα DL et Φ 62 **4** μὴ ὑπερβαίνειν om. DL F et Φ **5** τῷ *Suda* et DL D : τοῦ DL PBF : τοῦ παρόντος Φ **9** τὸ *Suda* et DL BP[1]F : τοῖς P[4] **10** ἐνθάδε : ἐνταῦθα DL | ὑπάγεσθαι *Suda* et DL P[4] : ἐπάγεσθαι DL BP[1]F **15** δ' **G M** et DL F : τε DL BP[1] : om. **A V** **17** ὄψου **A V** et DL BPF : ὄψῳ **G M** **20** ἀφῖκτο DL

κληδόνων τε καὶ οἰνωνῶν, ἥκιστα δὲ διὰ τῶν ἐμπύρων, ἔξω τῆς διὰ λιβάνου. Θυσίαις τε ἐχρῆτο ἀψύχοις· οἱ δέ, ἀλεκτορίσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς. Φασὶ δ' αὐτὸν συγχωρεῖν πάντα τὰ ἔμψυχα ἐσθίειν, μόνου δ'
5 ἀπέχεσθαι βοὸς ἀροτῆρος καὶ κριοῦ. (21) Τὰ δὲ δόγματα ἔλαβε παρὰ τῆς ἀδελφῆς Θεοκλείας. Φασὶ δ' αὐτὸν κατελθόντα εἰς ᾅδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν
10 εἶπον περὶ θεῶν· κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν γυναιξί.

(22) Σφάγια δὲ θεοῖς προσφέρειν ἐκώλυε, βωμὸν δὲ προσκυνεῖν ⟨μόνον⟩ τὸν ἀναίμακτον. Μηδὲ ὀμνύναι θεούς· ἀσκεῖν γὰρ ἑαυτὸν δεῖ ἀξιόπιστον παρέχειν. Τοὺς
15 πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους· ὡς ἐν κόσμῳ ἀνατολὴν δύσεως, ἐν βίῳ [τὴν] ἀρχὴν τελευτῆς, ἐν ζωῇ γένεσιν φθορᾶς. (23) Καὶ θεὸν μὲν δαιμόνων προτιμᾶν, ἥρωας δὲ ἀνθρώπων, ἀνθρώπων δὲ μάλιστα γονέας. Ἀλλήλοις τε ὁμιλεῖν, ὡς
20 τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δὲ ἐχθροὺς φίλους ἐργάσασθαι. Ἴδιόν τε μηδὲν ἡγεῖσθαι. Νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν. Φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι, ἀλλὰ μήτε ζῷον ὃ μὴ βλάπτει ἀνθρώπους. Αἰδῶ καὶ εὐλάβειαν εἶναι, μήτε καταγέλωτι κατέχεσθαι
25 μήτε σκυθρωπάζειν. Φεύγειν σαρκῶν πλεονασμόν. Ὁδοιπορίας ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι. Μνήμην ἀσκεῖν. Ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν. (24) Μαντικὴν πᾶσαν τιμᾶν. Ὠιδαῖς χρῆσθαι πρὸς λύραν ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον ἔχειν χάριν. Τῶν δὲ κυάμων

3 ἀλέκτορσι DL **4** μόνου *Suda* et Φ 62 : μόνον DL **6** τῆς ἀδελφῆς *Suda* ex DL 8.8 BPF : τῆς ἐν Δελφοῖς DL BP F | Θεοκλείας : Θεμιστοκλείας bis DL **13** μόνον addidi ex DL **14** γὰρ scripsi ex DL BP : δὲ *Suda* **17** τὴν delevi, om. DL **18** θεὸν : θεοὺς DL **22** φθίνειν *Suda* et DL P4 : φθείρειν DL BP1 **24** γέλωτι DL

ἀπέχεσθαι διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυχικοῦ· καὶ ἄλλως κοσμιωτέρας ἀπεργάζεσθαι, μὴ παραληφθέντας, τὰς γαστέρας καὶ διὰ τοῦτο καὶ τὰς καθ' ὕπνους φαντασίας λείας τε καὶ ἀταράχους ἀποτελεῖν.

Ἐν ὑπομνήμασι δὲ Πυθαγορικοῖς καὶ ταῦτα εὕρηται· 5 (25) ἀρχὴν μὲν τῶν ἁπάντων μονάδα· ἐκ δὲ τῆς μονάδος ἀόριστον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι. Ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος τοὺς ἀριθμούς· ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα· ἐκ δὲ τούτων τὰς γραμμάς· ἐξ ὧν τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ 10 τῶν ἐπιπέδων τὰ στερεὰ σχήματα· ἐκ δὲ τούτων τὰ αἰσθητὰ σώματα· ὧν καὶ τὰ στοιχεῖα εἶναι δ', πῦρ, ὕδωρ, γῆν, ἀέρα. Ἃ μεταβάλλειν καὶ τρέπεσθαι δι' ὅλων, καὶ γίνεσθαι ἐξ αὐτῶν κόσμον ἔμψυχον, νοερόν, σφαιροειδῆ, μέσην περιέχοντα τὴν γῆν, καὶ αὐτὴν σφαιροειδῆ καὶ 15 οἰκουμένην. (26) Εἶναι δὲ καὶ ἀντόποδας, καὶ τὰ ἡμῖν κάτω ἐκείνοις ἄνω. Ἰσόμοιρά τε εἶναι ἐν τῷ κόσμῳ φῶς καὶ σκότος, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν· ὧν κατ' ἐπικράτειαν θερμοῦ μὲν θέρος γίνεσθαι, ψυχροῦ δὲ χειμῶνα. Ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιστα εἶναι τοῦ ἔτους· 20 οὗ τὸ μὲν θάλλον ἔαρ ὑγιεινόν, τὸ δὲ φθίνον φθινόπωρον νοσερόν. Ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὴν ἕω, φθίνειν δὲ τὴν ἑσπέραν· ὅθεν καὶ νοσερώτερον εἶναι. Τόν τε περὶ τὴν γῆν ἀέρα ἄσειστον καὶ νοσερόν, καὶ τὰ ἐν αὐτῷ πάντα θνητά· τὸν δὲ ἀνωτάτω ἀεικίνητον εἶναι καὶ 25 καθαρὸν καὶ ὑγιᾶ, καὶ πάντα τὰ ἐν αὐτῷ ἀθάνατα καὶ διὰ τοῦτο θεῖα. (27) ⟨Ἥλιόν τε καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας εἶναι θεούς·⟩ ἐπικρατεῖ γὰρ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ἐστὶ ζωῆς αἴτιον. Τήν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. Καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν κατὰ 30

1 ἀπηγόρευεν ἀπέχεσθαι DL BP[1] **16** περιοικουμένην DL **23** νοσερωτέραν G M[2] et DL DP[4] **24** ἀέρα *Suda* et DL D : αἰθέρα DL BP[1]F **27** Ἥλιόν τε καὶ σελήνην – **28** εἶναι θεούς supplevi ex DL (excidit ob homoeoteleuton)

τὸ μετέχειν ἄνθρωπον θερμοῦ. Εἱμαρμένην τε τῶν ὅλων καὶ κατὰ μέρος αἰτίαν εἶναι τῆς διοικήσεως. Διήκειν τε ἀπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος τοῦ τε ψυχροῦ καὶ παχέος. Ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βένθη δύεσθαι
5 καὶ διὰ τοῦτο ζωοποιεῖν πάντα. (Τὰ λοιπὰ παρήκαμεν, ἵνα μὴ παρέλκωμεν).

524 Ν ο ῦ ς· ... Ὅτι Πυθαγόρας τὴν τοῦ ἀνθρώπου **30** ψυχὴν διηρῆσθαι ἔφη εἰς γʹ· νοῦν, φρένας καὶ θυμόν. Νοῦν μὲν οὖν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις,
10 φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. Εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρις ἐγκεφάλου· καὶ τὸ μὲν ἐν ⟨τῇ⟩ καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν, φρένας δὲ καὶ νοῦν τὰ ἐν τῷ ἐγκεφάλῳ.

269 Δ ε σ μ ὰ τ ῆ ς ψ υ χ ῆ ς αἱ φλέβες καὶ αἱ ἀρ- **31**
15 τηρίαι καὶ τὰ νεῦρα· ὅταν δὲ καθ' ἑαυτὴν ἠρεμῇ, δεσμὰ γίνεσθαι αὐτῆς πρὸ τοῦ λόγου τὰ ἔργα.

344 Ὀ ν ε ι ρ ό π λ η κ τ ο ν: ... Ὅτι, ὥς φησι Πυθα- **32** γόρας, ὀνείρους καὶ τοῖς κτήνεσι γίνεσθαι καὶ νόσους καὶ σημεῖα.

20 3124 Π υ θ α γ ό ρ α ς: ... (p. 266.35 A.) Ὅτι τὰ πίπ- **34–35** τοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι παρεκελεύετο Πυθαγόρας, ἢ διὰ τὸ μὴ ἐθίζεσθαι ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινος· Ἀριστοφάνης γὰρ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτον-
25 τα ἀναιρεῖσθαι. Μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν, ὡς

14–16 cf. Zon. 485

1 post θερμοῦ addit DL διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν **8** εἰς γʹ : τριτῇ DL **11** τῇ addidi ex DL **15** ὅταν δὲ ἰσχύῃ καὶ καθ' αὑτὴν γενομένη ἠρεμῇ DL **16** πρὸ τοῦ λόγου τὰ ἔργα **A G I T** et Zon. (καὶ τὰ ἔργα **F V M**) : τοὺς λόγους καὶ τὰ ἔργα DL **21** ἀπὸ τῆς τραπέζης om. DL **25** ἀναιρεῖσθαι : γεύεσθ(αι) DL

ἱερὸν τοῦ ἡλίου καὶ τὰς ὥρας μηνύοντα. Τοὺς κυάμους δὲ ἀποτρέπεσθαι, ὅτι αἰδοίοις ἐοίκασι. (35) Καὶ τοὺς ἅλας παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σῴζουσιν ὅ τι καὶ παραλάβωσι καὶ γεγόνασιν ἐκ τῶν καθαρῶν ὑδάτων καὶ θαλάσσης. Ἄρτον δὲ μὴ καταγνύ- 5 ειν, ὅτι ἐπὶ ἕνα οἱ παλαιοὶ ἐφοίτων· καὶ μὴ διαιρεῖν, ὃς συνάγει ἐφ' ἑαυτόν· ἢ ὅτι εἰς πόλεμον δειλίαν ἐμποιεῖ.

36 1264 Στυφελίξαι: ...

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος· 10
"Παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ ..."

36–37 46 Ξενοφάνης ἐν ἐλεγείᾳ περὶ τοῦ ἄλλοτε ἄλλον αὐτὸν [sc. Πυθαγόραν] γεγενῆσθαι·

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασί γ' ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος· 15
"Παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων."

(37) Ἔσκωψε δ' αὐτὸν καὶ Κρατῖνος ἐν Πυθαγοριζού-σῃ· καὶ ἐν Ταραντίνοις·

Ἔθος ἐστὶν αὐτοῖς, ἄν ⟨τιν'⟩ ἰδιώτην ποθὲν 20
λάβωσιν εἰσελθόντα, διαπειρώμενον
τῆς τῶν λόγων ῥώμης, ταράττειν καὶ κυκᾶν

9–11 = 14–16 **14–17** *Anth. Pal.* 7.120; 21 B 7 DK; Φ 62 **20–p. 75.2** *PCG* Cratini iunioris Fr. 7

1 ἡλίου : μηνὸς DL BPF : διὸς DL D | μηνύοντα : σημαίνει DL **5** καθαρῶν ὑδάτων : καθαρωτάτων ὕδατος DL **6** οἱ πάλαι DL BP[1] et Φ | post πάλαι addit DL τῶν φίλων **7** ἐφ' ἑαυτὸν : αὐτούς DL | ἐμποιεῖ : ποιεῖν DL **10** φασὶν *Suda*, DL B et *Anth.* : φασί γ' *Suda*, Ξ 46, DL P[1] et Φ **17** φθεγξαμένης **A**, DL, Φ et *Anth.* : φθεγξαμένην **G V M** **20** ἄν ⟨τιν'⟩ scripsi ex DL : ἐὰν *Suda*

τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι,
τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσι νουβυστικῶς.

3124 Π υ θ α γ ό ρ α ς: ... (p. 267.6 A.) Ἀριστοφῶν **38**
λέγει περὶ τῶν Πυθαγοριστῶν·

5 ⟨*⟩ καταβὰς εἰς τὴν δίαιταν τῶν κάτω
ἰδεῖν ἑκάστους· διαφέρειν δὲ πάμπολυ
τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ
τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη
δι' εὐσέβειαν. – Εὐχερῆ θεὸν λέγεις,
10 εἰ τοῖς ῥύπου μεστοῖσ⟨ιν⟩ ἥδεται ξυνών.
⟨*⟩
λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ·
φθεῖρας δὲ καὶ τρίβωνα τήν τ' ἀλουσίαν
οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

15 3120 Π υ θ α γ ό ρ α ς: ... (p. 263.4 A.) Ἐτελεύτα δὲ **39**
ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον· συνεδρεύοντος μετὰ τῶν
συνήθων ἐν τῇ Μήλωνος οἰκίᾳ †τούτου†, ὑπό τινος τῶν
μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνον ὑποπρησθῆναι τὴν
οἰκίαν συνέβη. Τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο
20 πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. Τὸν δὴ Πυ-
θαγόραν καταληφθῆναι διεξιόντα· καὶ πρός τινι χωρίῳ
†γενόμενον† πλήρει κυάμων, ἵνα †διήρχετο†, αὐτόθι

5–14 *PCG* Antiphontis Fr. 12

4 περὶ τῶν Πυθαγοριστῶν : Πυθαγοριστῇ DL **5** ἔφη τε καταβὰς DL | τῶν scripsi ex DL : αὐτῶν *Suda* **9–10** λέγεις εἰ τοῖς **M** et DL P[2] : λέγειν σίτοις **A V** : λέγει σίτοις DL B : λέγειν τοῖς P[1] : λέγεις ἐν τοῖς F **10** μεστοῖσ⟨ιν⟩ scripsi ex DL FP[4] : μεστοῖς *Suda* et DL BP[1] **11** post ξυνών lacunam indic. **G M**[ss.] : ἐσθίουσί τε DL FDP[4] : om. DL BP[1] **13** τρίβωνας **G** **14** νεωτέρων : ἑτέρων P[1] **17** Μίλωνος DL | τούτου *Suda* et DL : τοῦ ⟨ἀθλη⟩τοῦ coni. Cobet **22** γενόμενον *Suda* et DL : γενόμενος Delatte | διήρχετο *Suda* : om. DL BPF : ⟨μὴ⟩ διέρχοιτο Delatte

ἔστη, εἰπὼν ἁλῶναι ⟨*⟩ μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. Οὕτω δὲ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς μ΄.

46 4523 Α ὐ τ ὸ ς ἔ φ α: τοῦτο παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσῆλθεν εἰς τὸν βίον. 5

51, 53, 58, 60, 69, 73 1002 Ἐ μ π ε δ ο κ λ ῆ ς Μέτωνος, οἱ δὲ Ἀρχινόμου, οἱ δ' Ἐξαινέτου· καὶ ἀδελφὸν δὲ ἔσχε Καλλικρατίδην ... Ἀκραγαντῖνος, φιλόσοφος φυσικὸς καὶ ἐποποιός ... Ὃς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν 10 τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσὶν ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. Ἐπεὶ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα· καὶ οὕτως ἀπώλετο, τοῦ σανδαλίου αὐτοῦ ⟨*⟩ 15 ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. Ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας, διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκραγαντίᾳ ἐξελάσαι αὐτὸν δορὰς ὄνων περιθέντα τῇ πόλει. Γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος.

59–61 3242 Ἄ π ν ο υ ς· (60) φασὶν Ἐμπεδοκλέα Παυσανίᾳ ὑφηγήσασθαι τὸν ἄπνουν. (61) Εἶναι δὲ τὸν ἄπνουν 20 τοιοῦτόν ⟨τι⟩, ὡς λ΄ ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσιτον

7–18 cf. 31 A 2 DK **8** cf. *Suda*, K 224 **9** Ὃς – **18** τῇ πόλει = *Suda*, 1671 Ἀμύκλαι **16–18** τῇ πόλει cf. *Suda*, 1376 Δορὰ ὄνων

1 ⟨ἂν⟩ μᾶλλον Cobet **8** δ' Ἐξαινέτου Diels ex DL : δὲ Ξενέτου *Suda* **9** ὃς Bidez : ὁ **G I T** : οὗτος ὁ Ἐμπεδοκλῆς **V M** **14** εἰς τοὺς κρατῆρας τοῦ Αἰτναίου πυρός *Suda*, A 1671 **15** post αὐτοῦ lac. indicavi : εὑρεθέντος suppleverim conl. Strab. 274 C (= 31 A 16 DK) **17** διὰ τὸ πολλοὺς ἀνέμους ἐπιθεμένους *Suda*, A 1671 | τῇ Ἀκραγαντίᾳ : τῇ Ἀκράγαντι **B** et *Suda*, A 1671 et Δ 1376 **21** τὸν ἄπνουν : τὰ περὶ τὴν ἄπνουν DL **21** τὸν : τὴν DL et φ 31 **22** τι addidi ex DL et φ | ἄσιτον *Suda* et φ : ἄσηπτον DL

τὸ σῶμα. (59) Ἦν δὲ οὗτος καὶ γόης, καί φησι περὶ ἑαυτοῦ·

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα.
5 Παύσεις δ' ἀκαμάτων ἀνέμων ⟨μένος⟩, οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν·
καὶ πάλιν, ἤν κ' ἐθέλῃσθα, παλίντονα πνεύματ' ἐπάξεις·
στήσεις δ' ἐξ ὄμβρου κελαινοῦ [ῥόον] καίριον αὐχμὸν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο ⟨*⟩
10 ῥεύματα δενδρεόθρεπτα, τά τ' †ἐν θέρει ἔσονται·†
ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

(60) Καί ποτ' ἐτησίων σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε
15 πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δὲ Κωλυσάνεμον κληθῆναι.

1026 Ἄ κ ρ ω ν· Ἀκραγαντῖνος, ἰατρός ... Εἰς τοῦτον **65** ἐποίησεν Ἐμπεδοκλῆς τωθαστικὸν ἐπίγραμμα·

Ἄκρον ἰατρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς Ἄκρου
20 κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

3–11 31 B 111 DK. – Cf. Clem. *Strom.* 6.30.2; Tzetzae *Chiliad.* 2.906–14 **12–16** cf. *Suda*, 1002 Ἐμπεδοκλῆς; Φ 63 **19–20** 31 B 157 DK; φ 31

5 μένος addidi ex DL P, Clem. et Tzetzes **6** πνοιαῖσι : θνητοῖσι Clem. | ἄρουραν *Suda* et DL : ἀρούρας Clem. et Tzetzes **7** ἤν κ' *Suda*, DL P(B) et Tzetzes : εὖτ' Clem. | παλίντονα *Suda* : παλίντιτα DL, Clem. et Tzetzes | ἐπάξεις : θήσεις Clem. **8** στήσεις *Suda*, DL P^1(B), Tzetzes : θήσεις DL F | ῥόον delevi, om. DL et Tzetzes **9** post αὐχμοῖο lac. indicavi : θερείου P^4 et Tzetzes : θερίοις DL **10** ἐν θέρει ἔσονται corruptum (exspectes αἰθέρι ⟨ναι⟩ήσονται) : αἰθέρι να(ι)ήσονται fere DL BP^1(F) : αἰθέρια θήσονται Tzetzes **15** κωλυσάνεμον : κωλυσάμενον *Suda*, K 2249 : κωλυσανέμαν *Suda*, E 1102; K 2249; DL et Φ

Τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται·

ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

Τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

76 346 Ν ῆ σ τ ι ς: ...

Νῆστίς θ', ἣ δακρύοις †γε πικροῖς νωμᾷ† βρότειον [γένος], 5

τὸ ὕδωρ λέγων.

84 553 Ὑ π ό ν ο ι α· Φιλόλαός φησι·

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα [προ]λέγω θεραπεύειν·
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς †ἀτυχεῖν.† 10
Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

86–88 3429 Ε ὔ δ ο ξ ο ς Αἰσχίνου Κνίδιος, φιλόσοφος, Πλάτωνος ἡλικιώτης· ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτίς, Δελφίς, Φιλτίς. Καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς 15 ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου· καὶ Ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν Ἀστρονομίαν.

9.1, 3–5 472 Ἡ ρ ά κ λ ε ι τ ο ς Βλόσωνος ἢ Βαύτωρος, οἱ δὲ †Ἡρακῖνος,† Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη Σκοτεινός. Οὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, 20 φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. Οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς ᾗπερ ἐβούλοντο θεραπεύειν αὐτόν,

5–6 31 B 6.3 DK **9–12** *Anth. Pal.* 7.126 **11–12** = *Suda*, 384 Φιλόλαος **18–p. 79.7** 22 A 1a DK

5 γε πικροῖς νωμᾷ corruptum : τεπι κρουνωμα DL B(P[1]) : τε πικροῖ ὄμμα DL F : τέγγει κρούνωμα Emped. **6** γένος seclusi : om. DL et Emped. **9** μάλιστα πᾶσι προλέγω *Suda*, correxi ex DL et *Anth.* **10** ἀτυχεῖν *Suda*, DL B[1]F[2] et *Anth.* : ἀτυχεῖς DL B[2]P[1]F[1] et *Anth. Plan.* **19** ἠρακῖνος *Suda* : ἠρακίωντος DL BP[1](F) : Ἡράκωντος Keil : Ἡρακίωνος Adler

ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τοῦτο ὑπὸ τῷ ἡλίῳ· καὶ κείμενον αὐτὸν κύνες προ⟨σ⟩ελθοῦσαι διέσπασαν (οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν). Τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφάνους καὶ Ἱππάσου τοῦ Πυθαγορείου. Ἦν δὲ ἐπὶ τῆς ξθ´ Ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑστάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς.

400 Δηλίου κολυμβητοῦ· τοῦτο ἐρρήθη εἰς βιβλίον Ἡρακλείτου διὰ τὸ δυσνόητον· "Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὅς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ." Ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν Μούσας, οἱ δὲ Περὶ φύσεως· Διόδοτος δέ· **12**

Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου·

ἄλλοι †Γνώμην† ἠθῶν, Κόσμον τρόπου, †ἑνὸς† τῶν ξυμπάντων.

2046 Ἀναρίθμητος: ... **16**

Εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
οὐδείς. Ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ,

φησὶν Ἡράκλειτος.

309 Λέσχη: ... **17**

ἐμνήσθην, ὁσ⟨σ⟩άκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. Ἀλλὰ σὺ μέν που,

8–10 cf. DL 2.22 **17–18** *Anth. Pal.* 7.128.3–4 **21–p. 80.2** Callim. *Epigr.* 2 Pfeiffer = *Anth. Pal.* 7.80.2–5

3 προ⟨σ⟩ελθοῦσαι Bernhardy : προελθοῦσαι *Suda* **11** αὐτὸ *Suda* et DL P : αὐτῷ **A**[1] **F** et DL BF **14** γνώμην *Suda* et DL : γνώμον' Kuster, Reiske | τρόπου scripsi ex DL : τρόπων *Suda* | ἑνὸς *Suda* et DL : ἕνα Kuster **21** post ἐμνήσθην addunt δ' DL et *Anth.* **22** ἥλιον *Suda* et *Anth.* : ἠέλιον DL, *Plan.*

ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες ...

20 174 Ἥκιστα: ... Ξενοφάνης ἔφη τοῖς τυράννοις ἐντυγχάνειν ὡς ἥκιστα ἢ ὡς ἥδιστα.

21 675 Παρμενίδης Πύρητος Ἐλεάτης, φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. 5

23 3187 Ἕσπερος. Παρμενίδης πρῶτος πεφώρακε τὸν αὐτὸν Ἕσπερον εἶναι καὶ Φωσφόρον· οἱ δὲ Πυθαγόραν. 10

25–27, 29 77 Ζήνων Τελευταγόρου Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους· ἦν γὰρ ἐπὶ τῆς οη´ Ὀλυμπιάδος· μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου ... Τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. Καθελεῖν δὲ 15 θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα), τὸν Ἐλέας τύραννον, ἑάλω· καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὑτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ. Καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος.

28 768 Ἐλέα ... Πατρὶς Ζήνωνος. Αὕτη πρότερον 20 †Ὕλη† ἐκαλεῖτο, Φωκαέων οὖσα ἀποικία· πόλις εὐτελὴς καὶ μόνον ἀγαθοὺς ἄνδρας τρέφειν δυναμένη. Ἣν ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας, οὐκ ἐπιδημήσας τὰ πολλὰ πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς.

34–35, 41 447 Δημόκριτος Ἡγησιστράτου, οἱ δὲ Ἀθη- 25 νοκρίτου ἢ Δαμασίππου, γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ´ Ὀλυμπιάδα· οἱ δὲ κατὰ τὴν π´ φασιν. Ἀβδερίτης ἐκ Θρᾴκης, φιλόσοφος· μαθητὴς κατά

11–19 29 A 2 DK **14–15** τῆς ῥητορικῆς cf. DL 8.57

1 ἁλικαρνησεῦ **A**, *Anth.* : ἁλικαρνασ(σ)εῦ **G V M** et DL **13** οη´ : οθ´ Reinesius : θ´ DL BP[1] **21** ὕλη *Suda* et DL : Ὑέλη Casaubon **22** δυναμένη : ἐπισταμένη DL

τινας Ἀναξαγόρου καὶ Λευκίππου· οἱ δέ τινες καὶ Μάγων καὶ Χαλδαίων Περσῶν· ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά. Εἶτα ἐπανῆλθε καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ
5 καὶ Δαμάστῃ.

971 Π έ ν τ α θ λ ο ς: ὁ Δημόκριτος ὁ Ἀβδηρίτης· **37**
ἤσκητο γὰρ τὰ φυσικά, τὰ ἠθικά, ⟨τὰ⟩ μαθηματικὰ καὶ τοὺς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. Τούτου ἐστὶ καὶ τὸ "Λόγος ἔργου σκιή."

10 448 Δ η μ ό κ ρ ι τ ο ς· ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης οὐκ ἦλθεν εἰς Ἀθήνας, ἀλλὰ τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τοῦ τόπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τῷ τόπῳ δόξαν περιθεῖναι προελόμενος.

448 Δ η μ ό κ ρ ι τ ο ς· ... Ὅτι ἐλθόντος Ἱπποκρά- **42–43**
15 τους πρὸς Δημόκριτον κελεῦσαι κομισθῆναι γάλα· καὶ θεασάμενον τὸ γάλα εἰπεῖν αἰγὸς εἶναι πρωτοτόκου καὶ μελαίνης· καὶ τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. Ἀλλὰ καὶ τὴν κόρην τὴν μετὰ Ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω·
20 "Χαῖρε κόρη," τῇ δὲ ἐχομένῃ· "Χαῖρε γύναι·" καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη.

(43) Ἤδη δὲ ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι. Τὴν οὖν ἀδελφὴν λυπεῖσθαι ὅτι ἐν τῇ τῶν Θεσμοφόρων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον
25 αὐτὴν μὴ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. Τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν ἑαυτὸν τὴν ἑορτήν·

9 68 B145 DK

7 τὰ[3] addidi ex DL **9** ἔργου σκιή Kuster ex DL : ἑρμοῦ αἰκίη **G M** : om. **A** **14** ἐλθόντος Ἱπποκράτους **V**, DL et Φ 69 : ἐλθόντα Ἱπποκράτην *Suda* cett. **25** αὐτὴν *Suda* et DL BP : αὐτῇ **A**[1] et DL F

ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς δὲ ἦσαν, ἀλυπότατα τὸν βίον προήκατο.

43 234 Π α ν τ ο δ α ή ς:

τίς ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς †μήνυσε† Δημόκριτος; 5

44–45 1827 Ἀ ν α γ κ α ῖ ο ν: ... Ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης φησὶ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μηδὲν ὂν φθείρεσθαι. Καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, 10 ἀέρα, γῆν. Εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινὰ συστήματα· ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ στερρότητα. (45) Πάντα δὲ κατὰ ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας τῆς γενέσεως οὔσης πάντων, ἣν ἀνάγκην λέγει.

45 3446 Ε ὐ ε σ τ ώ· ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης τέλος 15 τὴν εὐθυμίαν εἶναι λέγει, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς τυραννουμένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δὲ αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασιν. 20

46 1019 Τ ρ ι τ ο γ έ ν ε ι α: ... Δημόκριτος ὁ Ἀβδηρίτης ἔγραψε· Περὶ τῶν ἐν Ἅιδου, Τριτογένεια (τοῦτο δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα ἀνθρώπινα συνέχει).

47 2348 Κ ρ α τ υ ν τ ή ρ ι α ἔγραψε Δημόκριτος ὁ Ἀβ-

4–5 *Anth. Pal.* 7.57.1–2

5 μήνυσε *Suda, Anth.* et DL PF : μηνῦσαι DL B : μάνυε *Plan.* : ἤνυσε Opsopoeus **8** μηδὲν M et φ 23 : μὴ δὲ *Suda* cett. et DL BP[1] : μὴ FP[4] **11** τινὰ : τινῶν DL et φ **18** τυραννουμένη : ταραττομένη DL et φ

δηρίτης βιβλίον, ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων αὐτῷ βιβλίων.

2958 Π ρ ω τ α γ ό ρ α ς Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίδου ἢ Νεανδρίου. **50**

5 2166 Κ ο τ ύ λ η: ... Καὶ ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, ἣν πρῶτος ἐφεῦρε Πρωταγόρας· φορμοφόρος γὰρ ἦν. **53**

610 Φ ο ρ μ ο φ ό ρ ο ς ἦν Πρωταγόρας ὁ φιλόσοφος.

2958 Π ρ ω τ α γ ό ρ α ς ... Διεῖλέ τε πάντα λόγον **53–54**
10 πρῶτος οὗτος εἰς τέσσαρα· εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. (54) Μετὰ δὲ τοῦτον ἕτεροι εἰς ζʹ διεῖλον ταῦτα· διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, εἰσαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ τέσσαρας εἶναί φησιν ἰδέας λόγων· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσα-
15 γόρευσιν.

3132 Π υ θ μ ή ν: ... Καὶ Π υ θ μ έ ν α ς λ ό γ ω ν ἐκάλει Πρωταγόρας ὁ φιλόσοφος τὰς τῶν λόγων διαιρέσεις· οὗτος γὰρ διεῖλε πρῶτος τὸν λόγον εἰς δʹ · εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. Ἄλλοι δὲ εἰς ζʹ · διήγη-
20 σιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἐπαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ δʹ λόγους φησί· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.

3238 Π ύ ρ ρ ω ν Πλειστάρχου Ἠλεῖος, φιλόσοφος **61**
... Καὶ πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν

1–2 ἐπικριτικὸν πάντων τῶν γραφέντων (: προγραφέντων M) αὐτῷ βιβλίων : ἐπικριτικὰ τῶν προειρημένων DL BP **4** Μαιανδρίδου : Μαιανδρίου recte DL | ἢ Νεανδρίου om. V et DL **5** κοτύλη : τύλην DL **6** ἐφεῦρε : εὗρεν DL **9** πάντα : τὸν DL et *Suda*, Π 3132 **12** εἰσαγγελίαν : ἐπαγγελίαν DL BP¹F et *Suda*, Π 3132 : ἀπαγγελίαν DL DP² **14** ἰδέας λόγων : λόγους DL et *Suda*, Π 3132

ἐπὶ φιλοσοφίαν καὶ διήκουσε Βρύσωνος ... Ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλὰ ἔθει καὶ νόμῳ.

2824 Ἐ π ο χ ή· πρῶτος Πύρρων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν.

69–71 3241 Π υ ρ ρ ώ ν ε ι ο ι: οἱ τὰ τοῦ Πύρρωνος φρο- 5
νοῦντες αἱρετικοὶ οὕτως ἐκαλοῦντο ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοί τε καὶ σκεπτικοί, ἐφεκτικοί τε καὶ ζητητικοί. (70) Ζητητικοὶ μὲν ἀπὸ τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν, σκεπτικοὶ δὲ ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ καὶ μηδέποτε εὑρίσκειν, ἐφεκτικοὶ δὲ ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους 10
(λέγω δὴ τὴν ἐποχήν)· ἀπορητικοὶ δὲ ἀπὸ τοῦ τοὺς δογματικοὺς ἀπορεῖν καὶ αὐτούς. Θεοδόσιος δὲ ἐν τοῖς Σκεπτικοῖς ⟨κεφαλαίοις⟩ οὔ φησι ⟨δεῖν⟩ Πυρρώνειον καλεῖσθαι τὸν σκεπτικόν· εἰ γὰρ τὸ καθ' ἕτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύρρωνος 15
διάθεσιν· μὴ εἰδότες δὲ οὐδὲ Πυρρώνειοι καλοίμεθ' ἄν. Πρὸς τῷ μηδὲ πρῶτον εὑρηκέναι τὴν σκεπτικὴν Πύρρωνα, μηδ' ἔχειν τι δόγμα. Λέγοιτο δ' ἂν Πυρρώνειος ὁμότροπος (71) ταύτης τῆς αἱρέσεως.

Κατῆρξεν οὖν πρῶτος τῆς σκεπτικῆς Ὅμηρος· οὐ γὰρ 20
ὁριστικῶς δογματίζει περὶ τὴν ἀπόφασιν. Καὶ οἱ ζ´ δὲ σοφοὶ σκεπτικοί εἰσιν, οἷον τὸ "Μηδὲν ἄγαν" καὶ τὰ λοιπά. Ἀλλὰ καὶ Ἀρχίλοχος καὶ Εὐριπίδης. Ἐν οἷς Ἀρχίλοχός φησι·

2 φύσει *Suda* ex DL 9.101 : om. DL et φ 56 **11** δὴ *Suda* et Φ 8 : δὲ DL **13** κεφαλαίοις addidi ex DL et Φ | δεῖν addidi ex DL et Φ **17** τῷ *Suda* et DL P : τὸ V et DL BF **18** ὁμότροπος *Suda* et DL BP[1] : ὁμοτρόπως DL FP[4] **19–20** Ταύτης δὲ τῆς αἱρέσεως ἔνιοί φασι Ὅμηρον κατάρξαι (omissis οὖν πρῶτος τῆς σκεπτικῆς) DL et (Φ) **21** ὁρικῶς DL

Τοῖος ἀνθρώποισι νοῦς ...
γίνεσθαι θνητοῖς, ὁκοίην Ζεὺς ⟨ἐπ'⟩ ἡμέρην ἄγει.

Καὶ Εὐριπίδης·

... τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
5 φρονεῖν λέγουσι; Σοῦ γὰρ ἐξηρτήμεθα
δρῶμέν τε τοιαῦθ' †ἃ δὴ† τυγχάνεις θέλων.

662 Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, | τὸ κατθανεῖν δὲ ζῆν· Εὐριπίδου. **73**

802 Οὐδὲν μᾶλλον: ὅτι οἱ Σκεπτικοί, τουτ- **74–76**
10 έστιν οἱ Πυρρώνειοι, τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες αὐτοὶ οὐδὲν ἀποφαίνονται δογματικῶς· προφέρονται δὲ ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς εἰ καὶ νεύσαντας, τοῦτο ἐνεδέχετο δηλῶσαι. Διὰ τῆς "Οὐδὲν ὁρίζομεν" φωνῆς τὸ τῆς ἀρρεψίας πάθος δηλοῦ-
15 ται· ὁμοίως δὲ καὶ διὰ τῆς "Οὐδὲν μᾶλλον" καὶ τῆς "Παντὶ λόγῳ λόγος ἀντίκειται" καὶ ταῖς ὁμοίαις.

(75) Λέγεται δὲ τὸ "Οὐδὲν μᾶλλον" θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων· οἷον "Οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ ψεύστης." Ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ'
20 ἀναιρετικῶς λέγεται, ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ λέγοντος "Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ Χίμαιρα." Αὐτὸ

1–2 Archil. Fr. 131 West **4–6** Eurip. *Suppl.* 734–736 **7–8** Eurip. Fr. 638 N^2; Φ 8 **17–p. 86.5** *Suda,* 115 Μᾶλλον μᾶλλον

1 ἀνθρώποις *Suda,* correxi ex DL | νοῦς *Suda* et DL P^2F (ex *Odyss.* 18.136) : ρυς DL BP^1 : θυμός Stob. 1.1.18 **2** ἐπ' addidi ex DL BPD **4** τί δῆτα τούτους τοὺς DL P^2F et Φ 8 **6** ἃ δὴ : ἃ σὺ DL B et Φ : ἂν σὺ P^2 ex Eurip. : ἂν σὺ P^1 **12** προφέρονται scripsi ex DL et Φ 8 : προσφέρονται *Suda* **14** ante οὐδὲν add. οὖν DL BP^1 : om. *Suda,* DL FP^4 et Φ | ὁρίζομεν scripsi ex DL et Φ : ὁριζομένης *Suda* | δηλοῦται *Suda* et DL BFP^4 : δηλοῦνται DL P^1 : δηλοῦντας Φ **17** καὶ θετικῶς DL et Φ

δὲ τὸ "Μᾶλλον" ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν "Μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν σταφίδα·" ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς, ὡς ὅταν λέγωμεν "Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει·" σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. 5

(76) Ἀναιροῦσι δ' οἱ Σκεπτικοὶ καὶ αὐτὴν τὴν "Οὐδὲν μᾶλλον" φωνήν· ὡς γὰρ οὐ μᾶλλόν ἐστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ "Οὐδὲν μᾶλλον" ⟨οὐ μᾶλλόν⟩ ἐστι ἢ οὐκ ἔστι. Σημαίνει οὖν ἡ φωνὴ "τὸ μηδὲν ὁρίζειν, ἀλλ' ἀπροσθετεῖν." Ἡ δὲ "Παντὶ λόγῳ ..." φωνὴ καὶ αὐτὴ συνά- 10 γει τὴν ἐποχήν· τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ.

79 802 Ο ὐ δ ὲ ν μ ᾶ λ λ ο ν: ... Εἰσὶ ⟨δὲ⟩ δέκα τρόποι, καθ' οὓς τὰ ὑποκείμενα παραλλάττοντα ἀπεφαίνετο. 15

3216 Π υ ρ ί β ι α: ... Τῶν γὰρ ζῴων τὰ μὲν χωρὶς μίξεως γίνονται, ὡς τὰ πυρίβια καὶ ὁ φοῖνιξ τὸ ὄρνεον καὶ αἱ εὐλαί.

96–97 325 Σ η μ ε ῖ ο ν: δι' οὗ τὰ ἄδηλα καταλαμβάνεται παρὰ τοῖς Σκεπτικοῖς· ὃ ἀναιροῦσι διὰ συλλογισμῶν. 20

10.1–3, 13–15 2404 Ἐ π ί κ ο υ ρ ο ς Νεοκλέους Ἀθηναῖος, Γαργήττειος τῶν δήμων, μητρὸς Χαιρεστράτης. Ἀδελφοὶ δὲ αὐτοῦ Νεοκλῆς, Χαιρέδημος, Ἀριστόβουλος ἢ Ἀριστόδημος. Φιλοσοφίας δὲ ἤρξατο ἀπὸ ἐνιαυτῶν ιβ´ καὶ οἰκείαν αἵρεσιν εἰσηγήσατο, πρῶτον μὲν ἐν Σάμῳ διατρί- 25 ψας σὺν τοῖς γονεῦσιν, εἶτα σχολαρχήσας ἐν Μυτιλήνῃ

26 σχολαρχήσας : cf. *Suda*, Σ 1798

8 οὐ μᾶλλον supplevi ex DL et Φ **14** δὲ addidi conl. DL et Φ 8 **15** ὑποκείμενα scripsi ex DL : ὑπερκείμενα *Suda* | ἀπεφαίνετο : ἐφαίνετο DL **17** ὁ φοῖνιξ τὸ ὄρνεον : ὁ Ἀράβιος φοῖνιξ DL et Φ **23** ἢ Ἀριστόδημος om. DL

ἐνιαυτῶν ὢν λβʹ, εἶτα ἐν Λαμψάκῳ καὶ οὕτως ἐν Ἀθήναις ἐν ἰδίῳ κήπῳ, ἀκούσας δὲ Ναυσιφάνους τοῦ Δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ. Γέγονε δὲ ἐπὶ τῆς ρθʹ Ὀλυμπιάδος μετὰ ἑπτὰ ἐνιαυτοὺς τῆς Πλάτωνος
5 τελευτῆς ...

2480 Κ ρ ο τ ο θ ο ρ ύ β ο υ· "Παιὰν ἄναξ, φίλον Λεοντάριον, οἵου κροτοθορύβου ἡμᾶς ἐνέπλησας †ἀναγνόντι σοι† τὸ ἐπιστόλιον." **5**

986 Τ ρ ι κ ύ λ ι σ τ ο ς· "ἐὰν μὴ ἀφίκησθε, βούλο-
10 μαι τρικύλιστος ὠθεῖσθαι, ὅπου ἂν ὑμεῖς παρακαλῆτε."

3119 Π ύ ε λ ο ς: ... **16**

θερμὴν ἐς πύελον γὰρ †ἐσήλυθε† καὶ ἄκρητον
ἔσπασεν, εἶτ' Ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

2495 Π ε ρ ὶ π ρ ο λ ή ψ ε ω ς· ... Ἐπίκουρος δὲ ὁ **33–34**
15 φιλόσοφος πρόληψιν λέγει οἱονεὶ κατάληψιν ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος, οἷον τὸ "Τοιοῦτόν ἐστιν ἄνθρωπος·" ἅμα γὰρ τῷ ῥηθῆναι "ἄνθρωπος" εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται
20 προηγουμένων τῶν αἰσθήσεων. Παντὶ οὖν ὀνόματι τὸ πρώτως ἐπιτεταγμένον ἐναργές ἐστι. Καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό· οἷον "Τὸ πόρρω ἑστὼς βοῦς ἐστιν ἢ ἵππος·" δεῖ γὰρ κατὰ

12–13 *Anth. Pal.* 7.106.3–4; φ 30

1 ὢν λβʹ Gaisford ex DL 10.14–15 : ὧν ἦν *Suda* **7** ἐνέπλησας *Suda* et Φ 74 : ἐνέπλησε(ν) DL **7–8** ἀναγνόντι σοι *Suda* et DL BP[1]F : ἀναγνόντας σου P[2] et Φ **9** βούλομαι : οἷός τε ... εἰμὶ DL et Φ **10** αὐτὸς τρικύλιστος DL et Φ **12** θερμὴν : χαλκῆν φ | ἐλύληθεν **B**[2] : ἐσήλυθε(ν) *Suda*, DL PF et *Anth.* : ἐληλύθεεν Usener **21** ἐπιτεταγμένον scripsi ex DL et Φ 9 : ἐπιτετευγμένον *Suda* : ὑποτεταγμένων Gassendi **23** βοῦς ἐστιν ἢ ἵππος *Suda* et Φ : ἵππος ἐστὶν ἢ βοῦς DL

πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. Οὐδ' ἂν οὖν ὠνομάσαμέν τι μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. Ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις. Καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται, ἐφ' ὃ ἀναφέροντες λέγομεν, οἷον "Πόθεν ἴσμεν εἰ τοῦτό 5 ἐστιν ἄνθρωπος;" (34) Τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι.

2 οὖν *Suda* : ὃν Φ : om. **G** et DL

3. Pseudo-Hesychii Milesii
De viris illustribus

SIGLA

φ	Vaticanus gr. 96, s. XII medii, f. 19^{r}–29^{v}

Codicis φ apographa

B	Laurentianus gr. 69.37, s. XV
A	Laurentianus gr. 70.14, inter annos 1569 et 1572 a Christofero Rufo conscriptus (cum correctionibus ex DL)

EDITIONES

Sambucus	Ed. pr. Ioannis Sambuci, Antverpiae, 1572
Iunius	Annotationes Hadriani Iunii ap. Sambucum
Stephanus	in Henrici Stephani ed. DL, Genavae, 1593
Meursius	ed. Ioannis Meursii, Lugduni Batavorum, 1613
Orelli	ed. I.C. Orelli, Lipsiae, 1820
Mueller	C. Mueller, *FHG,* IV, pp. 155–177, Parisiis, 1851
Flach	ed. Ioannis Flach, Lipsiae, in aedibus B.G. Teubneri, 1880 (codicem φ non novit)

ΗΣΥΧΙΟΥ ΜΙΛΗΣΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ

f. 19r

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΑΙΔΕΙΑΙ ΔΙΑΛΑΜΨΑΝΤΩΝ ΣΟΦΩΝ

Κυνικὴ ἐκλήθη φιλοσοφία διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ κατάρξασθαι αὐτῆς τὸν Ἀντισθένην· ἡ δὲ Περιπατητικὴ διὰ τὸ ἐν περιπάτῳ, ἤτοι κήπῳ, κατάρξαι αὐτῆς Ἀριστοτέλην.

5 ### 1. Ἀπολλώνιος

Ἀπολλώνιον τὸν Τυανέα κύουσα ἡ μήτηρ δαίμονα ἐθεάσατο λέγοντα ὡς αὐτὸς εἴη ὃν κύει, εἶναι δὲ αὐτὸν Πρωτέα τὸν Αἰγύπτιον· ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν.

10 ### 2. Ἀριστέας

Ἀριστέου τοῦ Προκοννησίου φασὶ τὴν ψυχὴν ἐξιέναι, ὅτε ἐβούλετο, καὶ ἐπανιέναι πάλιν.

3. Αἰσχίνης

Αἰσχίνης ὁ τοῦ ἀλλαντοποιοῦ διεβάλλετο ὑπὸ Μενε-
15 δήμου τοῦ Ἐρετριέως ὡς τοὺς πλείστους διαλόγους ὄντας Σωκράτους ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης·

1–2 *Suda*, 2723 Ἀντισθένης. Cf. DL 6.13 **3–4** *Suda*, 3929 Ἀριστοτέλης. Cf. DL 5.2 **6–9** *Suda*, 3420 Ἀπολλώνιος **11–12** *Suda*, 3900 Ἀριστέας **14–p. 92.11** DL 2.60–62

12 ὅτε **φ** et *Suda* M : ὅταν *Suda* cett.

ὧν οἱ καλούμενοι ἀκέφαλοι σφόδρα εἰσὶν ἐκλελυμένοι καὶ οὐκ ἐπιφαίνοντες τὴν Σωκρατικὴν εὐτονίαν. Τοῦτόν φασι δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ Αριστίππου συσταθῆναι· δόντα τέ τινας τῶν <δια>λόγων δῶρα λαβεῖν. Ἔπειτ' ἀφικόμενον Ἀθήναζε μὴ τολμᾶν σοφιστεύειν, ἐνευδοκιμούντων τότε τῶν περὶ Πλάτωνα· ἐμμίσθους δὲ τὰς ἀκροάσεις ποιεῖσθαι. Τούτου τοὺς διαλόγους καὶ Ἀρίστιππος ὑπώπτευεν. Ἐν γοῦν Μεγάροις ἀναγινώσκοντος αὐτοῦ φασι σκῶψαι εἰπόντα· "Πόθεν σοι, ληστά, ταῦτα;"

4. Ἀρίστιππος

Ἀρίστιππος ὁ Κυρηναῖος τὰς ἡδονὰς μὲν μετεδίωκε, πόνῳ δὲ οὐδεμίαν ἀπόλαυσιν ἐθήρα τῶν οὐ παρόντων. Ὅθεν ὁ Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. Οὗτος ἐρωτηθεὶς τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη· "Ἂν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν." Ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῷτο, ἀλλ' ἵν' ἐκεῖνοι εἰδεῖεν εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. Πρὸς τὸν αἰτιώμενον ὅτι Σωκράτους ὢν μαθητὴς ἀργύριον λαμβάνει, "Καὶ μάλα," εἶπε· "καὶ γὰρ Σωκράτη, πεμπόντων τινῶν αὐτῷ καὶ σῖτον καὶ οἶνον, ὀλίγα

2–5 cf. *Suda*, 1684 Σύστασις **13–15** DL 2.66; *Suda*, 3908 Ἀρίστιππος **15** Οὗτος – **17** βιώσομεν DL 2.68 **17** Ἀργύριον – **20** ἀργυρίοις DL 2.72 **20** Πρὸς – **p. 93.4** χρῆσθαι DL 2.74–75

5 λόγων **φ**, ex DL corr. **A** **7** εὐδοκιμούντων DL **7** τῶν περὶ Πλάτωνα καὶ Ἀρίστιππον DL **13** τὰς ἡδονὰς μὲν μετεδίωκε **φ** : Ἀπέλαυε μὲν γὰρ ἡδονῆς (FP[2]) τῶν παρόντων DL : Καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε *Suda*

λαμβάνοντα τὰ λοιπὰ ἀποπέμπειν." Εὐτυχίδῃ δὲ τῷ ἀργυρωνήτῳ ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ. Πρὸς οὖν τοὺς μεμφομένους ἔφη· ""Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι· ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆ-
5 σθαι." Ἐρωτηθεὶς τίνα ἐστὶν ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη· "Οἷς ἄνδρες γενόμενοι χρήσονται." Τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.

5. Ἀλεξῖνος

10 Ἀλεξῖνος ὁ Ἠλεῖος διὰ τὸ φιλονεικότατος εἶναι Ἐλεγξῖνος ἐπεκλήθη. Τοῦτόν φασιν ὡς ἐκ τῆς Ἤλιδος ἀπελθὼν ἐν Ὀλυμπίᾳ φιλοσοφοίη. Τῶν δὲ μαθητῶν αὐτοῦ πυνθανομένων διὰ τί τῇδε κατοικεῖ, φάναι βούλεσθαι | αἵρεσιν συστήσασθαι ἣν Ὀλυμπιακὴν κληθή- f. 19v
15 σεσθαι. Τοὺς δὲ καὶ ἐφοδίοις θλιβομένους καὶ τὸ χωρίον νοσερὸν καταγνόντας ἀπελθεῖν, καὶ τοῦ λοιποῦ διατρίβειν Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ· ἔπειτα μέντοι νηχόμενον ἐν τῷ Ἀλφειῷ νυχθῆναι καλάμῳ καὶ τελευτῆσαι. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

20 Οὐκ ἆρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος
ὡς ἀτυχής τις ἐὼν
τὸν πόδα κολυμβῶν περιέπειρέ πως ἥλῳ.
Καὶ γὰρ ὁ σεμνὸς ἀνήρ,
πρὶν Ἀλφεόν ποτ' ἐκπερᾶν, Ἀλεξῖνος
25 θνῄσκει νυχθεὶς καλάμῳ.

5 Ἐρωτηθεὶς – **6** χρήσονται DL 2.80 **6** Τέλος – **7** DL 2.85 **10–18** τελευτῆσαι DL 2.109 **20–25** DL 2.110 = *App. A. Pal.* 3.129 Cougny

14 Ὀλυμπικὴν DL **17** ἔρημον τὸν Ἀλεξῖνον DL **18** καὶ οὕτω τελευτῆσαι DL **20** ἄρα φ **24** ἐκπερῶν φ **25** θνήσκει νυχθεὶς φ : θνῆσκε νυγεὶς DL B

6. Ἀριστοτέλης

Ἀριστοτέλην τὸν Σταγειρίτην φασὶ παιᾶνα εἰς τὸν θλαδίαν Ἑρμείαν ποιήσαντα, ὃς ἦν αὐτοῦ πενθερός, κατακριθῆναι πιεῖν ἀκόνιτον καὶ ἀποθανεῖν.

(28) Οὗτος βούλεται διττὸν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν πρακτικόν, τὸν δὲ θεωρητικόν· καὶ τοῦ πρακτικοῦ τό⟨ν⟩ τε ἠθικὸν καὶ πολιτικόν, οὗ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον γεγράφθαι, τοῦ δὲ θεωρητικοῦ τόν τε φυσικὸν καὶ λογικόν, οὗ τὸ λογικὸν οὐχ ὁλομερῶς, ἀλλ' ὡς ὄργανον προσηκριβωμένον. Καὶ τούτου διττοὺς ὑποθέμενος σκοποὺς τό τε πιθανὸν καὶ τὸ ἀληθὲς διεσάφησε. Δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο, διαλεκτικῇ μὲν καὶ ῥητορικῇ πρὸς τὸ πιθανόν, ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ πρὸς τὸ ἀληθές, οὐδὲν ὑπολιπόμενος οὔτε τῶν πρὸς εὕρεσιν, οὔτε τῶν πρὸς κρίσιν, οὔτε μὴν τῶν πρὸς χρῆσιν. (29) Πρὸς μὲν οὖν τὴν εὕρεσιν τά τε Ὀπτικὰ καὶ Μεθοδικὰ παρέδωκε προτάσεων πλῆθος, ἐξ ὧν πρὸς τὰ προβλήματα πιθανῶν ἐπιχειρημάτων οἷόν τε εὐπορεῖν· πρὸς δὲ τὴν κρίσιν τὰ Ἀναλυτικὰ πρότερα καὶ ὕστερα. Διὰ μὲν οὖν τῶν προτέρων τὰ λήμματα κρίνεται, διὰ δὲ τῶν ὑστέρων ἡ συναγωγὴ ἐξετάζεται. Πρὸς δὲ τὴν χρῆσιν τά τε ἀγωνιστικὰ καὶ τὰ περὶ ἐρωτήσεως, ἐριστικά τε καὶ σοφιστικῶν ἐλέγχων τε καὶ συλλογισμῶν καὶ τῶν ὁμοίων τούτοις. Κριτήριον δὲ τῆς ἀληθείας τῶν μὲν κατὰ φαντασίαν ἐνεργημάτων τὴν αἴσθησιν ἀπεφήνατο, τῶν

2–4 cf. *Suda*, 3929 Ἀριστοτέλης; DL 5.4 **5** Οὗτος βούλεται – **96.24** DL 5.28–34

7 τό⟨ν⟩ **A** : τό **φ** **8** γεγράφθαι **φ** : ⟨ὑπο⟩γεγράφθαι **A** ex DL **14** ὑπολιπόμενος **φ** : ὑπολειπόμενος **B**, Sambucus, DL P^2F^2 **17** ὀπτικὰ **φ** et DL : τοπικὰ **A**, Stephanus

δὲ ἠθικῶν, τὰ περὶ πόλιν καὶ περὶ οἶκον καὶ περὶ νόμους, τὸν νοῦν.

(30) Τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ. Ἔφη δὲ τὴν εὐδαιμονίαν συμπλήρωμα ἐκ τριῶν
5 ἀγαθῶν εἶναι· τῶν περὶ ψυχήν, ἃ δὴ καὶ πρῶτα τῇ δυνάμει καλεῖ· ἐκ δευτέρων δὲ τῶν περὶ σῶμα, ὑγείας καὶ ἰσχύος καὶ κάλλους καὶ τῶν παραπλησίων· τῶν δὲ ἐκτός, πλούτου καὶ εὐγενείας καὶ δόξης καὶ τῶν ὁμοίων. Τὴν δὲ ἀρετὴν μὴ εἶναι αὐτάρκη πρὸς εὐδαιμονίαν· προσ-
10 δεῖσθαι γὰρ τῶν τε περὶ σῶμα καὶ τῶν ἐκτὸς ἀγαθῶν, κακοδαιμονήσοντος τοῦ σοφοῦ κἂν ἐν πόνοις ᾖ, κἂν ἐν πενίᾳ καὶ τοῖς ὁμοίοις. Τὴν μέντοι κακίαν αὐτάρκη πρὸς κακοδαιμονίαν, κἂν ὅτι μάλιστα παρῇ αὐτῇ τὰ ἐκτὸς ἀγαθὰ | καὶ τὰ περὶ τὸ σῶμα. (31) Τάς τε ἀρετὰς ἔφη μὴ f. 20r
15 ἀντακολουθεῖν· ἐνδέχεσθαι γὰρ φρόνιμόν τινα καὶ δίκαιον ὄντα ἀκόλαστον καὶ ἀκρατῆ εἶναι. Ἔφη τὸν σοφὸν μὴ εἶναι μὲν ἀπαθῆ, μετριοπαθῆ δέ.

Τήν τε φιλίαν ὡρίσατο ἰσότητα εὐνοίας ἀντίστροφον· ταύτης δὲ τὴν μὲν εἶναι ξενικήν, ⟨τὴν δὲ ἐρωτικήν,⟩ τὴν
20 δὲ συγγενικήν. Εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον συνουσίας, ἀλλὰ καὶ φιλοσοφίας. Καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν καὶ πολιτεύσεσθαι, γαμήσειν τε καὶ βασιλεῖ συμβιῶσαι. Βίων τε τριῶν ὄντων, θεωρητικοῦ, ἡδονικοῦ, πρακτικοῦ, τὸν θεωρητικὸν ἐνέκρινεν. Εὔχρηστα δὲ καὶ
25 τὰ ἐγκύκλια μαθήματα πρὸς ἀρετῆς ἀνάληψιν.

(32) Ἔν τε τοῖς φυσικοῖς αἰτι⟨ολογ⟩ώτατος παρὰ πάντας ἐγένετο, ὥστε καὶ περὶ τῶν ἐλαχίστων αἰτίας ἀποδιδόναι. Τὸν θεὸν ἀσώματον ἀπέφαινεν, ὡς ὁ Πλάτων·

1 τὰ φ et DL BPF : τῶν DL D **15** καὶ ὁμοίως δίκαιον DL **18** ὡρίζετο DL **19** τὴν δὲ ἐρωτικὴν om. φ, ex DL add. Iunius **22** συμβιῶσαι φ et DL : συμβιώσειν Stephanus **24** ἐνέκρινεν φ et DL : προέκρινεν Iunius ex *Frob.* **26** αἰτι⟨ολογ⟩ώτατος A ex DL BPF : αἰτιώτατος φ

διατείνειν δὲ αὐτοῦ τὴν πρόνοιαν μέχρι τῶν οὐρανίων, καὶ εἶναι ἀκίνητον αὐτόν, τὰ δὲ ἐπίγεια κατὰ τὴν πρὸς ταῦτα συμπάθειαν κινεῖσθαι. Εἶναι δὲ παρὰ τὰ τέσσαρα στοιχεῖα καὶ ἄλλο πέμπτον, ἐξ οὗ τὰ αἰθέρια συνεστάναι· ἀλλοίαν δὲ αὐτοῦ τὴν κίνησιν εἶναι· κυκλοφορητικὴν 5 γάρ.

Καὶ τὴν ψυχὴν ἀσώματον, ἐντελέχειαν οὖσαν τὴν πρώτην· σώματος γὰρ φυσικοῦ καὶ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. (33) Διττὴ δ' ἐστὶν αὕτη κατ' αὐτόν. Λέγει δὲ τὴν ἐντελέχειαν ἧς ἐστιν εἶδός τι ἀσώματον. Ἡ μὲν 10 κατὰ δύναμιν, ὡς ἐν τῷ κηρῷ ὁ Ἑρμῆς ἐπιτηδειότητα ἔχων ἐπιδέξασθαι τοὺς χαρακτῆρας, καὶ ὁ ἐν τῷ χαλκῷ ἀνδριάς· καθ' ἕξιν δὲ λέγεται ἐντελέχεια ἡ τοῦ συντετελεσμένου Ἑρμοῦ ⟨ἢ⟩ ἀνδριάντος. Σώματος δὲ φυσικοῦ, ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι χειρόκμητα, ὡς τὰ ὑπὸ 15 τεχνιτῶν γινόμενα, οἷον πύργος, πλοῖον· τὰ δὲ ὑπὸ φύσεως, ὡς φυτὰ καὶ τὰ τῶν ζῴων. Ὀργανικοῦ δὲ εἶπε, τουτέστι πρός τι κατεσκευασμένου, ὡς ἡ ὅρασις πρὸς τὸ ὁρᾶν καὶ ἡ ἀκοὴ πρὸς τὸ ἀκούειν· δυνάμει δὲ ζωὴν ἔχοντος, οἷον ἐν αὐτῷ. 20

(34) Τὸ δυνάμει δὲ ἧττον ἢ κατὰ ἐνέργειαν· κατὰ ἐνέργειαν μέν, ὡς ὁ ἐγρηγορὼς λέγεται ψυχὴν ἔχειν· κατὰ ἕξιν δέ, ὡς ὁ καθεύδων. Ἵν' οὖν καὶ οὗτος ὑποπίπτῃ, τὸ δυνάμει προσέθηκεν.

3 κινεῖσθαι **φ** : οἰκονομεῖσθαι **A** ex DL **8** γὰρ **φ** et DL : recte secl. Bywater **11** ὁ Ἑρμῆς **A** et Iunius ex DL : θέρμης **φ** **12** ἔχων **B** et DL PF : ἔχον **φ** : ἔχοντι DL B **14** ἢ om. **φ**, ex DL add. **A** **20** αὐτῷ **A** ex DL D : αὑτῶ **φ** **21** ἧττον **φ** et DL PF : διττόν DL B | post ἧττον add. DL B ἢ καθ' ἕξιν : addendum Mueller : om. **φ** et DL PF

7. Ἀντισθένης

Ἀντισθένης ὁ κυνικὸς Ἁπλοκύων ἐπεκαλεῖτο. Διογένης δὲ Λαέρτιος σκώπτει αὐτὸν ὡς φιλόζωον ἐν ἐπιγράμματι οὕτως ἔχοντι·

5 Τὸν βίον ἦσθα κύων, Ἀντίσθενες, ὧδε πεφυκώς,
ὥστε δακεῖν κραδίην ῥήμασιν, οὐ στόμασι.
⟨*⟩ Τί δὲ τοῦτο;
Πάντως εἰς Ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν.

Ἤρεσκε δὲ αὐτῷ τάδε· διδακτὴν ἀπεδείκνυ τὴν ἀρετήν·
10 τῶν ἔργων τε εἶναι αὐτήν, μήτε λόγων | πλείστων δεομένην, μήτε μαθημάτων. Αὐτάρκη τε εἶναι τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων. Τήν τε ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ. Καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς
15 ἀρετῆς. Γαμήσειν τε τεκνοποιΐας χάριν, ταῖς εὐφυεστάταις συνιόντα γυναιξί· καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν τίνων δεῖ ἐρᾶν. (f. 20v)

Τῷ σοφῷ ξένον οὐδέν. Ἀξιέραστος ὁ ἀγαθός. Οἱ σπουδαῖοι φίλοι. Συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους
20 ἅμα καὶ δικαίους. Ἀναφαίρετον ὅπλον ἀρετή. Κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους μάχεσθαι. Προσέχειν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται.

2 DL 6.13 **2 – 8** ἔχειν DL 6.19 **5–8** *A. Pal.* 7.115 **9** Ἤρεσκε – τὴν ἀρετήν DL 6.10 **10** τῶν ἔργων – **17** ἐρᾶν DL 6.11 **18** Τῷ σοφῷ – **p. 98.3** ξενικά DL 6.12

7 ante Τί δὲ τοῦτο lacunam indicavi : Ἀλλ' ἔθανες φθισικός, τάχ' ἐρεῖ τις ἴσως· ex DL add. **A** **14** πολιτεύσεσθαι DL **17** δεῖ **φ** : χρὴ DL **22** post ὀλίγους addit ἀγαθοὺς Mueller (post Scaligerum in DL) : om. **φ** et DL

Τὸν δίκαιον περὶ πλείον⟨ος⟩ ποιεῖσθαι τοῦ συγγενοῦς. Ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. Τὰ ἀγαθὰ καλά, τὰ κακὰ αἰσχρά. Τὰ πονηρὰ πάντα νόμιζε ξενικά. Τεῖχος ἀσφαλέστατον φρόνησιν· μήτε γὰρ καταρρεῖν, μήτε προδίδοσθαι. Τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς. 5

8. Ἀρκεσίλαος

Οὗτος πρὸς τὸν θρασύτερον διαλεγόμενον νεανίσκον, "Οὐ λήψεταί τις," ἔφη, "τοῦτον ἀστραγαλωτῇ;" Πρὸς τὸν αἰτίαν ἔχοντα περαίνεσθαι, ὡς ἀνήνεγκεν αὐτῷ ὅτι οὐ 10 δοκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι, ἠρώτησεν εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου. Πρὸς Ἀλεξίνειόν τινα διαλεκτικὸν μὴ δυνάμενον κατ' ἀξίαν τῶν Ἀλεξίνου τι διηγήσασθαι τὸ Φιλοξένῳ πρὸς τοὺς πλινθιακοὺς πραχθὲν εἶπεν· ἐκεῖνος γὰρ τὰ αὑτοῦ κακῶς ᾄδοντας τούτους 15 καταλαβὼν αὐτὸς τὰς πλίνθους αὐτῶν συνεπάτησεν, εἰπών· "Ὡς ὑμεῖς τὰ ἐμὰ διαφθείρετε, κἀγὼ τὰ ὑμέτερα."

Ἦν δὲ εὑρεσιλογώτατος ἀπαντῆσαι εὐστόχως, πειστικώτατός τε ὑπὲρ ὁντινοῦν· παρὸ καὶ πλείους πρὸς αὐτὸν ἀπήντων εἰς τὴν σχολήν, καίπερ ὑπ' ὀξύτητος αὐτοῦ 20 ἐπιπληττόμενοι. Ἀλλ' ὅμως ἔφερον ἡδέως· καὶ γὰρ ἦν ἀγαθὸς σφόδρα καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας. Ἔν τε τῷ βίῳ κοινωνικώτατος ἦν, καὶ εὐεργετῆσαι προχειρότατος, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος. Εἰσελθὼν

3 Τεῖχος – **6** DL 6.13 **8 – 12** ἑξαδακτύλου DL 4.34 **12** Πρὸς Ἀλεξίνειον – **17** τὰ ὑμέτερα DL 4.36 **18** Ἦν δὲ – **p. 99.3** τὸ παίγνιον DL 4.37

1 πλείον⟨ος⟩ **A** ex DL : πλεῖον **φ** **9** ἀστραγαλωτῇ (sc. μάστιγι) Iunius : ἀστραγαλωτί **φ** : ἀστραγάλῳ DL **12** ἀλεξίνιον **φ** **15** αὐτοῦ **φ** **18** πειστικός DL **21** ὅμως om. DL **23** πρόχειρος DL

γοῦν ποτε παρὰ Κτησίβιον νοσοῦντα καὶ ἰδὼν ἀπορίᾳ
θλιβόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφα-
λαίῳ· καὶ ὃς εὑρών, "Ἀρκεσιλάου," ἔφη, "τὸ παίγνιον."
Καί τινος ἀργυρώματα λαβόντος εἰς ὑποδοχὴν φίλων
5 καὶ ἀποστεροῦντος, οὐκ ἀπῄτησεν οὐδὲ προσεποιήσατο.
Οἱ δέ φασιν ἐπίτηδες χρῆσαι καὶ ἀποδιδόντος, | ἐπεὶ πένης f. 21r
ἦν, χαρίσασθαι. Οὐκ ἐθεράπευε δέ τινα τῶν βασιλέων·
διὸ καὶ πρεσβεύων πρὸς Ἀντίγονον ὑπὲρ τῆς πατρίδος
οὐκ ἐπέτυχεν. Ἦν δὲ φιλομειράκιος καὶ καταφερὴς καὶ
10 ἑταίραις συνῴκει. Καί ποτε τὸν ἐρώμενον αὐτῷ Δημοχά-
ρει ὁμιλοῦντα καταλαβὼν ὑπ' ἀνεξικακίας παραχωρεῖν
ἔφη.

Πρὸς Ἀρίδηλον προτείνοντά τι θεώρημα ἐπὶ συμ-
ποσίου καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν εἶπεν· "Ἀλλ' αὐτὸ
15 τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων
ἐπίστασθαι." Τίμων δὲ ὡς φίλοχλον παίζει λέγων·

Ὣς εἰπὼν ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
Οἱ δέ μιν ἠΰτε γλαῦκα πέρι †σπιζα† τερατοῦντο
ἠλέματον δεικνύντες, ὀθούνεκεν ὄχλῳ ἀρέσκεις.
20 Οὐ μέγα πρῆγμα, τάλας· τί πλατύνεαι, ἠλίθιος ὥς;

Οὕτω δὲ ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς παρῄνει καὶ
ἄλλων ἀκούειν.

4 Καί τινος – **7** χαρίσασθαι DL 4.38 **7** Οὐκ – **9** οὐκ ἐπέτυχεν cf. DL 4.39 **9** Ἦν δὲ – **12** ἔφη DL 4.40–41 **13** Πρὸς Ἀρίδηλον – **22** DL 4.42 **17–20** Timon. B 34 Diels = *Suppl. Hell.* 808

1 παρὰ φ : πρὸς DL **8** διὸ φ : ἀλλ' οὖν ὅμως DL **13–14** ἐπὶ συμποσίου om. DL **18** περισπιζατερατοῦντο φ | σπιζα BPF[2] : σπίζα⟨ι⟩ Casaubon **19** ὅθ' οὕνεκα φ, ex DL corr. Mueller | ὄχλῳ ἀρέσκεις Iunius ex DL BF : ὄχλω ἄρεσκ' εἰς φ : ὀχλοαρέσκης DL P[1] : ὀχλοάρεσκος D

9. Ἀρχύτας

Ἀρχύτας ὁ Πυθαγορικὸς στρατηγῶν τῶν πολιτῶν οὐδέποτε ἡττήθη, φθονηθεὶς δ' ἅπαξ ἀφῆκε τὴν στρατηγίαν, καὶ οἳ αὐτίκα ἐλήφθησαν.

10. Ἀρχύτας

5

Ὁ μουσικὸς Ἀρχύτας ὀνειδιζόμενος ἐπὶ τῷ μὴ ἐξακούεσθαι, εἶπε· "Τὸ γὰρ ὄργανον ὑπ⟨ὲρ⟩ ἐμοῦ διαγωνιζόμενον λαλεῖ."

11. Ἀνάξαρχος

Ἀνάξαρχος ὁ Ἀβδηρίτης ἔλεγε μηδὲ αὐτὸ τοῦτο 10
εἰδέναι ὅτι οὐδὲν οἶδεν.

12. Αἴσωπος

Αἴσωπος, οὐχ ὁ μυθοποιός, ἔγραψε περὶ Ἑλένης, ἔνθα φησὶ πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη· ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, 15
ποιεῖ δὲ πρὸς φίλτρα.

13. Βίων

Βίων ὁ Βορυσθενίτης ἔλεγε μὴ εἶναι θεούς· διὸ καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

> Βίωνα, τὸν †Βορυσθενίτην ἔφησεν ἡ Σκύθισα,† 20
> λέγειν ἀκούομεν θεοὺς ὡς οὐδέν εἰσιν ὄντως.

2–4 cf. DL 8.82 **6–8** DL 8.82 **10–11** DL 9.58 **13–16** *Suda,* 333 Αἴσωπος **20–p. 101.16** DL 4.55–57 = *App. A. Pal.* 5.37 Cougny

2 τῶν πολιτῶν om. DL **4** ἐλείφθησαν **φ** **7** ὑπ' **φ**, ex DL corr. Iunius **20** βορυσθενίτην ἔφησεν ἡ σκύθισα **φ** = DL BP[1] : Βορυσθένης ἔφυσε γῆ Σκύθισσα Cobet

Κεὶ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμιμνεν, ἦν ἂν εἰκὸς
λέγειν· Φρονεῖν ὅπως δοκεῖ· κακῶς μέν, ἀλλ' ἔδοξε.
Νῦν δ' εἰς νόσον πεσὼν μακρὴν καὶ μὴ θάνῃ δεδοικὼς
ὁ μὴ θεοὺς εἶναι λέγων, ὁ νηὸν οὐδὲ βλέψας,
5 ὁ πολλὰ χλευάσας βροτούς, †οἳ† θεοῖς ἔθυον,
οὐ μοῦνον ἐσχάρης ὕπερ βωμῶν τε ⟨*⟩
κνίσσῃ, λίπει, †θυηλήμασι† θεῶν †ἔδισε† ῥῖνας·
οὐδ' εἶπε μοῦνον· Ἤλιτον, σύγγνωτε τοῖς πρίν· ἀλλὰ
καὶ γραῒ δῶκεν εὐμαρῶς τράχηλον εἰς ἐπῳδήν,
10 καὶ σκυτίσιν βραχίονας πεπεισμένως ἔδησε,
ῥάμνον τε καὶ κλάδον δάφνης ὑπὲρ θύρην ἔθηκεν,
ἅπαντα μᾶλλον ἢ θανεῖν ἕτοιμος ὢν ὑπουργεῖν.
Μωρὸς δ' ὃς ἤθελέν τινος μισθοῦ τὸ θεῖον εἶναι,
ὡς τῶν θεῶν ὄντων ὅταν Βίων θέλῃ νομίζειν.
15 Τοιγὰρ μάτην φρονῶν, ὅτ' ἦν ἅπας ὁ λέμβος | ἄνθραξ, f. 21v
τὴν δὲ χεῖρα τείνας ὧδέ πως, Χαῖρ', εἶπε, χαῖρε, Πλουτεῦ.

14. Βίων

Βίων ἄλλος Ἀβδηρίτης ἔγραψεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ϛʹ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

20 ## 15. Γενέθλιος

Γενέθλιος ὁ Παλαιστῖνος ἐν ἀκροάσει μιᾷ μελέτην ὅλην ἀπεμνημόνευσε.

18–19 DL 4.58 **21–22** *Suda*, 132 Γενέθλιος

4 ονηουν **φ** = DL BP[1] **5** οἳ **φ** = DL : ὅσοι Cobet **6** μοῦνον scripsi ex DL : μόνον **φ** | ὑπὲρ **φ** | βωμῶν τε καὶ τραπέζης **A** ex DL **7** θυηλήμασι **φ** : θυλήμασιν DL BP[1] : θυήμασιν Iunius ex DL F | ἔδισε **φ** : ἔδησε DL F : ἔδαισε Iunius ex DL P[2] (B) **10** σκυτίσι **φ** | πεπεισμένος **φ**, ex DL corr. Casaubon **13** ἤθελε **φ** **15** οτηναπασσόλεμβος **φ** **16** δὲ **φ** = DL, del. Stephanus **21** παλαιστηνὸς **φ** | μιᾶ **φ** : om. *Suda* : ἐν ⟨αʹ⟩ ἀκροάσει Meursius

16. Δαφίδας

Δαφίδας ὁ Τελμισσεὺς πᾶσιν ἐλοιδορεῖτο, μηδὲ αὐτῶν φειδόμενος τῶν θεῶν· διὸ καὶ ἐχθρὸς ἦν Ἀττάλῳ τῷ βασιλεῖ Περγάμου. Οὗτος ἐλθών ποτε εἰς Πυθίαν ἔσκωπτεν εἰς τὸ μαντεῖον καὶ ἐπεγγελῶν ἐρώτα, εἰ τὸν 5 ἵππον εὑρήσοι. Ἔχρησε δὲ αὐτῷ εὑρήσειν ταχέως. Ἐκεῖνος δὲ διεθρύλησε τοῦτο, ὡς οὐδὲ ἦν αὐτῷ ἵππος, οὐδὲ ἀπώλετο. Ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐκέλευσε κρημνισθῆναι. Ὁ δὲ τόπος, ἐν ᾧ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος. Καὶ ἔγνω πρὸς τῷ θανάτῳ, μὴ ἐψεῦσθαι 10 τὸ λόγιον.

17. Διαγόρας

Διαγόραν τὸν Τηλεκλείδου εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν καὶ μαθητὴν ἐποιήσατο. Ὁ δὲ τῇ λυρικῇ 15 ἐπέθετο. Ἐπεκλήθη δὲ Ἄθεος, ὅτι ⟨τοῦτο ἐδόξαζεν ἀφ' οὗ⟩ ὁμότεχνός τις αἰτιαθεὶς ὑπ' αὐτοῦ ὡς δὴ παιᾶνα ὑφελόμενος, ὃν αὐτὸς ἐποίησεν, ἐξωμόσατο μὴ κεκλοφέναι αὐτόν, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. Ἐντεῦθεν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς Ἀπο- 20 πυργίζοντας λόγους, ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης.

2–11 *Suda*, 99 Δαφίδας **13–22** *Suda*, 523 Διαγόρας

2 πᾶσιν φ : παντὶ *Suda* 5 ἐπεγγελῶν φ : ἐπιγελῶν Iunius e *Suda* 6 εὑρήσοι φ : εὑρήσει *Suda* 7 διεθρύλλησε φ 9 ἐκέλευσε φ : ἐπέταξε *Suda* | κατακρημνισθῆναι *Suda* 15 ὁ δὲ καὶ τῇ *Suda* 16–17 τοῦτο ἐδόξαζεν ἀφ' οὗ supplevi e *Suda* 17 ἀφελόμενος *Suda* 20 τοὺς καλουμένους Ἀποπυργίζοντας Suda : om. καλουμένους φ et *Suda* VM 21 ἔκπτωσιν φ et *Suda* VM : ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν *Suda*

18. Διόδωρος

Διόδωρος Ἰασεύς, ὁ Κρόνος ἐπίκλην, διαλεκτικός· ὃς πρῶτος ἔδοξεν εὑρεῖν τὸν κερατίνην καὶ τὸν ἐγκεκαλυμμένον ⟨λόγον. Οὗτος⟩ παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι
5 διατρίβων λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπνωνος· καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει. (112) Ἐξελθὼν δὲ τοῦ συμποσίου καὶ λόγον γράψας περὶ τοῦ προβλήματος,
10 ἀθυμίᾳ τὸν βίον κατέστρεψε. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

Κρόνε Διόδωρε, τίς σε δαιμόνων κακῇ
ἀθυμίῃ ξυνείρυσεν,
ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς Τάρταρον
15 Στίλπνωνος οὐ λύσας ἔπη
αἰνιγματώδη; Τοιγὰρ εὑρέθης Κρόνος
ἔξωθε τοῦ ῥῶ κάππα τε.

(111) Περὶ τούτου φησὶ Καλλίμαχος ἐν Ἐπιγράμμασιν·

αὐτὸς ὁ Μῶμος
20 ἔγραφεν ἐν τοίχοις· Ὁ Κρόνος ἐστὶ σοφός.

19. Δημήτριος

Δημήτριος ὁ Φαληρεὺς τοσοῦτον ἦν εὐπρεπής, ὡς ὑπό τινων προσαγορευθῆναι Λαμπετὼ καὶ Χαριτοβλέφαρος.

2–20 DL 2.111–112 **12–17** *App. A. Pal.* 7.19 Cougny **19–20** Callim. Fr. 393 Pfeiffer **22–23** *Suda,* 429 Δημήτριος (cf. DL 5.76)

4 λόγον ex DL add. Mueller et Οὗτος addidi ex DL **6** στίλπνωνος hic et ubique **φ** **7** καὶ δὴ καὶ DL **17** ἔξωθεν **φ** **20** ἔγραφεν Iunius ex DL : ἔγραψεν **φ**

20. Δημήτριος

Δημήτριός τις ἕτερος Ἰξίων ἐπεκλήθη, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη.

21. Δίδυμος 5

f. 22r Δίδυμος ὁ | Ἀλεξανδρεὺς διὰ τὴν πρὸς τὰ βιβλία ἐπιμονὴν Χαλκέντερος ἐπεκλήθη· φασὶ δὲ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία.

22. Δράκων

Δράκων ὁ νομοθέτης εἰς Αἴγιναν ἐπὶ νομοθεσίαις 10 εὐφημούμενος ὑπὸ τῶν Αἰγινητῶν, ἐν τῷ θεάτρῳ ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας καὶ χιτῶνας, ἀπεπνίγη.

23. Δημόκριτος

Δημόκριτος ἤσκει ποικίλως δοκιμάζειν τὰς φαντα- 15 σίας, ἐρημάζων ἐνίοτε καὶ τοῖς τάφοις ἐνδιατρίβων. Οὗτος νειμάμενος τὴν οὐσίαν τοῖν ἀδελφοῖν καὶ τὴν ἐλάττω μοῖραν ἑλόμενος, τοῖς Γυμνοσοφισταῖς συνέμιξε καὶ εἰς Ἰνδίαν ἀπῆρε καὶ Αἰθιοπίαν. ⟨Ἐπαν⟩ελθὼν δὲ

2–4 *Suda*, 430 Δημήτριος **6–8** *Suda*, 872 Δίδυμος **10–13** *Suda*, 1495 Δράκων **15–16** DL 9.38 **17** Οὗτος – **19** Αἰθιοπίαν DL 9.35 **19** ⟨Ἐπαν⟩ελθὼν – **p. 105.4** ἠξιώθη DL 9.39

6 πρὸς φ : περὶ *Suda* **7** δὲ φ : γὰρ *Suda* **12–13** καὶ χιτῶνας καὶ ἱμάτια *Suda* **17** τοῖν ἀδελφοῖν scripsi conlato DL (τρίτον τε ὄντα ἀδελφὸν νείμασθαι τὴν οὐσίαν) : τῶ ἀδελφῶ φ **19** ⟨Ἐπαν⟩ελθὼν coni. Orelli : ἐλθὼν φ : Ἐλθόντα ... αὐτὸν ἐκ τῆς ἀποδημίας DL

ταπεινότατα διῆγεν, ἅτε τὴν πᾶσαν οὐσίαν καταναλωκώς, ἐτρέφετό τε διὰ τὴν ἀπορίαν ὑπὸ τοῦ ἀδελφοῦ Δαμάσου. Ὡς δὲ προειπών τινα τῶν μελλόντων ηὐδοκίμησεν, ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη.

5 (44) Ἐδόκει δὲ αὐτῷ ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους καὶ κενόν, τὰ δ' ἄλλα πάντα νενομίσθαι· ἀπείρους τε εἶναι κόσμους καὶ γενητοὺς καὶ φθαρτούς. Μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μηδὲν ὂν φθείρεσθαι. Καὶ τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, 10 φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. Καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν. Εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. Τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων †δι' ὧν† καὶ περιφερῶν ὄγκων 15 συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως· ἣν καὶ νοῦν ταὐτὸν εἶναι. Ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις.

(45) Πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. Τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς 20 ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δὲ αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι. †Ποιητὰ δὲ νόμιμα† εἶναι, φύσει δὲ ἄτομα καὶ κενόν.

5 Ἐδόκει – **24** DL 9.44–45 **7** Μηδέν – **13** στερρότητα et **17** Πάντα – **18** λέγει *Suda*, 1827 Ἀναγκαῖον **18** Τέλος – **23** ὀνόμασι *Suda*, 3446 Εὐεστώ

2 ὑπὸ φ : ἀπὸ DL | τῆς ἀδελφῆς φ : ex DL (τἀδελφοῦ) corr. Iunius, Meursius **4** λοιπὸν ἐνθέου DL **8** μηδὲν φ et *Suda* M : μὴ δὲ DL BP[1] (*Suda*) : μὴ DL F **14** δι' ὧν φ (fuit δινῶν Stephanus) : δινῶν DL F : λείων DL B[2]P[1] **19** οὐσίαν φ, corr. **A** **21** ταραττομένη φ et DL : τυραννουμένη *Suda* **23–24** ποιητὰ δὲ νόμιμα φ et DL : ποιότητας δὲ νόμῳ Zeller

24. Διογένης

Διογένης ὁ Ἀπολλωνιάτης ἔλεγε στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους καὶ κενὸν ἄπειρον· τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων. Οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. Τὴν γῆν στρογγύλην, ἐρηρεισμένην ἐν τῷ μέσῳ, τὴν | σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ. 5 f. 22ᵛ

25. Ἐπιμενίδης

Ἐπιμενίδου τοῦ Κρητὸς λόγος ὡς ἐξήρχετο ἡ ψυχή, ὅτε ἠβούλετο καὶ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν ἐπανήρχετο. Τελευτήσαντος δὲ αὐτοῦ τὸ δέρμα εὑρέθη γράμμασι κατάστικτον. 10

26. Ἑρμογένης

Ἑρμογένης ὁ ῥήτωρ τελευτήσας ἀνετμήθη καὶ εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα. 15

27. Ἐρατοσθένης

Ἐρατοσθένης διὰ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίζων Βῆτα ⟨ἐπ⟩εκλήθη. 20

2–8 DL 9.57 **10–13** *Suda*, 2471 Ἐπιμενίδης **15–17** *Suda*, 3046 Ἑρμογένης s.f. **19–20** *Suda*, 2898 Ἐρατοσθένης

6 ἐρηρεισμένην φ et DL P[4] : ἐρεισμένην DL BP[1] F **7** εἰληφυῖαν φ et DL BP : ἐσχηκυῖαν DL F **10** ἐξήρχετο : ἐξίοι *Suda* **11** ὅτε ἠβούλετο καὶ om. *Suda* **12** ἐπανήρχετο : εἰσῄει ἐν τῷ σώματι *Suda* | post αὐτοῦ addit *Suda* πόρρω χρόνων : om. φ et *Suda* V **20** ἐγγίζων φ : ἐγγίσασι *Suda* (ἐγγίσαντα Meursius) | βῆτα φ : τὰ βήματα *Suda* | ⟨ἐπ⟩εκλήθη scripsi e *Suda* : ἐκλήθη φ

28. Εὐριπίδης

Εὐριπίδης κατὰ τὴν ἡμέραν, ἣν ἐνίκων Ἕλληνες Πέρσας ἐν τῇ κατὰ Ξέρξου ναυμαχίᾳ, γεννᾶται εὐτυχίαν προσημαίνων Ἀθηναίοις.

29. Εὐκλείδης

Εὐκλείδης ὁ Μεγαρικὸς μετὰ τὴν Σωκράτους τελευτὴν Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους ἐδέξατο, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. Οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο, πολλοῖς ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. Τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, φάσκων μὴ εἶναι. (107) Ταῖς τε ἀποδείξεσιν ἐνίστατο οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν.

30. Ἐπίκουρος

Ἐπίκουρόν τινες διαβάλλοντές φασι πρὸς Πυθοκλέα ὡραῖον ὄντα γράψαι αὐτόν· Καθεδοῦμαι προσδοκῶν τὴν ἱμερτὴν καὶ ἰσόθεόν σου εἴσοδον. (6) Καὶ ἐν τῷ Περὶ τέλους οὕτως γράφειν· Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς διὰ χυλῶν ἡδονὰς καὶ τὰς δι' ἀκροαμάτων. (8) Φασὶ καὶ περὶ Ναυσιφάνους τοῦ μαθητοῦ Πύρρωνος γράφειν αὐτόν· Ταῦτα ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι καὶ ἀποκαλεῖν διδάσκαλον. Πνεύμονά τε

2–3 γεννᾶται cf. *Suda,* 3695 Εὐριπίδης **6–13** DL 2.106–107 **16–18** εἴσοδον DL 10.5 **18** Καὶ ἐν τῷ – **21** δι' ἀκροαμάτων DL 10.6 **21** Φασὶ – **p. 108.10** ἀπαίδευτον DL 10.8

3 ξέρξην φ, corr. **B** **3–4** εὐτυχίαν προσημαίνων Ἀθηναίοις om. *Suda* **24** πλεύμονα DL

αὐτόν, φασίν, ἐκάλει καὶ ἀγράμματον καὶ ἀπατεῶνα καὶ πόρνην· τούς τε περὶ Πλάτωνα Διονυσιοκόλακας καὶ αὐτὸν Πλάτωνα χρυσοῦν, καὶ Ἀριστοτέλη ἄσωτον (καταφαγόντα γὰρ τὴν πατρῴαν οὐσίαν στρατεύεσθαι) καὶ φαρμακοπώλην, φορμοφόρον τε Πρωταγόραν καὶ 5 γραφέα Δημοκρίτου καὶ ἐν κώμαις γράμματα διδάσκειν· Ἡράκλειτόν τε κυκητήν, καὶ Δημόκριτον Ληρόκριτον, καὶ Ἀντίδωρον Σανίδωρον· τούς τε Κυζικηνοὺς ἐχθροὺς τῆς Ἑλλάδης, καὶ τοὺς διαλεκτικοὺς πολυφθονερούς, Πύρρωνά τε ἀμαθῆ καὶ ἀπαίδευτον. 10

(26) Χρύσιππος δὲ ἐζήλου αὐτὸν ἐν πολυγραφίᾳ· | f. 23r ὅθεν αὐτὸν Καρνεάδης παράσιτον τῶν ἐκείνου βιβλίων ἀποκαλεῖ· εἰ γάρ τι γράψαι ὁ Ἐπίκουρος, ἐφιλονείκει τοσοῦτον γράψαι ὁ Χρύσιππος. (27) Καὶ διὰ τοῦτο πολλάκις τὰ αὐτὰ γέγραφε καὶ τὸ ἐπελθόν, καὶ ἀδιόρθωτα 15 εἷλκε τῷ ἐπείγεσθαι· καὶ τὰ μαρτύρια τοσαῦτά ἐστιν, ὡς ἐκείνων μόνων γέμειν τὰ βιβλία.

(2) Τοῦτόν φασι τὴν ἀρχὴν γραμματοδιδάσκαλον γεγενῆσθαι, ἔπειτα περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις ἐπὶ φιλοσοφίαν ἧξαι· (3) διὸ καὶ Τίμων οὕτω λέγει περὶ 20 αὐτοῦ·

> Ὕστατος αὖ φυσικῶν καὶ κύντατος, ἐκ Σάμου ἐλθὼν
> γραμμοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

(15) Νοσήσας δὲ ιδʹ ἡμέρας εἰς πύελον ἐνέβη χαλκῆν, κεκραμένην ὕδατι θερμῷ, καὶ αἰτήσας ἄκρατον ἐρρό- 25

11 Χρύσιππος – **17** τὰ βιβλία DL 10.26–27 **18** Τοῦτόν φασι – **23** ζωόντων DL 10.2–3 **22–23** Timon. B 51 Diels = *Suppl. Hell.* 825 **24** Νοσήσας δὲ – **p. 109.6** DL 10.15–16

2 Διονισοκόλακας Mueller ex DL **4** γὰρ om. DL **5** φαρμακοπωλεῖν DL **8** κυζικηνοὺς **φ** et DL : κυνικοὺς Reinesius **12** ἐκείνου om. DL **15** καὶ πολλάκις DL **18** τὴν ἀρχὴν om. DL **20** ἧξαι **φ** : ἄξαι DL B : ἀΐξαι DL PF

φησε, (16) τοῖς τε φίλοις παραγγείλας τῶν δογμάτων μεμνῆσθαι ἐτελεύτησε. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

Χαίρετε καὶ μέμνησθε τὰ δόγματα· τοῦτ' Ἐπίκουρος
ὕστατον εἶπε φίλοις πρῶτος ἀποφθίμενος·
5 χαλκῆν ἐς πύελον γὰρ †ἐσήλυθε† καὶ ἄκρατον
ἔσπασεν, εἶτ' Ἀίδην ψυχρὸν ἐπεσπάσατο.

31. Ἐμπεδοκλῆς

Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς Ἀκραγαντίνων εἰς κατασκευὴν πατρῴου μνή-
10 ματος διὰ τὴν ἐν τοῖς ἰατρικοῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καὶ τοιοῦτόν τι ἐρωτήσας· Τί δ' ἐπιγράψομεν ἐλεγεῖον ἢ τοῦτο·

Ἄκρον ἰατρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς Ἄκρου
15 κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης;

(67) Οὗτος ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν καὶ δοξασθεὶς θυσίαν συνετέλει. Παρῆσαν δὲ καὶ τῶν φίλων τινές. (68) Μετὰ δὲ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύσαντο, οἱ μὲν ὑπὸ τοῖς δένδρεσιν, ὡς
20 ἀγροῦ παρακειμένου, οἱ δ' ὅπη βούλοιντο, αὐτὸς δ' ἔμεινεν ἐπὶ τοῦ τόπου, ἐφ' οὗπερ κατεκέκλιτο. Ὡς δ' ἡμέρας

3–6 *A. Pal.* 7.106 **5–6** *Suda*, 3119 Πύελος **8–15** ἀκροτάτης DL 8.65 **14–15** *Suda*, 1026 Ἄκρων; 31 B 157 DK **16** Οὗτος – **p. 110.6** θεῷ DL 8.67–68

2 οὕτω τελευτῆσαι DL **4** πρῶτος **φ** et DL : οἶσιν **A** ex *A. Pal.* **5** χαλκῆν **φ** : θερμὴν Iunius ex DL et *Suda* | ἐσήλυθε Iunius ex DL PF, *A. Pal.* et *Suda* : ἐσῆλθε **φ** **10** ἰατρικοῖς **φ** : ἰατροῖς DL **19** ἀνεπαύοντο DL | δένδρεσιν **φ** et **Φ** : δένδροις DL

γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. Ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις μέσων νυκτῶν ἔφη φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον, ἄλλο δὲ μηδέν. Τῶν δὲ ἐκπλα- 5 γέντων ἐνομίσθη δεῖν θύειν αὐτῷ καθάπερ θεῷ. Τὴν ἄπνουν φασὶ τοιοῦτόν τι εἶναι, ὡς λ´ ἡμερῶν συντηρεῖν ἄπνουν τὸ σῶμα καὶ ἄσιτον.

Οὗτος ὁ Ἐμπεδοκλῆς πολλὰς τῶν πολιτίδων ἀπροί- f. 23v κους οὔσας ἐπροίκισε διὰ τὸν παρόντα πλοῦτον. | Διὸ καὶ 10 πορφύραν ἀνέλαβε καὶ στρόφιον ἐπέθετο χρυσοῦν, ἔτι τὰς ἐμβάτας χαλκᾶς καὶ στέμμα Δελφικόν. Κόμη τε ἦν αὐτῷ βαθεῖα· καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. Τοιοῦτος δὴ προῄει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ 15 βασιλείας τινὸς παράσημον. Ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενος ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην ἔπεσε καὶ τὸν μηρὸν ἐκλάσθη· καὶ νοσήσας ἐκ τούτου ἐτελεύτησεν, ὥς φησι Νεάνθης ὁ Κυζικηνός.

32. Ζήνων 20

Ζήνωνα τὸν Κιττιέα ἐθαύμαζεν Ἀντίγονος ὁ βασιλεύς. Ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν, "Ὅτι," ἔφη, "πολλῶν καὶ μεγάλων διδομένων αὐτῷ ὑπ' ἐμοῦ οὐδέποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη." Οὗτος πρὸς τὸν καλὸν

6 Τὴν ἄπνουν – **8** ἄσιτον *Suda,* 3242 Ἄπνους. Cf. DL 8.61 **9** Οὗτος – **18** ἐτελεύτησεν DL 8.73 **21–24** ὤφθη DL 7.15 **24** Οὗτος – **p. 111.3** ἐρασθησόμεθα DL 7.21

5 post οὐράνιον addit DL καὶ λαμπάδων φέγγος | post Τῶν δὲ addit DL ἐπὶ τῷ γενομένῳ **6** καθαπερεὶ γεγονότι θεῷ DL **7** ἡμέρας *Suda* **17** μεσήνην φ **18** ἐκλάσθη φ : κλάσαι DL **19** ὥς φησι Νεάνθης ὁ Κυζικηνός om. DL (cf. 8.72)

εἰπόντα ὅτι οὐ δοκεῖ ⟨αὐτῷ⟩ ἐρασθήσεσθαι ὁ σοφός, "Οὐδὲν ἀθλιώτερον," ἔφη, "ὑμῶν ἔσται τῶν καλῶν, εἰ μὴ ἡμεῖς ἐρασθησόμεθα." Τούτου λέγοντος ὡς οὐ λυπηθήσεται ὁ σοφός, διάπειραν βουληθεὶς λαβεῖν ὁ βασιλεὺς
5 Ἀντίγονος, ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελῆναι ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα καὶ ἡ γυνὴ καὶ οἱ παῖδες· τοῦ δὲ σκυθρωπάσαντος, "Ὁρᾷς," ἔφη, "ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον."

33. Ζήνων

10 Ζήνων ὁ Ἐλεάτης ἔλεγε κόσμον εἶναι, κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν· γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων
15 κατὰ μηδενὸς τούτων ἐπικράτησιν. Τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασαμένου δέ τινος φάναι· "Εἰ μὴ λοιδορούμενος προσποιοῦμαι, οὐδὲ ἐπαινούμενος αἰσθανθήσομαι."

34. Ἡράκλειτος

20 Ἡράκλειτος ὑδέρῳ περιπεσὼν ἔλεγε τοῖς ἰατροῖς, εἴ τις δύναιτο ἔντερα ταπεινῶσαι, ὑγρόν τ' ἐξερύσαι· ἀπει-

3 Τούτου λέγοντος – **8** DL 7.36 **10–18** DL 9.29 **20–p. 112.4** γέγονεν DL 9.3–4

1 αὐτῷ om. **φ**, ex DL add. Mueller **2–3** εἰ μὴ ἡμεῖς ἐρασθησόμεθα om. DL **3** Τούτου – **4** ὁ σοφός om. DL **4** post λαβεῖν addit αὐτοῦ DL **6–7** καὶ ἡ γυνὴ καὶ οἱ παῖδες om. DL **10** κόσμον **φ** : κόσμος DL BP[1] : κόσμους DL F **11** πάντων **A** et Iunius ex DL : ὑδάτων **φ** **18** αἰσθανθήσομαι **φ** et Φ : αἰσθήσομαι DL : ἠσθήσομαι **A**, Iunius **21** δύναται DL | ταπεινῶσαι **φ** : ταπεινώσας (omisso τ') DL | ἐξερῦσαι **φ** : ἐξερᾶσαι DL

πόντων δὲ ἔθηκεν ἑαυτὸν εἰς τὸν ἥλιον καὶ ἐκέλευσε τοὺς παῖδες βολβίτοις καταπλάττειν. Οὕτω δὴ κατατεινόμενος, μὴ δυνηθεὶς ἀποσπάσαι τὰ βόλβιτα, ἔμεινε καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθεὶς κυνόβρωτος γέγονεν. Οὗτος οὐδενὸς ἤκουσεν, ἀλλ' αὑτὸν ἔφη δίζεσθαι καὶ μαθεῖν 5 πάντα παρ' ἑαυτοῦ. Ἔστι δὲ εἰς αὐτὸν ἐπίγραμμα·

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
ὧδε διαντλήσας δύσμορος εἶτ' ἔθανε·
σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι φέγγος
ἔσβεσεν ἐν βλεφάροις καὶ σκότος ἠγάγετο. 10

Οὗτος τὴν οἴησιν ἱερὰν νόσον ἔλεγε, καὶ τὴν ὅρασιν ψεύδεσθαι.

f. 24ʳ (8) Πῦρ εἶναι | στοιχεῖον καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα· ἀραιώσει καὶ πυκνώσει τὰ γινόμενα. Σαφῶς δὲ οὐδὲν ἐκτίθεται. Γίνεσθαί τε πάντα κατ' ἐναντιότητα, καὶ ῥεῖν 15 τὰ ὅλα ποταμοῦ δίκην. Πεπεράνθαι τε τὸ πᾶν, καὶ εἶναι κόσμον ἕνα, γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα· καὶ τοῦτο γίνεσθαι καθ' εἱμαρμένην. Τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον 20 καὶ ἔριν, τὸ δ' ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην, καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω, τόν τε κόσμον γίνεσθαι κατ' αὐτήν. (9) Πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι, συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον

4 Οὗτος – **6** παρ' ἑαυτοῦ DL 9.5 **6** Ἔστι δὲ – **10** ἠγάγετο DL 9.4 = *A. Pal.* 7.127 **11** Οὗτος – **12** ψεύδεσθαι DL 9.7 **13** Πῦρ – **p. 114.3** ὁποία ἐστί DL 9.8–11

2 βολβίτοις et **3** βόλβιτα φ et DL B : βολίτοις et βόλιτα DL PF **5** αὑτὸν scripsi ex DL : αὐτὸς φ : αὑτὸν recte *Frob.* | δίζεσθαι φ : διζήσεσθαι DL **9** ἀρδεύσασα φ et DL : ἀρδεύουσα *A. Pal.* **10** ἐκ βλεφάρων *A. Pal.* | σκότον DL et *A. Pal.*

δὲ τὸ ὕδωρ εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν εἶναι ἐπὶ τὸ κάτω. Πάλιν τε αὐτὴν τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι, ἐκ δὲ τούτου τὰ λοιπά, σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάσσης· αὕτη δέ
5 ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός. Γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάσσης, ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ καὶ σκοτεινάς. Αὔξεσθαι δὲ τὸ μὲν πῦρ ὑπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν ὑπὸ τῶν ἑτέρων.

Τὸ δὲ περιέχον ὁποῖόν ἐστιν, οὐ δηλοῖ. Εἶναι μέντοι ἐν
10 αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς, ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα. (10) Λαμπροτάτην δὲ εἶναι τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην. Τὰ μὲν γὰρ ἄλλα ἄστρα πλεῖον ἀπέχειν ἀπὸ τῆς γῆς καὶ διὰ τοῦτο ἧττον
15 λάμπειν καὶ θάλπειν, τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. Τὸν μέντοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι καὶ σύμμετρον ἀφ' ἡμῶν ἔχειν διάστημα· τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν. Ἐκλείπειν τε καὶ ἥλιον καὶ σελήνην ἄνω
20 στρεφομένων τῶν σκαφῶν. Τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισμοὺς γίνεσθαι στρεφομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. Ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας, ὥρας ⟨τ'⟩ ἐτείους καὶ ἐνιαυτούς, ὑετούς τε καὶ πνεύματα καὶ τὰ τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀνα-
25 θυμιάσεις. Τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου ἡμέραν ⟨ποιεῖν⟩, τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν νύκτα ἀποτελεῖν. Καὶ ἐκ μὲν

7 καὶ φ, om. DL **8** ὑπὸ DL : ἀπὸ φ **17** κεῖσθαι φ et DL : κ⟨ιν⟩εῖσθαι Reiske **19** καί² om. DL **23** ⟨καὶ⟩ ὥρας Mueller ex DL F | τ' addidi | ἐτείους φ : αἰτίους DL **26** ποιεῖν addidi ex DL (cf. p. 114.1 ποιεῖν)

τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάσαν χειμῶνα ἀπεργάζεσθαι. Περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται, ὁποία ἐστί.

(16) Φέρονται δὲ εἰς αὐτὸν ἐπιγράμματα τάδε·

Ἡράκλειτος ἐγώ· †τί με ὦ† κάτω ἕλκετ', ἄμουσοι; 5
Οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.
f. 24ᵛ Εἷς ἐμοὶ | ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
οὐδείς. Ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

Ἄλλο·

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον 10
τοῦ Ἐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
Ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

(7) Λαμπρὸς δὲ ἐν τοῖς συγγράμμασι καὶ σαφής, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι καὶ δίαρμα ψυχῆς 15 λαβεῖν· ἥ τε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον.

35. Θεόδωρος

Θεόδωρος ὁ κληθεὶς ἄθεος, εἶτα θεός, παντάπασιν ἀνῄρει τὰς περὶ θεῶν δόξας. Τέλος δ' ὑπελάμβανε χαρὰν 20

4 Φέρονται – **13** ἠελίου DL 9.16 = *A. Pal.* 7.128 et 9.540 **7–8** *Suda*, 2046 Ἀναρίθμητος **14** Λαμπρὸς δὲ – **16** ἀσύγκριτον DL 9.7 **19–20** δόξας DL 2.97 (ὁ κληθεὶς ἄθεος, εἶτα θεός DL 2.86 = *Suda*, 3908 Ἀρίστιππος) **20** Τέλος – **p. 115.13** συνοχῆς DL 2.98–99

1 αὐξανόμενον φ et DL F : αὐξόμενον DL BP[1] **2** πλεονάζον DL **5** τί με ὦ φ et *A. Pal.* : τιμαιω DL BP[1] : τί μ' ἄνω Meineke, Mueller **11** τοῦ ἐφεσίου φ et DL : τοὐφεσίου Mueller ex *A. Pal.* | ἀταρπιτὸς φ, corr. **A** **13** φανεροῦ Iunius ex DL : φαεινοῦ φ | λαμπρότερον φ, corr. **A** **14** ἐν τῷ συγγράμματι DL

καὶ λύπην, τὴν μὲν ἐπὶ φρονήσει, τὴν δὲ ἐπὶ ἀφροσύνῃ· ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον. Ἀνῄρει δὲ καὶ φιλίαν, διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτε ἐν
5 σοφοῖς. Τῆς μὲν γὰρ χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι, τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. Ἔλεγε δὲ καὶ εὔλογον εἶναι τὸν σπουδαῖον ὑπεξαγαγεῖν ὑπὲρ τῆς πατρίδος ἑαυτόν· οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων
10 ὠφελείας. (99) Εἶναί τε πατρίδα τὸν κόσμον. Κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ τούτων φύσει αἰσχρὸν εἶναι, τῆς ἐπ' αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. (101) Οὗτος ἐκινδύνευσέ ποτε εἰς Ἄρειον πάγον ἀχθῆναι,
15 εἰ μὴ Δημήτριος ὁ Φαληρεὺς αὐτὸν ἐρρύσατο. Οἱ δέ φασι καὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα.

36. Θεόδωρος

Θεόδωρος ἄλλος, Σάμιος, συνεβούλευσεν ἄνθρακας ὑποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ ναοῦ· καθύγρου
20 γὰρ ὄντος, ἔφη, τοῦ τόπου, τοὺς ἄνθρακας τὸ ξυλῶδες ἀποβαλόντας αὐτὸ τὸ στερεὸν ἀπαθὲς ἔχειν ὕδατι.

37. Θεόφραστος

Λέγεται εἰς τὴν Θεοφράστου διατριβὴν φοιτᾶν μαθητὰς πρὸς δισχιλίους.

14 Οὗτος – **16** DL 2.101 **18–21** DL 2.103 **23–24** DL 5.37

5 Τῆς μὲν γὰρ χρείας φ : Τοῖς μὲν γὰρ τῆς χρείας DL **8** ὑπεξαγαγεῖν φ : μὴ ἐξαγαγεῖν DL **9** ἀποβαλεῖν DL B **14** ποτε om. DL **23** φοιτᾶν φ : ἀπήντων DL

38. Ἵππασος

Ἵππασος ὁ Μεταποντῖνος ἔλεγε χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμου μεταβολῆς, καὶ πεπερασμένον εἶναι τὸ πᾶν καὶ ἀεικίνητον.

39. Καρνεάδης 5

Καρνεάδου Λίβυος φιλοσόφου τελευτήσαντος, ἡ σελήνη ἐξέλιπε καὶ ὁ ἥλιος ἀμυδρὸς ἐγένετο.

40. Κράτης

Κράτης καὶ Πολέμων οὕτως ἐφιλήτην ἀλλήλω, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην ἐπιτηδευμάτων, 10 ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιώτην ἀλλήλοιν, καὶ θανόντε τῆς αὐτῆς ταφῆς κοινωνήτην. (22) Ἔνθεν καὶ Ἀρκεσίλαος μετελθὼν παρὰ Θεοφράστου πρὸς αὐτοὺς ἔλεγεν ὡς εἶεν θεοί τινες ἢ λείψανα τῶν ἐκ τοῦ χρυσοῦ γένους. Καὶ γὰρ ἤστην οὐ φιλοδημῶδε, ἀλλ' οἷον Διονυ- 15 σόδωρόν ποτε τὸν αὐλητήν φασιν εἰπεῖν, σεμνυνόμενον ἐπὶ τῷ μηδὲν τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους, | f. 25r μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου.

41. Κράντωρ

Κράντωρ ὁ Σολεὺς ἐθαύμαζεν Ὅμηρον καὶ Εὐριπίδην, 20 λέγων ἐργῶδες τραγικῶς καὶ συμπαθῶς γράψαι, καὶ προε-

2–4 DL 8.84 **6–7** *Suda*, 400 Καρνεάδης (cf. DL 4.64) **9–18** DL 4.21–22 **15** Διονυσόδωρον – **18** cf. *Suda*, 229 Σεμνυνόμενος **20–p. 117.5** DL 4.26–27

9 ἐφιλείτην Mueller : φελε(ί)την DL **11** ἐξωμοιώτην **φ** et DL BP[1] : ἐξωμοιούσθην **A** et DL F : ἐξωμοιώσθην Cobet, Mueller **12** κοινωνήτην **φ** et fere DL BP[1] F : ἐκοινωνείτην **A** et DL P[4] **15** φιλοδημῶδε **φ** et DL BP[1] : φιλοδημώδεε **A** et DL P[4] **17** μηδὲν **φ** et DL BPF : μηδένα **A** et *Suda* **21** post ἐργῶδες addit DL ἐν τῷ κυρίῳ

φέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου·

Οἴμοι· τί δ' οἴμοι; Θνητά τοι πεπόνθαμεν.

(27) Ἦν δὲ δεινὸς ὀνοματοποιῆσαι· ποιητοῦ γοῦν τινος σκίφης μεστοὺς εἶναι τοὺς στίχους εἶπε, καὶ τὰς Θεο-
5 φράστου θέσεις ὀστρέῳ γεγράφθαι.

42. Κλεάνθης

Κλεάνθης ὁ μαθητὴς Κράτητος τοσοῦτον γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς προσαγορευθῆναι. Μὴ ἔχων γὰρ ὅθεν τραφῇ, τὰς μὲν νύκτας ἤντλει ὕδωρ
10 μισθοῦ, μεθ' ἡμέραν δὲ τοῖς μαθήμασιν ἐσχόλαζεν· ὅθεν ἐπωνομάσθη Φρεάντλης. (170) Οὗτος τὸ ἀπὸ τοῦ κόπου αὐτοῦ συναχθὲν κέρμα εἰς μέσον ποτὲ ἀγαγὼν τῶν γνωρίμων, ἔφη· "Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο, οἱ δὲ ἔχοντες ὅθεν τρέφονται
15 παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες."

(171) Εἰπόντος τινός, Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, "Παῦσαι," ἔφη, "καὶ μὴ ψέγε· εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ." Καὶ ὁ
20 Ἀρκεσίλαος, "Οὐ κολακεύομαι," φησί. Πρὸς ὃν ὁ Κλεάνθης, "Ναί, κολακεύω," ⟨ἔ⟩φη, "σέ, φάμενος ἄλλα μὲν

2 Eurip. Fr. 300 N.[2] = *Suda*, 101 Οἴμοι **3–5** DL 4.27; *Suda*, 631 Σκίφη et 262 Θέσεις **7–11** Φρεάντλης *Suda*, 1711 Κλεάνθης (cf. DL 7.168 et 170) **11–p. 118.3** ἴχνος DL 7.170–171

8 προσαγορευθῆναι φ : κληθῆναι *Suda* et DL (ἐκαλεῖτο) **9** τραφῇ φ : τραφείη Mueller e *Suda* **10** μισθῷ *Suda* | τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν *Suda* **11–12** ἀπὸ τοῦ κόπου αὐτοῦ om. DL **12** συναχθὲν φ : ἀθροισθὲν DL | ἀγαγὼν φ : ἐκόμισεν DL **21** ⟨ἔ⟩φη, σέ scripsi ex DL : φησί φ

λέγειν, ἕτερα δὲ ποιεῖν." Ἐρωτῶντος τινός, τί ὑποθήσεται τῷ υἱῷ, ἔφη τὸ ἐκ τῆς Ἠλέκτρας·

σῖγα, σῖγα, λευκὸν ἴχνος.

(173) Σωσίθεον τὸν ποιητὴν ὑβρίσαντα αὐτὸν καὶ μετανοήσαντα προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δ' ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. 5

43. Λεύκιππος

Λεύκιππος ὁ Ἐλεάτης ἔλεγεν ἄπειρα εἶναι τὰ πάντα καὶ εἰς ἄλληλα μεταβάλλειν, τό τε πᾶν εἶναι κενὸν καὶ πλῆρες σωμάτων, τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων· ἐκ τε τῆς κινήσεως κατὰ αὔξησιν αὐτῶν γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. Φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην· τὴν γῆν ὀχεῖσθαι περὶ τὸ μέσον δινουμένην, σχῆμά τε αὐτῆς τυμπανοειδὲς εἶναι. Πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο. 10 15

(31) Τὸ πᾶν ἄπειρόν φησι, τούτου δὲ τὸ μὲν πλῆρες εἶναι, τὸ δὲ κενόν· καὶ στοιχεῖά φησι. Κόσμους τε ⟨ἐκ τούτων⟩ ἀπείρους εἶναι καὶ διαδύεσθαι εἰς ταῦτα. Γίνεσθαι δὲ τοὺς κόσμους οὕτως· φέρεσθαι κατὰ ἀποτομὴν ἐκ τῆς 20

3 Eur. *Or.* 140 **4** Σωσίθεον – **8** DL 7.173 **10– p. 120.5** DL 9.30–33

1 ἐρωτῶντος **φ** : ἐρομένου DL | ὑποθήσεται **φ** : ὑποτίθεσαι DL BP[1], ὑποτίθεσθαι DL F **3** λευκὸν **φ** et DL BP[1] : λεπτὸν **A** ex Eur. et DL FP[2] **5** μεταγινώσκοντα DL **15** φέρεσθαι **A** et Iunius ex DL : φαίνεσθαι **φ** **20–21** ἐκ τούτων om. **φ** : ex DL add. **A** **21** διαδύεσθαι **φ** et DL B : διαλύεσθαι **A** ex DL

ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα
κενόν, ἅπερ ἀθροισθέντα μίαν ἀπεργάζεσθαι δίνην, καθ'
ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα | διακρί- f. 25v
νεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. Ἰσορρόπων δὲ διὰ
5 τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ
χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττόμενα, τὰ δὲ λοιπὰ
συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἄλληλα
καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές.

(32) Τοῦτο δ' οἷον ὑμένα ὑφίστασθαι, περιέχοντα ἐν
10 ἑαυτῷ παντοῖα σώματα· ὧν κατὰ τὴν τοῦ μέσου ἀντέ-
ρεισιν περιδινουμένων, λεπτὸν γενέσθαι τὸν πέριξ ὑμένα,
συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης,
καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων
ἐπὶ τὸ μέσον. Αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα
15 αὔξεσθαι κατὰ τὴν ἐπικράτησιν τῶν ἔξωθεν σωμάτων,
δίνῃ τε φερόμενον αὐτόν, ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶ-
σθαι. Τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα, τὸ
μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα δὲ καὶ
περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ, εἶτ' ἐκπυρωθέντα
20 τὴν τῶν ἄστρων ἀποτελέσαι φύσιν.

(33) Εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον ἐξώτατον, τὸν δὲ
τῆς σελήνης προσγειότατον, τῶν ἄλλων μεταξὺ τούτων
ὄντων. Καὶ πάντα μὲν τὰ ἄστρα πυροῦσθαι διὰ τὸ τάχος
τῆς φορᾶς, τὸν δὲ ἥλιον καὶ ὑπὸ τῶν ἀστέρων ἐκπυροῦ-
25 σθαι· τὴν δὲ σελήνην ὀλίγον τοῦ πυρὸς μεταλαμβάνειν.
Ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην ⟨*⟩ τῷ κεκλίσθαι τὴν γῆν
πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτῳ ἀεί τε νίφεσθαι καὶ

9 ἀφίστασθαι DL **15** ἐπικράτησιν **φ** : ἐπέκρυσιν DL BPF : ἐπέκκρισιν Heidel **18** πηλῶδες **A** ex DL : σπιλῶδες **φ** **23** ὄντων **φ** : om. DL **26** post σελήνην lacunam in DL indicavit Orelli

κατάψυχρα εἶναι καὶ πήγνυσθαι. Καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην συνεχῶς, διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. Εἶναί τε ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις καὶ φθίσεις κατά τινα ἀνάγκην, ἥν, ὁποία ἐστί, διασαφεῖ. 5

44. Μενέδημος

(125) Μενέδημος ὁ Ἐρετριεὺς ἀρχιτέκτονος υἱὸς ἦν· ὅθεν γράψαντος αὐτοῦ ψήφισμά τι καθήψατό τις Ἀλεξίνειος εἰπὼν ὡς οὔτε σκηνὴν οὔτε ψηφίσματα προσήκει τῷ σοφῷ γράφειν. Πεμφθεὶς δὲ φρουρὸς ὑπὸ τῶν Ἐρετριέων 10 εἰς Μέγαρα ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν. (126) Ἦν δὲ σεμνὸς ἱκανῶς· ὅθεν αὐτὸν Κράτης παρῳδῶν φησι·

Φλιάσιόν τ' Ἀσκληπιάδην καὶ ταῦρον Ἐρέτρην.

Ὁ δὲ Τίμων οὕτω· 15

†λόγον† ἀναστήσας ὠφρυωμένος ἀφροσιβόμβαξ.

(127) Οὕτω δ' ἦν σεμνός, ὡς Εὐρύλοχον τὸν Κασανδρέα μετὰ Κλεϊππίδου Κυζικηνοῦ μειρακίου κληθέντα ὑπ'

7–12 τὴν στρατείαν DL 2.125 **12** Ἦν δὲ – **p. 121.11** τῶν ἑκατόν DL 2.126–129 **14** Cratetis B 2 Diels = *Suppl. Hell.* 348 **16** Timonis B 29 Diels = *Suppl. Hell.* 803

4 post φθίσεις addit ex DL καὶ φθορὰς Mueller **5** οὐ διασαφεῖ **A** et Stephanus **8** ἀλεξίνιος **φ** et DL B **9** ψηφίσματα **φ** : ψήφισμα **A** ex DL **10** ἐρετριέων **φ** et DL F : ἐρετριῶν DL BP **14** Ἐρετρῆ Bergk **16** λόγον **φ** et DL : ὄχλον Bywater : ὄγκον A. Ludwich | ὠφρυωμένος **φ** et DL PF : ὀφρυωμένος DL B : ὀφρυούμενος Ludwich | ἄφροσι βόμβαξ **φ**

Ἀντιγόνου ἀντειπεῖν· φοβεῖσθαι γὰρ μὴ Μενέδημος αἴσθηται. Ἦν γὰρ ἐπικόπτης καὶ παρρησιαστής. (128) Ἀντιγόνου συμβουλευομένου τί εἴποι εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας τὰ ἄλλα μόνον ἐκέλευσεν ἀπαγγεῖλαι ὅτι
5 βασιλέως υἱός ἐστι. Πρὸς τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ εἰκαίως ἠρώτησεν εἰ ἀγρὸν ἔχει· φήσαντος δὲ καὶ | πάμπλειστα κτήματα, "Πορεύου τοίνυν," ἔφη, "κἀκείνων f. 26ʳ ἐπιμελοῦ, μὴ συμβῇ σοι καὶ ταῦτα διαφθεῖραι καὶ κομψὸν ἰδιώτην ἀποβαλεῖν." (129) Πρὸς τὸν εἰπόντα πολλὰ τὰ
10 ἀγαθὰ ἐπύθετο πόσα τὸν ἀριθμὸν καὶ εἰ νομίζοι πλείω τῶν ἑκατόν.

(130) Ἦν δὲ καὶ ἐκκλίτης καὶ τὰ τῆς σχολῆς ἀδιάφορος· οὔτε γοῦν τάξιν τινὰ ἦν παρ' αὐτῷ βλέπειν, οὔτε βάθρα κύκλῳ διέκειτο, ἀλλ' οὗ ἂν ἕκαστος ἔτυχε περι-
15 πατῶν ἢ καθήμενος ἤκουε, καὶ αὐτοῦ τοῦτον τὸν τρόπον διακειμένου. (131) Κράτητος δέ ποτε περιϊσταμένου αὐτὸν καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν· τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα, καὶ ὑπερκύπτοντα Ἀγαμεμνόνει-
20 όν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν.

(132) Ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. Σὺν Ἀσκληπιάδῃ γοῦν ποτε κατὰ ἄγνοιαν ἐν πανδοκείῳ κρεάτων ῥιπτουμένων φαγών, ἐπεὶ μάθοι, ἐναυτία τε καὶ ὠχρία, ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ, ὡς οὐδέν,
25 εἰπών, ἠνώχλησεν αὐτῷ τὰ κρέα, ⟨ἡ δὲ περὶ τούτων ὑπόνοια⟩.

12 Ἦν δὲ – **p. 122.12** ἐλευθέριος DL 2.130–134

2 γὰρ καὶ DL **3** τί εἴποι **φ** : om. DL **8** καταφθεῖραι DL **10** νομίζοι **φ** : νομίζει **A** ex DL BP **12** ἐκκλιτής **φ** **23** ἐπειδὴ DL | ἀνεναυτία DL BP **25** αὐτῷ **φ** : αὐτὸν DL | ἡ δὲ περὶ τούτων ὑπόνοια ex DL suppl. Iunius

(133) Ἦν δὲ φιλυπόδοχος καὶ διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας πλείω συνάγων συμπόσια. Προσεῖχε δὲ Ὁμήρῳ καὶ τοῖς μελικοῖς, εἶτα Σοφοκλεῖ καὶ Ἀχαιῷ, ᾧ καὶ τὸ δευτερεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. Πρὸς γοῦν τοὺς ἀντιπολιτευομένους ταῦτα 5 προεφέρετο·

Ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχύς,
καὶ πρὸς χελώνης ἀετὸς βραχεῖ χρόνῳ.

(134) Ταῦτα δέ ἐστιν Ἀχαιοῦ ἐκ τῆς Σατυρικῆς Ὀμφάλης· ὥστε προσπταίουσιν οἱ λέγοντες αὐτὸν μηδὲν 10 ἀνεγνωκέναι πλὴν τῆς Εὐριπίδου Μηδείας. Στίλπνωνα ἐπαινῶν ἄλλο μὲν οὐδὲν εἶπε πλὴν ὅτι ἐλευθέριος.

(136) Ἐν δὲ ταῖς ζητήσεσιν ὧδε μάχιμος ἦν, ὥσθ' ὑπώπια φέρων ἀπῄει. (137) Οὕτω δὲ ἦσαν οὗτος καὶ Ἀσκληπιάδης φίλοι, ὥστε Ἀρχεπόλιδος τρισχιλίας αὐτοῖς 15 διαγράψαντος, στηριζομένους περὶ τοῦ τίς δεύτερος ἀρεῖ, μηδέτερον λαβεῖν. Ἔγημαν δὲ γυναῖκας, Ἀσκληπιάδης μὲν τὴν θυγατέρα, τὴν δὲ μητέρα Μενέδημος· κἀπειδὴ τελευτήσοι τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, ἔλαβε τὸ τοῦ Μενεδήμου· ἐκεῖνός τε αὖ, ἐπειδὴ προὔστη τῆς πολιτείας, 20 πλουσίαν ἔγημεν· ἐπέτρεψε μέντοι τὴν τῆς οἰκίας διοίκησιν τῇ προτέρᾳ γυναικί.

(139) Τὰ δὲ συμπόσια οὕτως ἐποιεῖτο. Προηρίστα μετὰ δυοῖν ἢ τριῶν ἐς ὃ βραδέως ἦν τῆς ἡμέρας· ἔπειτά τις ἐκάλει τοὺς παραγενομένους καὶ αὐτοὺς ἤδη δεδει- 25

13 Ἐν δὲ ταῖς ζητήσεσιν – **22** γυναικί DL 2.136–137 **23** Τὰ δὲ συμπόσια – **p. 123.13** λόγος DL 2.139–140 **23–p. 123.9** cf. Athen. 10, 419 E – 420 A

3 εἶτα **φ** : ἔπειτα DL **7** ἄρα **φ** et DL : ἆρα Orelli **8** ἀετὸς **φ** et DL BP : αἰετὸς DL F **10** προσπταίουσιν **φ** : πταίουσιν DL **16** ἀρεῖ **φ** : ἄρη DL PF **19** τελευτήσοι φ : τελευτῆσαι DL **24** ἐς ὃ **φ** et DL BP[1] : ἕως DL F | βραδέως **φ** et DL : βαθέως Kuehn

πνηκότας· ὥστε, εἰ τις ἔλθοι θᾶττον, ἀνακάμπτων ἐπυνθάνετο τῶν ἐξιόντων, τί εἴη παρακείμενον καὶ πῶς ἔχοι τοῦ χρόνου· εἰ μὲν οὖν λάχανον ἦν ἢ τάριχον, ἀνεχώρουν, | εἰ δὲ κρεᾴδιον, εἰσῄεσαν. Ἦν δὲ τοῦ μὲν θέρους f. 26ᵛ
5 ψίαθος ἐπὶ τῶν κλινῶν, τοῦ δὲ χειμῶνος κῴδιον, προσκεφάλαιον δ' αὐτῷ φέρειν ἔδει. Τό τε περιαγόμενον ποτήριον οὐ μεῖζον ⟨ἦν⟩ κοτυλιαίου· τράγημα θέρμος ἢ κύαμος, ἔστι δ' ὅτε καὶ τῶν ὡρίων ἄπιος ἢ ῥόα ἢ ὄχναι ἢ νὴ Δί' ἰσχάδες. (140) Λυκόφρων δὲ γράψας αὐτοῦ ἐγκώ-
10 μιον περὶ τούτου φησίν·

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

(143) Τοῦτόν φασι τυράννων πολλάκις ἐλευθερῶσαι
15 τὴν πατρίδα· φοιτᾶν γοῦν καὶ πρὸς Ἀντίγονον καὶ βούλεσθαι ἐλευθερῶσαι πάλιν αὐτήν, τοῦ δὲ μὴ εἴκοντος, ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμερῶν τὸν βίον μεταλλάξαι.

45. Μέλισσος

20 Μέλισσος ἔλεγε τὸ πᾶν ἄπειρον εἶναι καὶ ἀναλλοίωτον καὶ ἀκίνητον καὶ ἕν, ὅμοιον ἑαυτῷ καὶ πλῆρες· κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. Καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.

11–13 *TrGrF* 100 Fr. 3 Snell **14** Τοῦτον – **17** DL 2.143
20 – 23 DL 9.24

3 λάχανον ... τάριχον **φ** (cf. Athen.) : λαχάνιον ... ταρίχιον **A** ex DL | ἦν om. DL **7** ἦν addidi ex DL et Athen.
9 ὄχναι **φ** : ὦχροι DL et Athen. **16** πάλιν αὐτήν **φ** : τὴν πατρίδα DL **22** Ἀλλὰ καὶ DL

46. Νικόλαος

Νικόλαος φιλόσοφος, ὁ Δαμασκηνός, τοσοῦτον ἠγα-
πήθη παρὰ τοῦ Αὐγούστου Καίσαρος, ὥστε τοὺς ὑπ'
ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι Νικολάους
αὐτὸν καλεῖν. Καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. 5

47. Νουμήνιος

Νουμήνιος Πυθαγορικὸς φιλόσοφος, ὁ Ἀπαμεύς, τὴν
Πλάτωνος διάνοιαν ἤλεγξεν, ὡς ἐκ τῶν Μωσαϊκῶν
βιβλίων τὰ περὶ θεοῦ καὶ κόσμου ⟨γενέσεως⟩ ἀποσυλή-
σασαν. Διὸ καί φησι· "Τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀτ- 10
τικίζων;"

48. Νέστωρ

Νέστωρ ἐποποιός, ὁ ἐκ Λυκίας, ἔγραψεν Ἰλιάδα
λειπογράμματον· ἔστι γὰρ ἐν τῷ α΄ μὴ εὑρίσκεσθαι α, καὶ
κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνειν στοι- 15
χεῖον. Ἐποίησε δὲ καὶ Τρυφιόδωρος Ὀδύσσειαν ὁμοίως
αὐτῷ.

49. Ξάνθος

Ξάνθος, Λυδός, ἱστορικός, ἐν τῇ β΄ τῶν Λυδιακῶν αὐ-
τοῦ ἱστοριῶν φησὶν ὅτι πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς 20
γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζού-
σαις.

2–5 *Suda,* 393 Νικόλαος **7–10** *Suda,* 517 Νουμήνιος
13–17 *Suda,* 261 Νέστωρ **19–21** *Suda,* 9 Ξάνθος

2 ἠγαπήθη – **3** καίσαρος φ : ἠσπάσατο αὐτὸν ὁ Καῖσαρ
Suda **8** ἤλεγξεν φ : ὁ ... ἐξελέγξας *Suda* **9** βιβλίων om.
Suda | γενέσεως addidi e *Suda*

50. Ξενοκράτης

Ξενοκράτης ὁ φιλόσοφος, πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ λ´ τάλαντα, ἀπέπεμψεν εἰπών, βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον.
5 (11) Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀσπασαμένου τοῦτον, οὐ πρότερον ἀντιπροσηγόρευσε πρὶν ἢ τὸν λόγον ὃν ἔλεγε διαπεράνασθαι. Ἀτυφότατος δὲ ὢν πολλάκις ἑαυτῷ τῆς ἡμέρας ἐμελέτα, καὶ ὥραν μίαν, φασίν, ἀπένεμε σιωπῇ. (14) Ἀθηναῖοι δ' ὅμως αὐτὸν
10 τοιοῦτον ὄντα ἐπίπρασκόν ποτε, τὸ μετοίκιον ἀτονοῦντα θεῖναι· καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς καὶ ἑκάτερον ἀποκατέστησε, Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, | Ἀθηναίοις δὲ τὸ μετοίκιον. f. 27r

51. Ξενοφάνης

15 Ξενοφάνης ὁ Κολοφώνιος ἔλεγε τέσσαρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, οὐ παραλλάκτους δέ. Τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. Οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ· ὅλον
20 δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν· σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀΐδιον. Πρῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα.

Ἔφη τε καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι. Καὶ τοῖς τυράν-

2–4 φιλόσοφον *Suda,* 42 Ξενοκράτης **5** Ἀντιπάτρου – **9** σιωπῇ DL 4.11 **9** Ἀθηναῖοι – **13** DL 4.14 **15–p. 126.4** DL 9.19–20

3 αὐτὸς ἀπέπεμψεν *Suda* **6** τοῦτον **φ** : αὐτὸν DL | οὐ **φ** : μὴ DL **16** οὐ παραλλάκτους **φ**, et DL BP[1] : ἀπαραλλάκτους DL F

νοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. (20) Ἐμπεδοκλέους εἰπόντος αὐτῷ ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, "Εἰκότως," ἔφη· "σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν." Πρῶτος δὲ εἶπεν ἀκατάληπτα εἶναι τὰ πάντα.

52. Ὅμηρος 5

Ὅμηρος ἱστορεῖται γενέσθαι τυφλός, ὡς μὴ ἡττηθεὶς ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἔρχεται.

53. Παλαμήδης

Παλαμήδης εὗρε τὸ ζ καὶ π καὶ φ καὶ χ στοιχεῖα.

54. Πίνδαρος 10

Πίνδαρος ὁ λυρικὸς αἰτήσας τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον ἀπέθανεν ἐν θεάτρῳ, ἀνακεκλιμένος εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα.

55. Πλάτων

Πλάτων ὁ φιλόσοφος λέγεται μὴ γάμον τινὰ μηδὲ ὁμι- 15 λίαν σώματος καθάπαξ ἀνασχέσθαι. Φασὶ δὲ ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ αὐτοῦ ἔγκυος γέγονεν, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. Καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. Πλατὺς δὲ ὢν τὰ στέρνα ἢ

6–7 *Suda,* 251 Ὅμηρος (III, p. 526.9–10 Adler) **9** *Suda,* 44 Παλαμήδης **11–13** *Suda,* 1617 Πίνδαρος **15–19** συνεγένετο *Suda,* 1707 Πλάτων **19** Πλατὺς – **p. 127.2** κληθῆναι *Suda,* ibidem (ἢ τὸ μέτωπον DL 3.4)

6 ὡς μὴ ἡττηθεὶς **φ** : ὅτι οὐχ ἡττήθη *Suda* **7** ἔρχεται **φ** : ἄρχεται *Suda* **9** π **φ** et *Suda* : θ Kuster **16** ἀνασχέσθαι φ : εἰς πεῖραν δεξάμενος *Suda*

τὸ μέτωπον Πλάτων προσηγορεύθη· οἱ δὲ ὡς πλατὺν ἐν λόγοις οὕτω φασὶν αὐτὸν κληθῆναι. (7) Τίμων δὲ κωμῳδῶν αὐτὸν ἐν Σίλλοις φησί·

Τῶν πάντων δ' ἡγεῖτο πλατίστακος, ἀλλ' ἀγορητὴς
5 ἡδυεπής, τέττιξ⟨ιν⟩ ἰσογράφος, οἵ θ' Ἑκαδήμου
δένδρῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι.

(8) Πρότερον γὰρ ἡ Ἀκαδημία τὸ χωρίον Ἑκαδημία ἐκαλεῖτο. Οὗτος μίξιν ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων καὶ Πυθαγορικῶν καὶ Σωκρατικῶν· τὰ μὲν γὰρ 10 αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην ἐφιλοσόφει. (9) Ὠφέληται δὲ πολλὰ ⟨καὶ⟩ παρ' Ἐπιχάρμου.

(12) Φησὶ γὰρ ὁ Ἄλκιμος· Λέγουσιν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκού- 15 ουσαν, βλέπουσαν, τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι μηδὲν τῷ σώματι χρωμένην· διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. Ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς | διελέσθαι τὰς ἰδέας, οἷον (f. 27v) 20 ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν· δεύτερον αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον καὶ τὰ τοιαῦτα ὑποθέσθαι. (13) Τρίτον τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσίν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν, ἐνθυμουμένους ὅτι τὰ 25 παρ' ἡμῖν διὰ τὸ μετέχειν ἐκείνων ὁμώνυμα ἐκείναις ὑπάρχει, λέγω δὲ οἷον δίκαια μέν, ὅσα τοῦ δικαίου, καλὰ

2 Τίμων – **12** Ἐπιχάρμου DL 3.7–9 **4–6** Timon. B 30 Diels = *Suppl. Hell.* 804 **13** Φησὶ γὰρ – **p. 128.14** γίγνεται DL 3.12–14

3 ἐν σίλλοις om. DL **4** πλατίστακος **φ** et DL PF : πλατίστατος Iunius ex DL B **5** τέττιξ **φ**, corr. **A** **6** δένδρω **φ** et DL B : δένδρει DL PF | ἱεῖσι **φ** et DL P[1]F : ἱᾶσιν DL B[2]P[2] **7** τὸ χωρίον om. DL **12** καὶ addidi ex DL **13** Ἄλκιμος Iunius ex DL : ἐπίχαρμος **φ** **25** ἐκείναις **φ** et DL B : ἐκείνοις DL PF

δέ, ὅσα τοῦ καλοῦ. Ἔστι δὲ τῶν εἰδῶν ⟨ἓν⟩ ἕκαστον ἀΐδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές. Διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα, τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. Ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει· 5

– (14) Ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; – Πάνυ μὲν οὖν.
– Ἄνθρωπος οὖν αὔλησίς ἐστιν; – Οὐδαμῶς.
– Φέρ' ἴδω, τί δ' αὐλητάς; Τίς εἶμέν τοι δοκεῖ;
Ἄνθρωπος, ἦ οὐ γάρ; – Πάνυ μὲν οὖν. – Οὐκοῦν δοκεῖς 10
οὕτως ἔχειν καὶ περὶ τἀγαθοῦ; Τὸ μὲν
ἀγαθὸν τὸ δὲ πρᾶγμα εἶμεν καθ' αὔθ' · ὅστις δέ κα
εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ⟨ἤδη⟩ γίγνεται.

(23) Οὗτος ὁ Πλάτων Χαβρίᾳ συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πρᾶξαι βουληθέντος. (24) Ὅτε καὶ ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ Κρωβύλος ὁ συκοφάντης ἀπαντήσας φησίν· "Ἄλλῳ συναγορεύσων ἥκεις, ἀγνοῶν ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει;" Ὁ δ' ἔφη· "Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ." 15 20

(26) Τοιοῦτος δὲ ὢν ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος γοῦν φησιν·

7–14 23 B 3 DK **15–22** ὑπομενῶ DL 3.23–24 **23** Τοιοῦτος – **p. 129.17** ἀγαθόν DL 3.26–27

1 ἓν addidi ex DL **9** φέρε **φ** | εἰ μέντοι **φ** **10** γὰρ οὔ **φ** : transp. Flach conl. DL **11** δοκεῖς **φ** et DL PF : δοκεῖ DL B **12** ⟨κα⟩ καὶ Diels **13** τὸ δὲ **φ** et DL BPF : τὸ Diels : τι Ahrens | καθ' αὐτό **φ** et DL | δέκα **φ** et DL BP **14** εἴδη **φ** et DL B | τῆνο **φ** et DL | ἤδη ex DL add. Mueller

῝Εν γάρ ἐστιν οὐδὲ ἕν,
τὼ δὲ δύο μόλις ⟨ἕν⟩ ἐστιν, ὥς φησι Πλάτων.

Ἀλλὰ καὶ Ἀναξανδρίδης·

῞Οτε τὰς μορίας ἔτρωγεν, ὥσπερ ⟨*⟩ Πλάτων.

5 Καὶ Τίμων παραγραμματίζων αὐτόν·

Ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θαύματα εἰδώς.

῎Αλεξις·

Εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη
ἄνω κάτω τε περιπατοῦσ', ὥσπερ Πλάτων
10 σοφὸν οὐδὲν εὕρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

Καὶ πάλιν·

Λέγεις περὶ ὧν οὐκ οἶσθα· †συγγενοῦς† τρέχων
Πλάτωνι καὶ γνώσῃ λίτρον καὶ κ⟨ρ⟩όμμυον.

῎Αμφις Ἀμφικράτει·

15 Τὸ δ' ἀγαθόν, ὅ τι ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν.

1–2 *PCG* Theopompi Fr. 16 **4** *PCG* Anaxandr. Fr. 20 **5–6** *Suda*, 316 Παραγραμματίζων; Athen. 11, 505 E **6** Timon. B 19 Diels = *Suppl. Hell.* 793 **8–10** *PCG* Alexidis Fr. 151 **12–13** Alex. Fr. 1 **15–17** *PCG* Amphidis Fr. 6

2 ἕν ex DL add. Sambucus **4** μωρίας **φ**, corr. Iunius | lac. in **φ** et DL : ὥσπερ ⟨καὶ⟩ G. Hermann : ὡσπερ⟨εὶ⟩ Meineke **6** ἀνέπλασε **φ**, DL BF et *Suda* : ἀνέπλαττε ex DL Mueller | πεπλασμένα **φ**, DL et *Suda* : ὁ πεπλασμένα Athen. | θύματα *Suda* et Athen. **12** συγγενοῦς **φ** et DL BPF : συγγενῶς DL D et Iunius : συγγενοῦ Cobet **13** κόμμυον **φ**, corr. Iunius **15** ποτέ **φ** | οὗ Iunius ex DL : οὐ **φ** **17** post ἀγαθόν addit DL Πρόσεχε δή

(52) Ὁ Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. Καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ δ΄ προσώπων, Σωκράτους, Τιμαίου, ⟨τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου⟩· περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει Θρασύμαχον, Καλλικλέα, Πῶλον, Γοργίαν. 5

(67) Ἔλεγε δὲ τὴν μὲν ψυχὴν ἀρχὴν ἔχειν ἀριθμητικήν, τὸ δὲ σῶμα γεωμετρικήν· ὡρίζετο δὲ αὐτὴν | ἰδέαν τοῦ πάντῃ διεστῶτος πνεύματος, αὐτοκίνητόν τε εἶναι. f. 28r

56. Πύρρων 10

Πύρρων ὁ Ἠλεῖος Ἀναξάρχῳ συνακολουθῶν καὶ τοῖς Γυμνοσοφισταῖς καὶ τοῖς Μάγοις συνέμιξεν. Οὗτος τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν· οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν οὔτε αἰσχρὸν οὔτε δίκαιον οὔτε ἄδικον. Καὶ ὁμοίως ἐπὶ πάντων μηδὲν εἶναι τῇ ἀληθείᾳ, 15 νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον.

(63) Φασὶ δὲ αὐτὸν ἐκπατεῖν καὶ ἐρημάζειν, σπανίως ἐπιφαινόμενον τοῖς οἴκοι. Τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἰνδοῦ τινος ὀνειδίζοντος Ἀναξάρχῳ ὡς οὐκ ἂν ἕτερόν 20 τινα διδάξαι οὗτος ἀγαθόν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. Ἀεί τε εἶναι ἐν τῷ αὐτῷ καταστήματι, ὥστε εἰ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτῷ διαπεραίνειν τὸν λόγον. Πολλάκις δὲ καὶ ἀπεδήμει μηδενὶ προειπών, καὶ συνερέμβετο οἷστισιν ἤθελε. (64) Καταληφθεὶς δέ ποτε αὐτῷ λαλῶν καὶ ἐρωτηθεὶς τὴν αἰτίαν, 25

1–6 DL 3.52 **1–2** *Suda*, 2110 Ἔπεχε **7** Ἔλεγε δὲ – **9** DL 3.67 **11–17** ἕκαστον DL 9.61 **12–13** *Suda*, 2824 Ἐποχή **18** Φασὶ δὲ – **p. 131.5** ἐψηφίσθη DL 9.63–64

4–5 τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου ex DL suppl. Iunius **6** εἰσάγει οἷον DL | post Γοργίαν addit DL τε καὶ Πρωταγόραν **11** Ἀναξάρχῳ φ et DL F : Ἀναξάρχου (sc. ἤκουσε) DL BP **18** σπανίως ποτ(ὲ) DL

ἔφη μελετᾶν χρηστὸς εἶναι. Ἐν ταῖς ζητήσεσιν ὑπ' οὐδενὸς κατεφρονεῖτο διὰ τὸ ἐξοδικῶς λέγειν καὶ πρὸς ἐρώτησιν. Οὕτω δ' ὑπὸ τῆς πατρίδος ἐτιμήθη, ὥστε καὶ ἀρχιερεὺς κατέστη καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις
5 ἀτέλεια ἐψηφίσθη.

(66) Εὐσεβῶς δὲ καὶ τῇ ἀδελφῇ συνεβίω μαιευούσῃ. Καὶ φέρων εἰς τὴν †ἄνρυν† ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια· καὶ τὰ ἐπὶ τῆς οἰκίας ἐκάθαιρεν ἀδιαφόρως. Καὶ χολήσας τι περὶ τῆς ἀδελφῆς(Φιλίστα ἐκαλεῖτο) πρὸς
10 [δὲ] τὸν λαβόμενον εἶπεν ὡς οὐκ ἐν γυναίῳ ἐπίδειξις τῆς ἀδιαφορίας. Καὶ κυνός ποτε ἐπενεχθέντος, διασοβηθεὶς εἶπε πρὸς τὸν αἰτιασάμενον ὡς χαλεπὸν εἴη ὁλοσχερῶς ἐκδῦναι τὸν ἄνθρωπον· διηγωνίζετο δὲ πρῶτον μὲν ὡς οἷόν τε τοῖς ἔργοις πρὸς τὰ πράγματα, εἰ δε μή, τῷ γε
15 λόγῳ.

57. Ποτάμων

Ποτάμωνα τὸν Μιτυληναῖον ῥήτορα εἰς τὴν πατρίδα ἐπανιόντα ποτὲ ὁ Καῖσαρ Τιβέριος τοιούτοις ἐφωδίασε γράμμασι· "Ποτάμωνα τὸν Λεσβώνακτος εἴ τις ἀδικεῖν
20 τολμήσοι, σκεψάσθω εἴ μοι δυνήσεται πολεμεῖν."

58. Σίβυλλα

Σίβυλλα Ῥωμαϊκὴ λέξις ἐστίν, ἑρμηνευομένη προφῆτις ⟨ἤγουν μάντις⟩· ὅθεν αἱ θήλειαι μάντιδες ἐνὶ ὀνό-

6 Εὐσεβῶς – **15** DL 9.66 **17–20** *Suda,* 2127 Ποτάμων **22–p. 132.6** *Suda,* 361 Σίβυλλα

1 Ἔν τε ταῖς DL **6** μαιευούσῃ **A** et Iunius : μαιουούσῃ **φ** : μαιούσῃ DL BPF **7** ἄνρυν **φ** et DL B²P¹D : ἀγορὰν **A** et Iunius ex DL P²F **8** ἐκάθαιρεν **φ** : καθάροι DL **10** δὲ del. Flach, om. DL : δὴ Orelli | λαβόμενον **φ** et DL : ⟨ἐπι⟩λαβόμενον Kuehn **11** διασοβηθεὶς Iunius ex DL : διασοβηθέντος **φ** **23** ἤγουν μάντις supplevi e *Suda*

ματι Σίβυλλαι ὠνομάζοντο. Γεγόνασι δὲ Σίβυλλαι δέκα, ὧν πρώτη ἡ Χαλδαία, ἡ περὶ Χριστοῦ προφητεύσασα. Εἰ δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐκ αὐτῆς ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων, οὐ συμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου· ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεγομένων μνήμη. 5

59. Στησίχορος

f. 28ᵛ Στησίχορος ὁ λυρικὸς γράψας | ψόγον Ἑλένης ἐτυφλώθη, πάλιν δὲ γράψας Ἑλένης ἐγκώμιον ἀνέβλεψεν. Ἐκλήθη δὲ Στησίχορος ὡς πρῶτος ἐν κιθαρῳδίᾳ στήσας 10 χορόν· πρότερον γὰρ Τισίας ἐλέγετο.

60. Σαπφώ

Σαπφὼ ἡ Λεσβία δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου ἐκ τοῦ Λευκάτα κατεπόντισεν ἑαυτήν.

61. Σοφοκλῆς 15

Σοφοκλῆς ὁ τραγικὸς Μέλιττα ἐκαλεῖτο διὰ τὸ ἡδύ.

62. Σώφρων

Σώφρων Συρρακούσιος Ἀγαθοκλέους ἔγραψε καταλογάδην Δωρίδι διαλέκτῳ μίμους ἀνδρείους καὶ γυναικείους. Καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ ἐντυγχάνειν 20 αὐτοῖς, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

8–11 *Suda*, 1095 Στησίχορος **13–14** *Suda*, 108 Σαπφώ **16** *Suda*, 815 Σοφοκλῆς **18–21** *Suda*, 893 Σώφρων

1 Σίβυλλαι[1] om. *Suda* **10** ἐν **φ**, om. *Suda* **11** ἐλέγετο φ : ἐκαλεῖτο *Suda* **14** λευκάτα **φ** : Λευκάτου *Suda* | κατεπόντωσεν *Suda* **16** ἡδύ **φ** : γλυκύ *Suda*

63. Στίλπνων

Στίλπνων ὁ Μεγαρεὺς τοσοῦτον εὑρησιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. Ἀπέσπασε
5 μὲν οὖν καὶ ἄλλους πολλούς, Δίφιλον δὲ τὸν Βοσποριανὸν καὶ Μύρμηκα τὸν Ἐξαινέτου, παραγενομένους ὡς ἐλέγξοντας, ζηλωτὰς ἔσχε. (115) Τοῦτον ἀπεδέχετο καὶ Πτολεμαῖος ὁ Σωτήρ, καὶ ἐγκρατὴς Μεγάρων γενόμενος ἐδίδου τε ἀργύριον αὐτῷ καὶ παρεκάλει εἰς Αἴγυπτον
10 συμπλεῖν. Ὁ δὲ μέτριον μέν τι τἀργυριδίου προσήκατο, ἀρνησάμενος δὲ τὴν ὁδὸν μετῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. Ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνου καταλαβὼν τὰ Μέγαρα τήν τε οἰκίαν αὐτοῦ φυλαχθῆναι καὶ πάντα τὰ ἁρπασθέντα προὐνόησεν ἀποδοθῆναι. Ὅτε
15 καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν ἔφη μηδὲν τῶν ἰδίων ἀπολωλεκέναι· παιδείαν γὰρ μηδένα ἐξενηνοχέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην.

(116) Καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας
20 οὕτως εἷλεν, ὥστε προσέχειν αὐτῷ. Ἦν δ' ἀληθῶς κομψότατος (117) καὶ ἀφελὴς καὶ ἀνεπίπλαστος, πρός τε τὸν ἰδιώτην εὔθετος. (118) Οὗτος ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαλυμμένον, "Ὦ Κράτης," εἶπε, "δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ (ἤτοι νοῦ καὶ ἱματίου)." Καὶ ὃς
25 παρῳδήσας εἶπεν εἰς αὐτὸν οὕτω·

> Καὶ μὴν Στίλπνων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα
> ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

1–7 ἔσχε DL 2.113 **1–3** μεγαρίσαι *Suda,* 388 Μεγαρίσαι **7** Τοῦτον – **134.2** κατέτριβον DL 2.115–118 **26–p. 134.2** Cratetis B 1 Diels = *Suppl. Hell.* 347

5–6 τὸν Βοσποριανὸν Εὐφάντου DL **16** ἰδίων **φ** et DL B : οἰκείων DL PF **23** συγκεκαλυμμένον **φ** : συγκεκαυμένον DL PF : συγκεκαμμένον DL B **24** ὅπερ ἦν νοῦ καὶ ἱματίου DL BP : om. DL F **26** ἔχοντ' ἄλγεα **φ**

†Ἔνθεν τ'† ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

(120) Οὗτος ὁ Στίλπνων γηράσας καὶ νοσήσας οἶνον προσήκατο, ὡς τάχιον ἀποθάνῃ, ὃ καὶ γέγονεν. (119) Οὗτος ἀνῄρει τὰ εἴδη, καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον εἶναι μηδένα· οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε. Τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; Οὔτε ἄρα τόνδε. Καὶ πάλιν· Τὸ λάχανον | f. 29r οὐκ ἔστι τὸ δεικνύμενον· λάχανον γὰρ ἦν πρὸ μυρίων ἐτῶν· οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον.

64. Τίμαιος

Τίμαιος ὁ Ταυρομενείτης Γραοσυλλέκτρια ἐλέγετο διὰ τὸ τὰ τυχόντα ἀναγράφειν.

65. Τιμόλαος

Τιμόλαος ὁ Λαρισσαῖος, ῥήτωρ, ἐδιπλασίασε τὴν Ἰλιάδα παρεμβαλὼν στίχον πρὸς στίχον. Ἔχει δὲ οὕτως·

Μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος,
ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε
μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος.
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

66. Τριβωνιανός

Τριβωνιανὸς κολακεύων Ἰουστινιανὸν βασιλέα ἔπειθεν αὐτὸν ὅτι οὐκ ἀποθανεῖται, ἀλλὰ μετὰ σαρκὸς εἰς

3 Οὗτος – **4** γέγονεν cf. DL 2.120 **4** Οὗτος – **9** DL 2.119 **11–12** *Suda*, 602 Τίμαιος **14–21** *Suda*, 626 Τιμόλαος **23-p. 135.2** *Suda*, 956 Τριβωνιανός

1 ἔνθεν τ' φ : ἔνθε τ' DL BP[1] : ἔνθα τ' FP[4] et **A** : ἔνθ' ἔτ' Diels | ἐρίζεσκε φ **3** καὶ νοσήσας om. DL **4** ὃ καὶ γέγονεν om. DL **7** οὔτε φ et DL : οὐδ' Cobet **20** ἄϊδϊ φ

οὐρανοὺς ἁρπαγήσεται. Ἦν δὲ ὁ Τριβωνιανὸς Ἕλλην καὶ ἄθεος.

67. Τυρταῖος

Τυρταῖόν φασι τὸν ἐλεγειοποιὸν τοῖς μέλεσι χρησά-
5 μενον, ὅτε Λακεδαιμόνιοι Μεσηνίοις ἐπολέμουν, παροτρῦναι Λακεδαιμονίους καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι.

68. Τυραννίων

Τυραννίων ὁ Ἀμισηνός, Θεόφραστος πρὶν καλούμενος,
10 μετεκλήθη Τυραννίων, ὡς κατατρέχων τῶν ὁμοσχόλων. Οὗτος αἰχμάλωτος ὑπὸ Λουκούλλου ληφθεὶς καὶ πλούσιος ἐν Ῥώμῃ γενόμενος ἐκτήσατο βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας.

69. Ὑπατία

15 Ὑπατία ἡ Θέωνος θυγάτηρ, τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φυλόσοφος, διεσπάσθη ὑπὸ Ἀλεξανδρέων καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλης τῆς πόλεως διεσπάρη. Τοῦτο δὲ πέπονθε διὰ τὴν ὑπερβάλλουσαν σοφίαν, καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίας.

20
70. Φαίδων

Φαίδων Ἠλεῖος, ὁ Σωκράτους μαθητής, αἰχμάλωτος ὑπὸ Ἰνδῶν ληφθείς, εἶτα πραθεὶς πορνοβοσκῷ τινι, προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησιν ἐν Ἀθήναις. Ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ ἠράσθη τῶν λόγων αὐτοῦ

4–7 *Suda,* 1205 Τυρταῖος **9–13** *Suda,* 1184 Τυραννίων **15–19** *Suda,* 166 Ὑπατία **21–p. 136.4** *Suda,* 154 Φαίδων

1 ἁρπαγήσεται φ : ἀναληφθήσεται *Suda* **9** Ἀμισηνός Mueller e *Suda* : ἐμισηνὸς φ **17–18** καθ' ὅλην τὴν πόλιν *Suda* **18** διὰ φθόνον καὶ τὴν *Suda* **19** ἀστρονομίαν *Suda*

καὶ αἰτεῖ λύσασθαι. Ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν· καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. Οὗτος ἦρξε τῆς ἀπ' αὐτοῦ κληθείσης Ἠλειακῆς αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη.

71. Φερεκύδης 5

Φερεκύδην τὸν Σύριον (ἔστι δὲ μία τῶν Κυκλάδων νήσων ἡ Σύρα) φασὶ μὴ σχεῖν διδάσκαλον, ἀλλ' ἑαυτὸν ἀσκῆσαι κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. Οὗτος πρῶτος τὸν περὶ μετεμψυχώσεως λόγον εἰσήνεγκε. Γέγονε δὲ φθειρόβρωτος. 10

72. Φιλήμων

Φιλήμων ὁ Συρρακούσιος ὑπὸ σφοδροῦ γέλωτος ἐτελεύτησεν, ὡς δὴ καὶ Φιλιστίων ὁ Νικαεύς, εἰς ὃν καὶ ἔστι τοῦτο τὸ ἐπίγραμμα·

> Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον 15
> γέλωτι μίξας Νικαεὺς Φιλιστίων.

Οὗτος ἔγραψε τὸν Φιλόγελων. |

f. 29^{v}

73. Φιλίσκος

Φιλίσκον τὸν Μιλήσιον ῥήτορα, πρότερον αὐλητὴν ὄντα παραδοξότατον, Ἰσοκράτης ὁ ῥήτωρ Αὐλοτρύπην 20 ἐκάλει.

6–10 *Suda,* 214 Φερεκύδης **12** – ἐτελεύτησεν *Suda,* 327 Φιλήμων **13** ὡς δὴ καὶ – **17** *Suda,* 364 Φιλιστίων **15–16** *A. Pal.* 7.155.1–2 **19–21** *Suda,* 360 Φιλίσκος

3 ἀπὸ scripsi e *Suda* : ὑπὸ φ **7** μὴ φ : οὐ *Suda* **10** γέγονε δὲ φθειρόβρωτος φ : καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν *Suda* **13** δὴ Stephanus, Meursius : δὲ φ **16** μίξας φ : κεράσας *Suda, A. Pal.*

74. Φιλητᾶς

Φιλητᾶς ὁ Κῷος ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλού-
μενον ψευδόμενον λόγον ἀπέθανε.

75. Φίλων

5 Φίλων ὁ Ἑβραῖος τοσαύτην πρὸς Πλάτωνα ὁμοιότητα
ἔσχε κατά τε φράσιν καὶ διάνοιαν, ὡς καὶ εἰς παροιμίαν
παρ' Ἕλλησι τοῦτο χωρῆσαι· Ἢ Πλάτων φιλωνίζει, ἢ
Φίλων πλατωνίζει.

76. Φιλόστρατος

10 Φιλόστρατος ὁ Λήμνιος, ὁ τὰς Εἰκόνας γράψας, υἱὸς
ἦν τοῦ πρώτου σοφιστοῦ Φιλοστράτου Λημνίου. Οὗτος ὁ
δεύτερος ἐσοφίστευσεν ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ
Σεβήρου τοῦ βασιλέως.

77. Χοιρίλος

15 Χοιρίλος Σάμιος ποιητὴς ἔγραψε τὴν Ἀθηναίων νίκην
κατὰ Ξέρξου, ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα
χρυσοῦν ἔλαβε καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι
ἐψηφίσθη.

78. Χρύσιππος

20 Χρύσιππον τὸν φιλόσοφον αἰτιῶνταί τινες προνοεῖν
λέγοντα ὅπως ποριστέον τῷ σοφῷ. (189) Φασὶ γάρ· Τίνος
χάριν ποριστέον αὐτῷ; Εἰ μὲν γὰρ τοῦ ζῆν ἕνεκα, ἀδιά-
φορον τὸ ζῆν· εἰ δὲ ἡδονῆς, καὶ αὕτη ἀδιάφορον· εἰ δὲ τῆς

2–3 *Suda*, 332 Φιλήτας **5–8** *Suda*, 448 Φίλων **10–13** *Suda*, 421 Φιλόστρατος **15–18** *Suda*, 595 Χοιρίλος **20–p. 138.5** ἡ σοφία DL 7.188–189

14–15 χοιρίλλος φ **21** φασὶ γάρ om. DL **22** ἕνεκεν DL **23** αὐτὴ φ et DL B | ἀδιάφορος DL

ἀρετῆς, αὐτάρκης αὕτη πρὸς εὐδαιμονίαν. Καταγέλαστοι δέ, φασί, καὶ οἱ τρόποι τοῦ πορισμοῦ, οἷον οἱ ἀπὸ βασιλέως· εἴκειν γὰρ αὐτῷ δεήσει· καὶ οἱ ἀπὸ φιλίας· λήμματος γὰρ ὤνιος ἡ φιλία ἔσται· καὶ οἱ ἀπὸ σοφίας· μισθαρνήσει γὰρ ἡ σοφία. (181) Τοῦτον τὸν Χρύσιππόν 5 φασιν †ἥξειν† ἐπὶ φιλοσοφίαν τῆς οὐσίας αὐτοῦ τῆς πατρῴας εἰς τὸ βασιλικὸν ἀναληφθείσης.

5 Τοῦτον – **7** DL 7.181

2 φασι om. DL **6** ἥξειν **φ** et DL BP[1]F : ἐλθεῖν DL P[4]D

4. *Magnum Excerptum*

SIGLA

Φ Vaticanus gr. 96, s. XII medii, f. 29^v–88^r. Φ^2—corrector ante a. 1152. Φ^3—corrector aetatis recentioris[1]

Codicis Φ apographa

Ψ Vaticanus Palatinus gr. 93, ante annum 1152 exaratus, f. 10^v–41^v

Δ Athous 3624 = Διονυσίου 90, s. XIV exeuntis, f. 197^v–238^r.—Ed. Sp. Lambros, *Νέος Ἑλληνομνήμων* 3 (1906) 257–376 (codices Φ et Ψ non novit)

Π Parisinus suppl. gr. 134, s. XIV exeuntis, f. 195^v–232^v.—Ed. Lambros

1 Cf. N.S. Wilson, "The Scholarly Hands of the Middle Byzantine Period," in *La paléographie grecque et byzantine,* Centre National de la Recherche Scientifique, Colloques Internationaux, 559 (Parisiis, 1977) 235–237 (fig. 12–13).

CONSPECTUS MAGNI EXCERPTI

f. 29ᵛ

ΛΑΕΡΤΙΟΥ ΔΙΟΓΕΝΟΥΣ

ΒΙΩΝ ΦΙΛΟΣΟΦΩΝ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

⟨1. ΠΡΟΟΙΜΙΟΝ⟩

1.1 Τὸ τῆς φιλοσοφίας γένος ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. Γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Ἀσσυρίοις Χαλδαίους· Γυμνοσοφιστὰς παρὰ Ἰνδοῖς, παρὰ δὲ Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους. Φοίνικά τε γενέσθαι Ὦχον, καὶ 5 Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα.

Αἰγύπτιοι μὲν γάρ φασι Νείλου γενέσθαι παῖδα Ἥφαιστον, ὃν ἄρξαι φιλοσοφίας, ἧς τοὺς προεστῶτας 2 ἱερέας εἶναι καὶ προφήτας. Ἀπὸ δὲ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἐτῶν εἶναι μυριάδας δ′ καὶ ,ηωξγ′· ἐν 10 οἷς ἡλίου μὲν ἐκλείψεις γενέσθαι τριακοσίας ⟨ογ′⟩, σελήνης δὲ ωλβ′.

Ἀπὸ δὲ τῶν Μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρσην, εἰς Τροίας ἅλωσιν ἔτη γενέσθαι ,ε· ἕτεροι δὲ ἀπὸ τοῦ Ζωροάστρου εἰς τὴν Ξέρξου διάβασιν ἔτη χ′ φασι. 15

3 Καὶ ταῦτα μὲν οὕτως· κατὰ δὲ τὸ ἀληθὲς ἀπὸ Ἑλλήνων ἦρξατο. Γέγονε γὰρ παρὰ μὲν Ἀθηναίοις Μουσαῖος ὁ Εὐμόλπου, ὃς πρῶτος ἐποίησε Θεογονίαν καὶ Σφαῖραν· f. 30ʳ πρῶτός τε | ἔφη ἐξ ἑνὸς τὰ πάντα γενέσθαι καὶ εἰς ταὐτὸν

1 γένος : ἔργον PF **2–3** παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις PF **4** δὲ : τε PF **7** φασι : om. PF **11** ογ′ addidi ex PF **13** Ζωροάστρην : -ω- ss. -ο- Φ^2 **14** γενέσθαι : γεγονέναι PF **15** χ′ Φ et P^1F : ἑξακισχίλια P^5 **19** πρῶτος om. PF | γενέσθαι Φ et F : γίνεσθαι P

ἀναλύεσθαι· παρὰ δὲ Θηβαίοις Λίνος ὁ Ἑρμοῦ, ὃς ἐποί- 4
ησε κοσμολογίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζῴων
καὶ καρπῶν γενέσεις. Τούτου ἀρχὴ τῶν ποιημάτων ἥδε·

Ἦν ποτέ τοι χρόνος οὗτος, ἐν ᾧ ἅμα πάντα πεφύκει.

5 Ὅθεν λαβὼν ἔφη Ἀναξ⟨αγ⟩όρας πάντα χρήματα γεγονέ-
ναι ὁμοῦ, νοῦν δὲ ἐλθόντα ταῦτα διακοσμῆσαι.

Οἱ δὲ φάσκοντες ἀπὸ βαρβάρων ἄρξαι φιλοσοφίαν 6
καὶ τὸν τρόπον παρ' ἑκάστοις αὐτῆς ἐκτίθενται· καί φασι
τοὺς μὲν Γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀπο-
10 φθεγγομένους φιλοσοφῆσαι· σέβειν τε θεὸν καὶ μηδὲν
κακὸν δρᾶν καὶ ἀνδρίαν ἀσκεῖν. Τοὺς γοῦν Γυμνοσοφισ-
τὰς καὶ θανάτου καταφρονεῖν· τοὺς δὲ Χαλδαίους περὶ
ἀστρονομίαν καὶ πρόρρησιν ἠσχολῆσθαι· τοὺς δὲ Μάγους
περὶ θεραπείας θεῶν διατρίβειν. Ἀποφαίνεσθαι τε περὶ
15 οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ
ὕδωρ· τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν
λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. Περί τε 7
δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ
θάπτειν· καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι.
20 Ἀσκεῖν τε πρόρρησιν καὶ μαντικήν, καὶ αὐτοῖς θεοὺς
ἐμφανίζεσθαι. Εἰδώλων τε πλήρη εἶναι τὸν ἀέρα, κατὰ
ἀπόρροιαν ἀπὸ ἀναθυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι
τῶν ὀξυδερκῶν. Προκοσμήματα τε καὶ χρυσοφορίας ἀπα-
γορεύειν. Τούτων δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ
25 λάχανον τροφή, τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος
ἡ βακτηρία, ᾧ κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνῃροῦντο

5–6 cf. DL 2.6; Aët. 1.3.5; 59 B 1 DK

2 κοσμολογίαν ΦF[1]V : κοσμογονίαν PF[2] **3** τούτου : τούτωι P : τούτων F **4** πάντα πεφύκει : πάντ' ἐπεφύκει PF **5** ἀναξόρας Φ, correxi **6** ταῦτα : αὐτὰ PF **10** τε om. BPF | θεὸν : θεοὺς BPF **13** ἠσχολῆσθαι : ἀσχολεῖσθαι BP **14** περὶ Φ et F : περί τε BP **20** αὐτοῖς θεοὺς Φ et BP : θεοὺς αὐτοῖς F **22** ἀπὸ : ὑπὸ BPF

καὶ ἀπήσθιον.

8 Τὴν δὲ γοητικὴν καὶ μαγείαν οὐκ ἔγνωσαν, ὡς τὸν Ζωροάστρην μεθερμηνευόμενον ἀστροθύτην σημαίνειν. Καὶ πρεσβυτέρους δὲ εἶναι τούτους τῶν Αἰγυπτίων φασί. Καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ 5 κακόν· καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ **9** δὲ Ἅιδης καὶ Ἀριμάνιος. Οἱ δὲ Μάγοι καὶ ἀναβιώσεσθαι τοὺς ἀνθρώπους καὶ ἀθανάτους ἔσεσθαι ἔφασαν. Εἶπον δέ τινες καὶ τοὺς Γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν Μάγων· ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι, ἐπεὶ 10 Ἀβραὰμ ὁ τούτων πρόγονος Χαλδαῖος ἦν. Καταγινώσκουσι δὲ Ἡροδότου οἱ περὶ Μάγων γράψαντες· μὴ γὰρ ἂν ἐς τὸν ἥλιον βέλη Ξέρξην ἀκοντίσαι, μηδ' εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν Μάγων παραδεδομένους. 15

10 Ἡ δὲ τῶν Αἰγυπτίων φιλοσοφία φάσκει ἀρχὴν μὲν εἶναι τὴν ὕλην, εἶτα τὰ δ' στοιχεῖα ἐξ αὐτῆς διαιρεθῆναι καὶ ζῷά τινα ἀποτελεσθῆναι. Θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην, τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν καλουμένην· αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ ἱέρακος. Κατα- 20 σκευάζειν δὲ ἀγάλματα καὶ τεμένη τῷ μὴ εἰδέναι τὴν τοῦ **11** θεοῦ μορφήν. Τὸν κόσμον γενητὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ. Τοὺς ἀστέρας πῦρ εἶναι καὶ τῇ τούτων κράσει τὰ | f. 30ᵛ ἐπὶ γῆς γίνεσθαι· σελήνην ἐκλείπειν εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν. Τὴν ψυχὴν καὶ ἐπιδιαμένειν καὶ μετεμ- 25

12–14 cf. Herod. 5.105 et 7.35; 8.109.3

2 καὶ Φ et B : om. F | οὐκ : οὐδ' BPF **3** Ζωροάστρην : -ω- ss. -ο- Φ² | σημαίνειν : εἶναι BPF **5–6** καὶ κακὸν δαίμονα BPF **6** ὡρομάσδης in mg γρ. Φ : ὁρμίσδας Φ in textu **10–11** ἐπεὶ ἀβραὰμ ὁ τούτων πρόγονος χαλδαῖος ἦν Φ : om. BPF **12** τὰ περὶ μάγων BPF **17** διαιρεθῆναι : διακριθῆναι BPF **20** διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων BPF

βαίνειν. Ὑετοὺς κατὰ ἀέρος τροπὴν ἀποτελεῖσθαι. Τὰ εὔχρηστα τῶν ζῴων θεοὺς ἐδόξασαν. Λέγουσι δὲ αὐτοὶ εὑρεῖν ἀστρολογίαν, γεωμετρίαν, ἀριθμητικήν.

Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας καὶ **12**
5 ἑαυτὸν φιλόσοφον, διαλεγόμενος Λέοντι τῷ Φλιασίων τυράννῳ· μηδένα γὰρ εἶναι σοφὸν ἄνθρωπον ἀλλ' ἢ θεόν. Σοφὸς δὲ ἐκαλεῖτο ὃς ἂν εἴη κατὰ ἀκρότητα ψυχῆς ἀπηκριβωμένος. Οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο, καὶ οἱ ποιηταὶ σοφισταί.

10 Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί, ἥ τε ἀπὸ Ἀναξι- **13** μάνδρου καὶ ἡ ἀπὸ Πυθαγόρου· ὧν Ἀναξίμανδρος μὲν Θαλοῦ διακήκοε, Πυθαγόρας δὲ Φερεκύδου. Καὶ ἐκαλεῖτο ἡ μὲν Ἰωνική, ὅτι Θαλῆς Ἰώνων· Μιλήσιος γάρ· ἡ δὲ Ἰταλικὴ ἀπὸ Πυθαγόρου, ὅτι κατὰ τὴν Ἰταλίαν τὰ πλεῖ-
15 στα ἐφιλοσόφησε. Καταλήγει δὲ ἡ μὲν εἰς Κλειτόμαχον **14** καὶ Χρύσιππον καὶ Θεόφραστον, ἡ Ἰωνική· ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θαλοῦ μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης, οὗ Πλάτων ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συστησάμενος· οὗ
20 Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων, οὗ Κράντωρ καὶ Κράτης, οὗ Ἀρκεσίλαος ὁ τὴν μέσην Ἀκαδημίαν εἰσηγησάμενος· οὗ Λακύδης ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας· οὗ Καρνεάδης, οὗ Κλειτόμαχος. Καὶ ὧδε μὲν εἰς Κλειτόμαχον.

25 Εἰς δὲ Χρύσιππον οὕτως· Σωκράτους Ἀντισθένης, οὗ **15** Διογένης ὁ Κύων, οὗ Κράτης ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιττιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. Εἰς δὲ Θεόφραστον οὕτως· Πλάτωνος Ἀριστοτέλης, οὗ Θεόφραστος.

Καὶ ἡ μὲν Ἰωνικὴ τοῦτον καταλήγει τὸν τρόπον, ἡ δὲ
30 Ἰταλικὴ οὕτως· Φερεκύδου Πυθαγόρας, οὗ Τηλαύγης ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ Ναυσιφάνης καὶ Να⟨υ⟩κύδης, ὧν Ἐπίκουρος.

13 Ἰώνων : Ἴων ὢν BPF **25** οὕτως : οὕτω καταλήγει BPF **30** φερεκύδους BPF **33** Να⟨υ⟩κύδης scripsi ex BPF : λακύδης Φ

16 Τῶν δὲ φιλοσόφων οἱ μὲν γεγόνασι δογματικοί, οἱ δὲ ἐφεκτικοί· δογματικοὶ μὲν ὅσοι περὶ πραγμάτων ἀποφαίνονται ὡς καταληπτῶν, ἐφεκτικοὶ δὲ ὅσοι ἐπέχουσι περὶ αὐτῶν ὡς ἀκαταλήπτων.

18 Τριῶν δὲ μερῶν ὄντων φιλοσοφίας, φυσικοῦ, ἠθικοῦ, 5 διαλεκτικοῦ, μέχρι μὲν Ἀρχελάου τὸ φυσικὸν εἶδος ἦν, ἀπὸ δὲ Σωκράτους τὸ ἠθικόν, ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου τὸ διαλεκτικόν.

2. ΠΕΡΙ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΑΙΡΕΣΕΩΝ

19 Γεγόνασι δὲ αἱρέσεις δέκα· Ἀκαδημαϊκὴ ἀπὸ 10 Πλάτωνος, Κυρηναϊκὴ ἀπὸ Ἀριστίππου, Ἠλειακὴ ἀπὸ Φαίδωνος τοῦ Ἠλείου, Μεγαρικὴ ἀπὸ Εὐκλείδου τοῦ Μεγαρέως, Κυνικὴ ἀπὸ Ἀντισθένους Ἀθηναίου, Ἐρετρικὴ ἀπὸ Μενεδήμου Ἐρετριέως, Διαλεκτικὴ ἀπὸ f. 31r Κλειτομάχου | τοῦ Καρχηδονίου, Περιπατητικὴ ἀπὸ 15 Ἀριστοτέλους, Στωϊκὴ ἀπὸ τοῦ Κιττιέως Ζήνωνος· ἡ δὲ **20** Ἐπικούρειος ἀπ' αὐτοῦ κέκληται Ἐπικούρου. Τὴν δὲ Πυρρώνειον ἐκβάλλουσι διὰ τὴν ἀσάφειαν, καὶ ὅτι οὐδὲ δόγματα ἔχει, ὧν προσταίη.

3. ΔΟΞΑΙ ΚΥΡΗΝΑΙΚΩΝ 20

2.86 Καὶ οἱ μὲν Κυρηναϊκοὶ δόξαις ἐχρῶντο τοιαῖσδε· δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν, τὴν μὲν λείαν κίνησιν, τὴν ἡδονήν, λέγοντες, τὸν δὲ πόνον τραχεῖαν **87** κίνησιν. Μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἴδιόν τι εἶναι· καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δ' ἀπο- 25 κρουστικόν. Ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, οὐ τὴν καταστηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναί φασι. Δοκεῖ δ' αὐτοῖς καὶ

2 τῶν πραγμάτων BPF **23** λέγοντες om. BPF **24** ἴδιον **Φ** et B[1] : ἥδιον (B[2])PF

τέλος εὐδαιμονίας διαφέρειν. Τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι.

5 Εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν· τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτὴν αἱρετήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. Πίστιν δ' ⟨εἶναι⟩ τοῦ τέλος εἶναι τὴν ἡδονὴν τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ᾠκειῶσθαι αὐτῇ, καὶ τυχόντας αὐτῆς μηδὲν ἐπιζητεῖν μηδέν τε οὕτω φεύγειν 10 ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα. Εἶναι δὲ τὴν ἡδονὴν ἀγαθόν, κἂν ἀπὸ τῶν ἀσχημοτάτων γίνηται. Εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν. **88**

Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις, ὡς εἴρηται παρ' 15 Ἐπικούρῳ, δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή· οὐδὲ ἡ ἀηδονία ἀλγηδών. Ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως, ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις. Δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν. Οὐ πάσας 20 μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ἐπὶ σωματικαῖς ἡδοναῖς καὶ ἀλγηδόσι γίνεσθαι. Καὶ γὰρ ἐπὶ ψιλῇ τῇ τῆς πατρίδος εὐημερίᾳ ἤπερ τῇ ἰδίᾳ χαρὰν ἐγγίνεσθαι. Ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν ἢ προσδοκίαν [ἢ] ἡδονήν φασιν ἀποτελεῖσθαι, ὅπερ ἤρεσκεν Ἐπικούρῳ. 25 Ἐκλύεται γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. **89** **90**

Λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίνεσθαι ἡδονάς. Τῶν γοῦν μιμουμένων θρήνους ἡδέως ἀκούομεν, τῶν δὲ κατ' ἀλήθειαν ἀηδῶς. Μέσας τε καταστάσεις ὠνόμαζον ἀηδίαν καὶ ἀπονίαν. Πολὺ μέντοι τῶν 30 ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. Ὅθεν καὶ ταύτα⟨ι⟩ς κολάζεσθαι

6 αἱρετήν om. BPF **7** εἶναι[1] addidi ex BPF **8** αὐτῇ : πρὸς αὐτήν BPF **24** ἢ delevi, om. BPF **29** ἀηδίαν **Φ** et BP[1] : ἀηδονίαν F **31** ταύτα⟨ι⟩ς scripsi ex BPF : ταύτας **Φ**

μᾶλλον τοὺς ἁμαρτάνοντας. Χαλεπώτερον γὰρ τὸ πονεῖν, οἰκειότερον δὲ τὸ ἥδεσθαι ὑπελάμβανον. Ἔνθεν καὶ πλείονα οἰκονομίαν περὶ θάτερον ἐποιοῦντο. Διὸ καὶ καθ' αὑτὴν αἱρετῆς οὔσης τῆς ἡδονῆς, τὰ ποιητικὰ ἐνίων ἡδονῶν ὀχληρὰ πολλάκις ἐναντιοῦσθαι· ὡς δυσκολώ- 5 τατον αὐτοῖς φαίνεσθαι τὸν ἀθροισμὸν τῶν ἡδονῶν εὐδαιμονίαν μὴ ποιοῦντα.

f. 31v Ἀρέσκει δ' αὐτοῖς μήτε | τὸν σοφὸν πάντα ἡδέως ζῆν, **91** μήτε πάντα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ τὸ πλεῖστον. Ἀρκεῖ δὲ κἂν κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπ- 10 αγάγῃ. Τὴν φρόνησιν ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' αὑτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγινόμενα. Τὸν φίλον τῆς χρείας ἕνεκα· καὶ γὰρ μέρος σώματος, μέχρις ἂν παρῇ, ἀσπάζεσθαι. Τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. Τὴν σωματικὴν ἄσκησιν 15 συμβάλλεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. Τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν· γίνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. Λυπήσεσθαι **92** μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. Καὶ τὸν πλοῦτον δὲ ποιητικὸν ἡδονῆς εἶναι καὶ οὐ δι' αὑτὸν αἱ- 20 ρετόν.

Τά τε πάθη καταληπτά. Ἔλεγον οὖν αὐτά, οὐκ ἀφ' ὧν γίνεται. Ἀφίσταντο δὲ καὶ τῶν φυσικῶν διὰ τὴν ἐμφαινομένην ἀκαταληψίαν· τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν ἥπτοντο. Φασὶ δὲ αὐτοὺς ἄχρηστα ἡγεῖσθαι τό τε φυσικὸν 25 μέρος καὶ τὸ διαλεκτικόν. Δύνασθαι γὰρ καὶ εὖ λέγειν καὶ δεισιδαιμονίας ἐκτὸς εἶναι καὶ τὸν περὶ θανάτου φόβον ἐκφεύγειν τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον ἐκμεμαθη- **93** κότα. Μηδέν τε εἶναι φύσει δίκαιον ἢ καλὸν ἢ αἰσχρόν, ἀλλὰ νόμῳ καὶ ἔθει. Ὁ μέντοι σπουδαῖος οὐδένα τρόπον 30

14 περὶ scripsi ex BPF : παρὰ **Φ** **18** γὰρ scripsi ex BPF : δὲ **Φ** **20** καὶ ss. **Φ**[2] : om. BPF **25** ἄχρηστα scripsi ex BPF : ἄχρηστον **Φ** **30** οὐδένα τρόπον **Φ** et BFP[1] in mg : οὐδὲν ἄτοπον P[1] in textu

πράξει διὰ τὰς ἐπικειμένας ζημίας καὶ δόξας· εἶναι δὲ τὸν σοφόν. Προκοπήν τε ἀπολείπουσι καὶ ἐν σοφίᾳ καὶ ἐν τοῖς ἄλλοις. Φασὶ δὲ καὶ λυπεῖσθαι ἄλλον ἄλλου μᾶλλον, καὶ τὰς αἰσθήσεις μὴ πάντοτε ἀληθεύειν.

5 4. ΠΕΡΙ ΤΩΝ ΗΓΗΣΙΑΚΩΝ

Οἱ δὲ Ἡγησιακοὶ λεγόμενοι σκοποὺς μὲν εἶχον τοὺς αὐτούς, ἡδονὴν καὶ πόνον. Μήτε δὲ χάριν τινὰ εἶναι, μήτε φιλίαν, μήτ' εὐεργεσίαν, διὰ τὸ μὴ δι' αὐτὰ ταῦτα αἱρεῖσθαι ἡμᾶς, ἀλλὰ διὰ τὰς χρείας καὶ αὐτούς, ὧν ἀπόντων 10 μηδ' ἐκεῖνα ὑπάρχειν. Τὴν εὐδαιμονίαν ὅλως ἀδύνατον **94** εἶναι· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν· ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. Τήν τε ζωὴν 15 καὶ τὸν θάνατον αἱρετόν. Φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδὲς ὑπελάμβανον· διὰ δὲ σπάνιν ἢ ξενισμὸν ἢ κόρον τοὺς μὲν ἥδεσθαι, τοὺς δ' ἀηδῶς ἔχειν. Πενίαν καὶ πλοῦτον πρὸς ἡδονῆς λόγον εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. Δουλείαν ἐπίσης ἐλευ- 20 θερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν δυσγενείᾳ, καὶ δόξαν ἀδοξίᾳ. Καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν **95** λυσιτελὲς εἶναι, τῷ δὲ φρονίμῳ ἀδιάφορον. Τόν τε σοφὸν ἑαυτοῦ ἕνεκα πᾶν πράξειν· οὐδέν⟨α⟩ γὰρ ἡγεῖσθαι τῶν ἄλλων ἐπίσης ἄξιον ἑαυτῷ. Κἂν γὰρ τὰ μέγιστα δοκῇ 25 παρ' αὐτοῦ καρποῦσθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παρέχει. Ἀνῄρουν δὲ καὶ τὰς αἰσθήσεις, οὐκ ἀκριβούσας τὴν ἐπίγνωσιν· τῶν τ' εὐλόγως φαινομένων πάντα πράττειν. Ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν·

2 ἀπολειπούση **Φ**, correxi ex BPF | σοφίᾳ : φιλοσοφίᾳ BPF **7** τινὰ : τι BPF **8** post αἱρεῖσθαι addunt αὐτά BP **23** πᾶν **Φ**BF : πάντα P | οὐδέν⟨α⟩ scripsi ex BPF : οὐδὲν **Φ** **24** ἑαυτῶ : αὐτῷ BPF **26** παρίσχει BP

οὐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλά τινι πάθει κατηναγκασμένον. Καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. Τόν τε
f. 32ʳ σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν | ἀγαθῶν αἱρέσει,
96 ὡς ἐν τῇ τῶν κακῶν φυγῇ, τέλος τιθέμενον τὸ μὴ ἐπιπόνως ζῆν μηδὲ λυπηρῶς· ὃ δὴ γίνεσθαι τοῖς ἀδιαφορήσασι περὶ 5 τὰ ποιητικὰ τῆς ἡδονῆς.

5. ΠΕΡΙ ΑΝΝΙΚΕΡΕΙΩΝ

Οἱ δ' Ἀννικέρειοι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ τούτοις· ἀπέλιπον δὲ καὶ φιλίαν ἐν βίῳ καὶ χάριν καὶ πρὸς γονέας τιμὴν καὶ ὑπὲρ πατρίδος τι πράξειν. Ὅθεν διὰ ταῦτα, κἂν 10 ὀχλήσεις δέξηται ὁ σοφός, οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα περιγίνηται αὐτῷ. Τήν τε τοῦ φίλου εὐδαιμονίαν δι' αὑτὴν μὴ εἶναι αἱρετήν· μηδὲ γὰρ αἰσθητὴν τῷ πέλας ὑπάρχειν. Μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι καὶ τῆς τῶν πολλῶν δόξης 15 ὑπεράνω γενέσθαι· δεῖ δὲ ἀνεθίζεσθαι διὰ τὴν ἐκ πολλοῦ
97 συντραφεῖσαν ἡμῖν φαύλην διάθεσιν. Τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ἀπολιπουσῶν μὴ ἐπιστρέφεσθαι, ἀλλὰ καὶ παρὰ τὴν γεγονυῖαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομένειν. Καίτοι τιθέμενον ἡδονὴν 20 τέλος καὶ ἀχθόμενον ἐπὶ τῷ στέρεσθαι αὐτῆς, ὅμως ἑκουσίως ὑπομένειν διὰ τὴν πρὸς τὸν φίλον στοργήν.

Καὶ αὗται μὲν αἱ τῆς Κυρηναϊκῆς αἱρέσεως δόξαι· αἱ δὲ τῆς Ἀκαδημαϊκης ἤτοι τῆς τοῦ Πλάτωνος αἵδε.

6. ΔΟΞΑΙ ΑΚΑΔΗΜΑΙΚΑΙ ΗΤΟΙ ΠΛΑΤΩΝΙΚΑΙ 25

3.68 Ἔλεγε τὴν ψυχὴν περιέχειν ἐκ τοῦ μέσου διαπαντὸς κύκλῳ τὸ σῶμα καὶ συνεστάναι ἐκ τῶν στοιχείων. Διαιρεθεῖσάν τε κατὰ ἁρμονικὰ διαστήματα δύο κύκλους ποιεῖν συνημμένους, ὧν τὸν ἐντὸς κύκλον ἑξαχῇ τμηθέντα

4 μὴ ss. Φ[1] **5** γίνεσθαι : περιγίνεσθαι BPF **9** ἀπέλιπον Φ[1] et F : ἀπέλειπον ss. Φ[1] et BP **11** δέξηται : ἀναδέξηται BPF **18** ἀπολειπουσῶν BPF **29** ἐντὸς scripsi ex BPF et Plat. *Tim.* 36 d 2 : ἐκτὸς Φ

τοὺς ἅπαντας ζ´ κύκλους ποιεῖν. Καὶ τοῦτον μὲν κατὰ διάμετρον κεῖσθαι ἐπ' ἀριστερὰ ἔσωθεν, τὸν δὲ κατὰ πλευρὰν ἐπὶ τὰ δεξιά. Διὸ καὶ κρατεῖν αὐτὸν ἕνα ὄντα· τὸν γὰρ ἕτερον ἔσωθεν διῃρῆσθαι. Καὶ τὸν μὲν εἶναι
5 ταὐτοῦ, τοὺς δὲ θατέρου, λέγων τὴν τῆς ψυχῆς κίνησιν εἶναι, τὴν δὲ τοῦ ὅλου κατὰ τὰς τῶν πλανωμένων φοράς.

Οὕτω δ' ἐχούσης τῆς ἐκ μέσου τομῆς αὐτῇ προσαρμο- **69** ζομένης πρὸς τὰ ἔσχατα γινώσκειν τά τε ὄντα καὶ ἐναρμόζειν διὰ τὸ ἔχειν ἐν αὐτῇ τὰ στοιχεῖα κατὰ ἁρμονίαν.
10 Καὶ γίνεσθαι δόξαν μὲν κατὰ τὸν θατέρου κύκλον ὀρθουμένου, ἐπιστήμην δὲ κατὰ τὸν ταὐτοῦ. Δύο δὲ τῶν πάντων ἀπέφαινεν ἀρχάς, θεὸν καὶ ὕλην, ὃν καὶ νοῦν προσαγορεύει καὶ αἴτιον. Εἶναι δὲ τὴν ὕλην ἀσχημάτιστον καὶ ἄπειρον, ἐξ ἧς γίνεσθαι τὰ συγκρίματα. Ἀτάκτως
15 δέ ποτε αὐτὴν κινουμένην ὑπὸ τοῦ θεοῦ συναχθῆναι εἰς ἕνα τόπον, τάξιν ἀταξίας κρείττονα ἡγησαμένου. Τρα- **70** πέσθαι δὲ τὴν οὐσίαν ταύτην εἰς τὰ δ´ στοιχεῖα, ἐξ ὧν αὐτόν τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ γεννᾶσθαι. Μόνην δὲ τὴν γῆν ἀμετάβολον εἶναί φησι, κομίζων αἰτίαν τὴν τῶν
20 σχημάτων διαφοράν, ἐξ ὧν συνέστηκε. Τῶν μὲν γὰρ ἄλλων ὁμογενῆ φησιν εἶναι τὰ σχήματα (ἅπαντα γὰρ ἐξ ἑνὸς συγκεῖσθαι τοῦ προμήκους τριγώνου), τῆς δὲ γῆς ἴδιον εἶναι τὸ σχῆμα· πυρὸς μὲν γὰρ εἶναι στοιχεῖον | πυραμίδα, ἀέρος τὸ ὀκτάεδρον, ὕδατος τὸ εἰκοσάεδρον, f. 32ᵛ
25 γῆς δὲ κύβον. Ὅθεν μήτε γῆν εἰς ταῦτα μεταβάλλειν, μήτε ταῦτα εἰς γῆν.

Οὐ διακεκρίσθαι δ' εἰς τοὺς οἰκείους τόπους ἕκαστον, **71** ὅτι ἡ περιφορὰ σφίγγουσα καὶ πρὸς τὸ μέσον συνάγουσα συγκρίνει τὰ μικρά, τὰ δὲ διακρίνει, τὰ μεγάλα. Διόπερ
30 τὰ εἴδη μεταβάλλοντα καὶ τοὺς τόπους μεταβάλλειν.

2 κεῖσθαι Φ et BPF : κ⟨ιν⟩εῖσθαι *ed. Bas.* **6** κατὰ : καὶ BPF **12** ἀπέφαινεν : ἀπέφηνεν BPF **15** ὑπὸ τοῦ θεοῦ φησιν BPF **17** post στοιχεῖα addunt πῦρ, ὕδωρ, ἀέρα, γῆν BPF **19** κομίζων Φ et BP[1] : νομίζων FP[2] **20** συνέστηκε : σύγκειται BPF **28** τὸ Φ et PF : τὸν B

Κόσμον δὲ εἶναι ἕνα γενητόν, ἐπειδὴ καὶ αἰσθητός ἐστιν ὑπὸ θεοῦ κατεσκευασμένος· ἔμψυχόν τε εἶναι διὰ τὸ κρεῖττον εἶναι τὸ ἔμψυχον τοῦ ἀψύχου, τοῦτο δὲ δημιούργημα ὑποκεῖσθαι τοῦ βελτίστου αἰτίου. Ἕνα τε αὐτὸν καὶ οὐκ ἄπειρον κατεσκευάσθαι, ὅτι καὶ τὸ ὑπό- 5
72 δειγμα ἓν ἦν, ἀφ' οὗ αὐτὸν ἐδημιούργησε· σφαιροειδῆ δὲ διὰ τὸ τὸν γεννήσαντα τοιοῦτον ἔχειν σχῆμα. Ἐκεῖνον μὲν γὰρ περιέχειν τἆλλα ζῷα, τοῦτον δὲ τὰ σχήματα πάντων. Λεῖον δὲ καὶ οὐδὲν ἔχοντα ὄργανον κύκλῳ διὰ τὸ μηδεμίαν εἶναι χρῆσιν αὐτῷ. Ἀλλὰ μὴν καὶ ἄφθαρτον 10 διαμένειν τὸν κόσμον διὰ τὸ μὴ διαλύεσθαι εἰς τὸν θεόν. Καὶ τῆς μὲν ὅλης γενέσεως αἴτιον εἶναι τὸν θεόν, ὅτι πέφυκεν ἀγαθοποιὸν εἶναι τὸ ἀγαθόν· τοῦ δὲ οὐρανοῦ τῆς γενέσεως τὸ ⟨*⟩ αἴτιον· τοῦ γὰρ καλλίστου τῶν γενητῶν τὸ ἄριστον εἶναι τῶν νοητῶν αἴτιον. Ὥστε ἐπεὶ τοιοῦτος ὁ 15 θεός, ὅμοιος δὲ τῷ ἀρίστῳ ὁ οὐρανὸς κάλλιστός γε ὤν, οὐθενὶ ἂν ὅμοιος εἴη τῶν γενητῶν ἀλλ' ἢ τῷ θεῷ.

73 Συνεστάναι δὲ τὸν κόσμον ⟨ἐκ πυρός, ὕδατος, ἀέρος, γῆς⟩. Ἐκ πυρὸς μέν, ὡς ὁρατὸς ᾖ· ἐκ γῆς δέ, ὅπως στερεός· ἐξ ὕδατος δὲ καὶ ἀέρος, ὅπως ἀνάλογος (αἱ γὰρ τῶν στερε- 20 ῶν δυνάμεις δύο μεσότησιν ἀναλογοῦσιν, ὡς ἓν γενέσθαι τὸ πᾶν)· ἐξ ἁπάντων δέ, ἵνα τέλειος καὶ ἄφθαρτος ᾖ.

Χρόνον τε γενέσθαι εἰκόνα τοῦ ἀϊδίου. Κἀκεῖνον μὲν ἀεὶ μένειν, τὴν δὲ τοῦ οὐρανοῦ φορὰν χρόνον εἶναι· καὶ γὰρ νύκτα καὶ ἡμέραν καὶ μῆνα καὶ τὰ τοιαῦτα πάντα 25 χρόνου μέρη εἶναι. Διόπερ ἄνευ τῆς τοῦ κόσμου φύσεως οὐκ εἶναι χρόνον· ἅμα γὰρ ὑπάρχειν αὐτὸν καὶ χρόνον εἶναι.

1 δὲ : τε BPF **3** δὲ Φ et BF : τε P **7** διὰ τὸ καὶ τὸν BPF **8** τἆλλα Φ et B : τὰ ἄλλα PF **10** αὐτῷ : αὐτῶν BPF **14** τὸ αἴτιον Φ et BPF : τὸ ἄριστον αἴτιον D **18–19** ἐκ πυρός, ὕδατος, ἀέρος, γῆς supplevi ex BPF **19** ὡς : ὅπως BPF **21** μεσότησιν Φ et F : μεσότητες BP **27** αὐτὸν ΦF : αὐτῷ BP

Πρὸς δὲ χρόνου γένεσιν ἥλιον καὶ σελήνην καὶ τὰ **74**
πλανώμενα γενέσθαι. Ὅπως δὲ διάδηλος ὁ τῶν ὡρῶν ᾖ
ἀριθμὸς καὶ μετάσχοι τὰ ζῷα ἀριθμοῦ, τὸ τοῦ ἡλίου φῶς
ἀνάψαι τὸν θεόν. Εἶναι δὲ ὑπὲρ μὲν τῶν ἐκ γῆς κύκλων
5 σελήνην, ἐν δὲ τῷ ἐχομένῳ ἥλιον, ἐν δὲ τοῖς ἐπάνω τοὺς
πλάνητας. Ἔμψυχον δὲ πάντως διὰ τὸ ἐμψύχῳ φορᾷ
φέρεσθαι. Ἵνα δὲ ὁ κόσμος τελειωθῇ γενόμενος ὁμοίως τῷ
νοητῷ ζῴῳ, τὴν τῶν ἄλλων ζῴων γενέσθαι φύσιν. Ἐπεὶ
οὖν ἐκεῖνος εἶχε, καὶ τὸν οὐρανὸν δεῖν ἔχειν. Θεοὺς μὲν
10 οὖν ἔχειν τὸ πολὺ πυρίνους· εἶναι δὲ τρία γένη τἆλλα,
πτηνόν, ἔνυδρον, πεζόν. Γῆν δὲ πρεσβυτάτην μὲν εἶναι | **75**
τῶν ἐν οὐρανῷ θεῶν· γενέσθαι δὲ δημιούργημα ὡς νύκτα f. 33r
καὶ ἡμέραν ποιεῖν· οὖσαν δ' ἐπὶ τοῦ μέσου κινεῖσθαι περὶ
τὸ μέσον. Ἐπεὶ δ' αἰτίαι εἰσὶ δύο, τὰ μὲν †διὰ μονὴν†
15 εἶναι, τὰ δ' ἐξ ἀναγκαίας αἰτίας φησί. Ταῦτα δ' ἐστὶν
ἀήρ, πῦρ, γῆ, ὕδωρ· καὶ οὐκ ὄντα μὲν στοιχεῖα κατ' ἀκρί-
βειαν, ἀλλὰ δεκτικά. Ταῦτα δὲ ἐκ τῶν τριγώνων εἶναι
συντιθεμένων καὶ διαλύεσθαι εἰς ταῦτα· στοιχεῖα δὲ
αὐτῶν εἶναι τό τε ἑτερόμηκες τρίγωνον καὶ ἰσοσκελές.

20 Ἀρχὰς μὲν οὖν εἶναι καὶ αἴτια τὰ λεχθέντα δύο μέν, **76**
ὧν παράδειγμα τὸν θεὸν καὶ τὴν ὕλην· ὅπερ ἀνάγκη ἄ-
μορφον εἶναι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων δεκτικῶν. Αἴτιον
δὲ τούτων ἐξ ἀνάγκης εἶναι· δεχόμενον γάρ πως τὰς ἰδέας
γεννᾶν τὰς οὐσίας, καὶ δι' ἀνομοιότητα δυνάμεως κινεῖ-
25 σθαι καὶ κινούμενον τὰ γινόμενα ἐξ αὐτῆς ἀντικινεῖν.
Ταῦτα δὲ πρὶν μὲν ἀλόγως κινεῖσθαι καὶ ἀτάκτως, ἐπεὶ δὲ
ἤρξαντο συνιστάναι τὸν κόσμον, ἐκ τῶν ἐνδεχομένων ὑπὸ
θεοῦ συμμέτρως καὶ τεταγμένως γενέσθαι. Τὰς μὲν γὰρ **77**

2 ὁ om. BPF **4** ὑπὲρ μὲν τῶν ἐκ γῆς κύκλων **Φ** et BF : ἐν μὲν τῷ ὑπὲρ γῆς κύκλῳ *ed. Bas.* **7** φέρεσθαι : δεδέσθαι BPF | ὁμοίως **Φ** et PF : ὅμοιος B **14** διὰ μονὴν **Φ** et BP F : διὰ γνώμην M. Casaubon : διὰ νοῦ *ed. Bas.* **15** post φησί addunt λεκτέον BPF **19** ἑτερόμηκες : πρόμηκες BPF

αἰτίας καὶ πρὸ τῆς οὐρανοποιίας δύο εἶναι καὶ τρίτην γένεσιν, ἀλλ' οὐ σαφεῖς, ἴχνη δὲ τούτων μόνα καὶ ἀτάκτους· ἐπεὶ δὲ ὁ κόσμος ἐγένετο, λαβεῖν καὶ ταύτας τάξιν. Ἐξ ἁπάντων δὲ τῶν ὑπαρχόντων σωμάτων γενέσθαι τὸν οὐρανόν. Δοκεῖ δ' αὐτῷ τὸν θεὸν ὡς καὶ τὴν ψυχὴν 5 ἀσώματον εἶναι· οὕτω γὰρ μάλιστα φθορᾶς καὶ πάθους ἀνεπίδεκτον εἶναι. Τὰς δὲ ἰδέας ὑφίσταται αἰτίας καὶ ἀρχὰς τοῦ τοιαῦτα εἶναι τὰ φύσει συνεστῶτα, οἷάπερ ἐστὶν αὐτά.

78 Τέλος ἔλεγε τὴν ἐξομοίωσιν τῷ θεῷ. Τὴν δ' ἀρετὴν 10 αὐτάρκη μὲν εἶναι πρὸς εὐδαιμονίαν, ὀργάνων δὲ προσδεῖσθαι τῶν περὶ τὸ σῶμα πλεονεκτημάτων, ἰσχύος, ὑγείας, εὐαισθησίας, τῶν ὁμοίων· καὶ τῶν ἐκτός, οἷον πλούτου καὶ εὐγενείας καὶ δόξης. Οὐδὲν δὲ ἧττον εὐδαίμονα ἔσεσθαι τὸν σοφόν, κἂν μὴ ταῦτα παρῇ. Πολιτεύσεσθαί 15 τε καὶ γαμήσειν καὶ τοὺς κειμένους νόμους οὐ παραβήσεσθαι· καὶ νομοθετήσειν τῇ ἑαυτοῦ πατρίδι, ἂν μὴ τέλεον εὐπαραίτητα ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλλούσῃ **79** διαφορᾷ δήμου. Οἴεται δὲ καὶ θεοὺς ἐφορᾶν τὰ ἀνθρώπινα καὶ δαίμονας εἶναι. Ἔννοιάν τε καλοῦ πρῶτος 20 ἀπεφήνατο τὴν ἐχομένην τοῦ ἐπαινετοῦ. Τὴν δικαιοσύνην θεοῦ νόμον ὑπέλαβεν, ὡς ἰσχύουσαν προτρέψαι τὰ δίκαια πράττειν, ὡς μὴ μετὰ θάνατον δίκας ὑπόσχοιεν οἱ κακοῦργοι.

80 Ἔλεγε τῶν ἀγαθῶν τὰ μὲν ἐν ψυχῇ, οἷον δικαιοσύνην, 25 φρόνησιν, ἀνδρίαν· τὰ δὲ ἐν σώματι, οἷον εὐεξίαν, **81** ὑγείαν, ἰσχύν· τὰ δὲ ἐκτός, οἷον φίλους, πλοῦτον. Τῆς φιλίας τρία εἴδη· ἡ μὲν γὰρ φυσική, ἣν οἱ γονεῖς πρὸς τὰ ἔγγονα ἔχουσι καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ἡ δὲ

2 δὲ τούτων μόνα : δὲ μόνον BPF **7** εἶναι : ὑπάρχειν BPF | αἰτίας τινὰς καὶ ἀρχὰς BPF **15** ταῦτα μὴ BPF **16** τε : αὖ BPF **17** ante καὶ νομοθετήσειν addunt ἐκ δὲ τῶν ἐνδεχομένων BPF **18** εὐπαραίτητα Φ et BPF : ἀπαραίτητα Casaubon **19** διαφορᾶ Φ et BPF : διαφθορᾶ Casaubon **22** ὑπέλαβεν : ὑπελάμβανεν BPF | ἰσχύουσαν : ἰσχυροτέραν BPF **23** ὡς μὴ μετὰ : ἵνα μὴ καὶ μετὰ BPF **29** ἔγγονα Φ et BF : ἔκγονα P

ἑταιρική, ὡς ἡ ἀπὸ συνηθείας γινομένη, οἷον ἡ Πυλάδου | πρὸς Ὀρέστην· ἡ δὲ ξενική, ἡ ἀπὸ συστάσεως καὶ διὰ f. 33v γραμμάτων γινομένη πρὸς τοὺς ξένους. Προστιθέασι δέ τινες καὶ ἐρωτικήν.

5 Τῆς πολιτείας εἴδη ε´· δημοκρατικόν, ἀριστοκρατικόν, **82** ὀλιγαρχικόν, βασιλικόν, τυραννικόν. Τῆς δικαιοσύνης **83** εἴδη τρία· τὴν μὲν γὰρ εἶναι περὶ θεούς, τὴν δὲ περὶ ἀνθρώπους, τὴν δὲ περὶ τοὺς ἀποιχομένους. Τῆς ἐπιστήμης **84** εἴδη τρία· πρακτικόν, ποιητικόν, θεωρητικόν. Γεωμετρία 10 μὲν καὶ ἀστρονομία τοῦ θεωρητικοῦ μέρους· πολιτικὴ δὲ καὶ αὐλητικὴ τοῦ πρακτικοῦ· οὐ γὰρ ἔστιν οὐδὲν ἰδεῖν †θεατὸν† ἐξ αὐτῶν πεποιημένον· οἰκοδομικὴ δὲ καὶ ναυπηγικὴ ποιητικαί εἰσι. Τῆς ἰατρικῆς εἴδη ε´· ἡ μὲν φαρμα- **85** κευτική, ἡ δὲ χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ νοσογνω- 15 μονική, ἡ δὲ βοηθητική. Διττὸς ὁ νόμος· ἔγγραφος, ᾧ ἐν **86** ταῖς πόλεσι πολιτευόμεθα, καὶ ἄγραφος, ὁ κατὰ ἔθος, οἷον τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγοράν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. Τοῦ λόγου τὸ μέν ἐστι **87** πολιτικόν, τὸ δὲ ῥητορικόν, τὸ δὲ ἰδιωτικόν, τὸ δὲ δια- 20 λεκτικόν, τὸ δὲ τεχνικόν. Τῆς μουσικῆς τὸ μὲν ἀπὸ τοῦ **88** στόματος μόνον, ὡς ἡ ᾠδή· τὸ δ᾽ ἀπὸ τοῦ στόματος καὶ τῶν χειρῶν, ὡς ἡ κιθαρῳδία· τὸ δ᾽ ἀπὸ τῶν χειρῶν, ὡς ἡ κιθαριστική. Τῆς εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιει- **89** κῶν, τὸ δὲ δυναστῶν, τὸ δὲ ἐνδόξων, τὸ δ᾽ ἀπὸ τῆς αὐτοῦ 25 καλοκαγαθίας. Τοῦ κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, ὡς ἡ διὰ τῆς ὄψεως εὐμορφία· τὸ δὲ πρὸς χρῆσιν, οἷον ὄργανον, οἰκία· τὸ δὲ πρὸς ὠφέλειαν, ὡς τὰ ἐπιτηδεύματα.

Τῆς ἀρχῆς τὸ μὲν κατὰ νόμον, ὡς οἱ ὑπὲρ τῶν πολιτῶν **91–92**

9 γεωμετρία : γεωμετρικὴ BPF **10** ἀστρονομία : ἀστρολογικὴ BPF | πολιτικὴ scripsi ex BPF : ποιητικὴ **Φ** **12** θεατὸν **Φ** : θετὸν BPF | ἐξ om. BPF | οἰκοδομικὴ **Φ** et BP : οἰκονομικὴ F **15** ἔγγραφος : γεγραμμένος BPF **16** ἔθος : ἔθη BPF **20, 21** et **22** ἀπὸ **Φ** : διὰ BPF **22** χειρῶν[2] : χειρῶν μόνον BP[1] **28** ὑπὲρ : ὑπὸ BPF

ἄρχοντες, ἐπὰν αἱρεθῶσι· τὸ δὲ κατὰ φύσιν, ὡς οἱ πατέρες
ἄρχουσι τῶν παίδων· τὸ δὲ κατὰ ἔθος, ὡς οἱ παιδαγωγοὶ
τῶν παίδων· τὸ δὲ κατὰ γένος, ὡς οἱ Λακεδαιμόνιοι βασι-
94 λεῖς ἄρχουσι· τὸ δὲ κατὰ βίαν, ὡς ἐπὶ τῶν τυράννων. Τῆς
ῥητορείας τὸ μὲν ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπή, 5
τὸ δὲ ἀποτροπή, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία. Τὸ
ὀρθῶς λέγειν διαιρεῖται εἰς δ´· ἓν μὲν ἃ δεῖ λέγειν, ἓν δὲ
ὅσα δεῖ λέγειν, τρίτον πρὸς οὓς δεῖ λέγειν, τέταρτον
95–96 πηνίκα δεῖ λέγειν. Τῆς εὐεργεσίας ἡ μέν ἐστι διὰ χρη-
μάτων, ἡ δὲ διὰ σωμάτων, ὡς ὅταν παραγενόμενός τις 10
τυπτομένῳ παραβοηθήσῃ· ἡ δὲ δι᾽ ἐπιστημῶν, ὡς ὅταν τις
96–97 παιδεύσῃ τινά· ἡ δὲ διὰ λόγων. Τοῦ τέλους τῶν πραγ-
μάτων τὸ μὲν κατὰ νόμον, ὡς ὅταν ψήφισμα γένηται καὶ
τοῦθ᾽ ὁ νόμος τελέσῃ· τὸ δὲ κατὰ φύσιν, ὡς ἐπί τε ἡμέρας
f. 34ʳ καὶ ἐνιαυτοῦ καὶ ὡρῶν· τὸ δὲ κατὰ τέχνην, ὡς | ἐπὶ τῆς 15
τελεσθείσης οἰκίας· τὸ δὲ κατὰ τύχην, ὡς ὅταν ἄλλως καὶ
μὴ ὡς ὑπολαμβάνει τις ἀποβαίη. Τῆς δυνάμεως ἡ μὲν
ἐστιν ἐν διανοίᾳ· δυνάμεθα γὰρ τῇ διανοίᾳ λογίζεσθαι· ἡ
δὲ ἐν σώμασιν, ὥσπερ λέγομεν· "δυνάμεθα πορεύεσθαι"·
ἡ δ᾽ ἐν στρατοπέδοις καὶ χρήμασιν, ὡς λέγομεν· "πολλὴν 20
δύναμιν ἔχει ὁ βασιλεύς"· ἡ δὲ ἐν τῷ ποιεῖν καὶ πάσχειν·
δυνάμεθα γὰρ καὶ εὖ ποιεῖν καὶ ἀρρωστεῖν καὶ παι-
98 δεύεσθαι. Τῆς φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσ-
αγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν
99 καὶ φιλοσυνουσιάζειν. Τῆς εὐδαιμονίας ἡ μέν ἐστιν 25
εὐβουλία, ἣ γίνεται ἀπὸ τῆς πολυπειρίας· τὸ δὲ εὐαι-
σθησία καὶ ὑγεία σώματος, οἷον ἐάν τις τοῖς ὀφθαλμοῖς
ὀρθῶς ὁρᾷ· τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπορία.
100 Τῆς τέχνης τὸ μέν ἐστι πρῶτον, ὡς ἡ μεταλλευτικὴ καὶ ἡ
ὑλοτομική· τὸ δὲ δεύτερον, ὡς ἡ χαλκευτικὴ καὶ ἡ 30
τεκτονική· τὸ δὲ τρίτον, ὃ καὶ χρηστικὸν λέγεται, ὡς ἡ

1 ἄρχοντες scripsi ex BPF : πράττοντες **Φ** | ὡς οἱ πατέρες ἄρχουσι τῶν παίδων : om. BPF **4** ὡς ἐπὶ τῶν τυράννων om. BPF **17** ἀποβαίνῃ BPF **19** σώμασιν : σώματι BPF **20** ἐν στρατοπέδῳ BPF **28** ὀρθῶς om. BPF

ἱππική (τοῖς γὰρ χαλινοῖς χρῆται) καὶ ἡ πολεμική (χρῆται γὰρ τοῖς ὅπλοις).

Τοῦ ἀγαθοῦ δ' εἴδη· τὸ μὲν τὸ τὴν ἀρετὴν ἔχειν, ὡς ἐπὶ **101** τοῦ ἔχοντος ἀρετήν· τὸ δὲ αὐτὴ ἡ ἀρετή· τρίτον σιτία καὶ 5 γυμνάσια τὰ ὠφέλιμα· τέταρτον αὐλητικὴν καὶ ὑποκριτικὴν ἀγαθὸν λέγομεν εἶναι. Τῶν ὄντων τὰ μέν ἐστι κακά, **102** ὡς ἀφροσύνη καὶ ἀδικία· τὰ δὲ ἀγαθά, ὡς δικαιοσύνη· τὰ δὲ οὐδέτερα, ὅσα δύναται ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, ὡς τὸ περιπατεῖν καὶ καθῆσθαι. Ἡ εὐνομία **103** 10 διαιρεῖται εἰς τρία· ἓν μέν, ἐάν ὦσιν οἱ νόμοι σπουδαῖοι· ἕτερον δέ, ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται· τρίτον, ἐὰν μὴ ὄντων νόμων κατὰ ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται. Ἡ ἀνομία διαιρεῖται εἰς τρία· ἓν μέν, ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ καὶ πρὸς 15 ξένους καὶ πρὸς πολίτας· ἕτερον, ἐὰν τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο, ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. Τὰ ἐναντία **104** διαιρεῖται εἰς τρία· οἷον ἀγαθὰ κακοῖς ἐναντία, ὡς ἡ δικαιοσύνη τῇ ἀδικίᾳ· κακὰ δὲ κακοῖς ἐναντία, ὡς ἡ ἀσωτία τῇ ἀνελευθερίᾳ καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ 20 δικαίως στρεβλοῦσθαι. Τὸ δὲ βαρὺ τῷ κούφῳ καὶ τὸ ταχὺ τῷ βραδεῖ ὡς οὐδέτερα οὐδετέροις ἐναντία ἐστί. Τῶν **105** ἀγαθῶν τὰ μέν ἐστιν ἑκτά, ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη καὶ ἡ ὑγίεια· τὰ δὲ μεθεκτά, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μετασχεῖν δὲ αὐτῶν ἐνδέχεται, οἷον αὐτὸ τὸ 25 ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μετασχεῖν δὲ αὐτοῦ ἐνδέχεται· τὰ δὲ ὑπαρκτά, ὡς τὸ σπουδαῖον εἶναι· ταῦτα γὰρ οὔτε σχεῖν οὔτε μετασχεῖν ἔστι. Τῆς συμβουλίας τὰ **106** μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δὲ ἐκ τῶν παρόντων, τὰ δὲ ἐκ τῶν μελλόντων. Τῆς φωνῆς τὸ μὲν ἔμψυχον, ὡς ἡ | **107** 30 τῶν ζῴων φωνή· τὸ δὲ ἄψυχον, ὡς ἡ φθογγὴ καὶ οἱ ἦχοι. f. 34ᵛ Καὶ ἡ μὲν ἐγγράμματος, ὡς ἡ τῶν ἀνθρώπων, ἡ δὲ ἀγράμματος, ὡς ἡ τῶν ζῴων. Τῶν ὄντων τὰ μὲν ἐστι μεριστά, τὰ δὲ ἀμέριστα. Τούτων δὲ τῶν μεριστῶν τὰ μὲν

7 ὡς δικαιοσύνη om. BPF **30** φθογγὴ scripsi ex P : φωνὴ **Φ** : φθόγγοι BF : φθογγὴ P

ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. Ἀμερῆ μὲν οὖν ἐστιν ὅσα μὴ ἔχει διαίρεσιν μηδὲ ἔκ τινος σύγκειται, ὡς ἡ μονὰς καὶ ἡ στιγμὴ καὶ ὁ φθόγγος· μεριστὰ δὲ ὅσα ἔκ τινος σύγκειται, οἷον αἵ τε συλλαβαὶ καὶ συμφωνίαι καὶ ζῷα.

108 Ὁμοιομερῆ ὅσα ἐξ ὁμοίων σύγκειται καὶ μηδὲν διαφέρει 5 τὸ ὅλον τοῦ μέρους εἰ μὴ τῷ πλήθει, οἷον τὸ ὕδωρ καὶ τὸ χρυσίον· ἀνομοιομερῆ ὅσα ἐξ ἀνομοίων σύγκειται, οἷον οἰκία. Τῶν ὄντων τὰ μέν ἐστι καθ' ἑαυτά, τὰ δὲ πρός τι λέγεται. Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγομενά ἐστιν ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται, οἷον ἄνθρωπος, ἵππος· 10

109 τούτων γὰρ οὐδὲν δι' ἑρμηνείας χωρεῖ. Τὰ δὲ πρός τι λεγόμενα ὅσα προσδεῖταί τινος ἑρμηνείας, οἷον τὸ μεῖζόν τινος καὶ τὸ θᾶττόν τινος.

Οὕτω πάντα διῄρει Πλάτων, ὥς φησιν Ἀριστοτέλης. Τὰ δὲ τῶν Στωϊκῶν δόγματα, ὧν κατῆρξε Ζήνων ὁ Κιττιεύς, τοιάδε. 15

7. ΔΟΞΑΙ ΣΤΩΙΚΩΝ

7.117 Ἀπαθῆ φασιν εἶναι τὸν σοφόν, διὰ τὸ ἀνέμπτωτον εἶναι· καὶ τὸν φαῦλον δὲ ἀπαθῆ ἄλλως, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ. Ἄτυφόν τε εἶναι τὸν σοφόν· 20 ἴσως γὰρ ἔχειν πρός τε τὸ ἔνδοξον καὶ ἄδοξον. Εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὅς ἐστι φαῦλος. Καὶ αὐστηροὺς δέ φασιν εἶναι ⟨πάντας⟩ τοὺς σπουδαίους, διὰ τὸ μήτε αὐτοὺς πρὸς ἡδονὴν ὁμιλεῖν, μήτε παρ' ἄλλων τὰ καθ' ἡδονὴν παρέχεσθαι. Καὶ ἄλλον 25 δὲ εἶναι αὐστηρόν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ πρὸς μὲν φαρμακοποσίαν χρῶνται, πρὸς δὲ πόσιν οὐ πάνυ.

118 Καὶ οἰνωθήσεσθαι μὲν αὐτόν, οὐ μεθυσθήσεσθαι δέ.

11–12 τὰ ... λεγόμενα : τῶν ... λεγομένων BPF **19** ἄλλως : ἄλλον BPF **21** ἴσως Φ et BP : ἶσον F **23** πάντας addidi ex BPF[2] et *Suda* **25** καθ' Φ et *Suda* : πρὸς PF | παρέχεσθαι Φ et P[1]F : προσδέχεσθαι DP[4] : παραδέχεσθαι *Suda* **27** πόσιν : πρόποσιν PF et *Suda*

Ἔτι δὲ ⟨οὐδὲ⟩ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι ποτὲ αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. Οὐδὲ μὴν λυπηθήσεσθαι τὸν σοφόν, διὰ τὸ τὴν λύπην
5 ἄλογον εἶναι συστολὴν ψυχῆς.

Θείους τε εἶναι· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν· τὸν **119** δὲ φαῦλον ἄθεον. Διττὸν δὲ τὸν ἄθεον· τόν τε ἐναντίον τῷ θεῷ λεγόμενον καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου, ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον. Θεοσεβεῖς τοὺς σπουδαίους·
10 ἐμπείρους γὰρ εἶναι τῶν πρὸς θεοὺς νομίμων· εἶναί τε τὴν εὐσέβειαν ἐπιστήμην θεῶν θεραπείας. Ἀλλὰ μὴν καὶ θύσειν αὐτοὺς θεοῖς, ἁγνούς τε ὑπάρχειν καὶ τοὺς θεοὺς ἄγασθαι, ὁσίους τε εἶναι καὶ δικαίους.

Δοκεῖ δ᾽ αὐτοῖς καὶ γονέας σεβήσεσθαι καὶ ἀδελφοὺς **120**
15 ἐν δευτέρᾳ μοίρᾳ μετὰ τοὺς θεούς. Φασὶ δὲ καὶ τὴν πρὸς τὰ τέκνα φιλοστοργίαν φυσικὴν εἶναι καὶ ἐν φαύλοις μὴ εἶναι. Ἀρέσκει δὲ αὐτοῖς ἴσα ἡγεῖσθαι καὶ τὰ ἁμαρτήματα· ὡς γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους, οὕτως οὐδὲ ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρ-
20 τημα ἁμαρτήματος. Καὶ γὰρ ὁ ρʹ σταδίους ἀπέχων Κανώβου καὶ ὁ θʹ ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ· | οὕτω καὶ πλέον f. 35r καὶ ἔλαττον ἁμάρτημα ἐπίσης οὐκ ἔστιν ἐν τῷ κατορθοῦν. Ἄλλοι δὲ ἄνισά φασι τὰ ἁμαρτήματα. **121**

Πολιτεύεσθαί φασι τὸν σοφόν, ἂν μή τι κωλύῃ· καὶ
25 γὰρ κακίαν ἐφέξειν, ἐπ᾽ ἀρετὴν παρορμήσειν. Καὶ γαμήσειν καὶ παιδοποιήσ⟨εσθ⟩αι. Ἔτι τε μὴ δοξάσειν τὸν

1 οὐδὲ addidi ex BPF et *Suda* **4** λυπηθήσεσθαι Φ et F : λυπήσεσθαι BP[1] : **5** ψυχῆς Φ et BP : τῆς ψυχῆς F **7** δὲ[2] Φ et BP[1] : δὲ εἶναι F et *Suda* | ἐναντίον Φ et *Suda* : ἐναντίως BPF **8** θεῷ Φ, *Suda* et BP[1]F : θείῳ P[4] **9** περὶ scripsi ex BPF et *Suda* : παρὰ Φ **10** πρὸς θεοὺς Φ : περὶ θεῶν BPF : περὶ θεοῦ *Suda* **14** σεβίσεσθαι Φ **16** εἶναι αὐτοῖς καὶ BPF **17** δὲ : τε BPF | καὶ om. BPF **18** ὡς : εἰ BPF **21** θʹ Φ et P[1] (ἐννέα) : ἕνα BP et *Suda* **22** ἁμάρτημα Φ et *Suda* : ὁ ... ἁμαρτάνων BPF | ἔστιν : εἰσὶν BPF et *Suda* **24** πολιτεύεσθαι Φ et BP : πολιτεύσεσθαι F **26** παιδοποιήσ⟨εσθ⟩αι scripsi ex BPF : παιδοποιῆσαι Φ

σοφόν, τουτέστι ψεύδει μὴ συγκαταθήσεσθαι μηδενί. Κυνιεῖν τε αὐτόν· εἶναι γὰρ τὸν Κυνισμὸν σύντομον ἐπ' ἀρετὴν ὁδόν. Γεύσεσθαί τε ἀνθρωπίνων κρεῶν κατὰ περίστασιν. Μόνον τε ἐλεύθερον, τοὺς δὲ φαύλους δούλους· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας. 5

122 Οὐ μόνον δὲ ἐλευθέρους, ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου· ἐγνωκέναι γάρ φησι τὸν ἄρχοντα δεῖν περὶ ἀγαθῶν καὶ ⟨κακῶν⟩, μηδένα δὲ τῶν φαύλων ἐπίστασθαι ταῦτα. Ὁμοίως καὶ ἀρχικούς, ῥητορικούς τε καὶ δικαστικούς, τῶν δὲ φαύλων οὐδένα. 10 Ἔτι τε ἀναμαρτήτους, τῷ ἀπεριπτώτους εἶναι ἁμαρτή-
123 ματι. Ἀβλαβεῖς τε εἶναι· οὔτε γὰρ ἑαυτοὺς οὔτε ἄλλους βλάπτειν. Ἐλεήμονάς τε ⟨μὴ⟩ εἶναι, ἔχειν τε μηδενὶ συγγνώμην· μὴ γὰρ παριέναι τὰς ἐπιβαλλούσας ἐκ τοῦ νόμου κολάσεις, ἐπεὶ τό γε εἴκειν καὶ ὁ ἔλεος αὐτή τε ἡ ἐπιείκεια 15 †οὐδεμία† ἐστὶ ψυχῆς πρὸς κολάσεις προσποιουμένης χρηστότητα. Ἔτι τε τὸν σοφὸν οὐδὲν θαυμάσειν τῶν δοκούντων παραδόξων, οἷον Χαρώνεια, ἀμπώτεις καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. Ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ βιώσεται, φασίν, ὁ σπουδαῖος· κοινωνικὸς γὰρ 20 φύσει καὶ πρακτικός. Τὴν μέντοι ἄσκησιν ἀποδέξεται ὑπὲρ τῆς τοῦ σώματος ὑπομονῆς.

124 Εὔξεταί τε αἰτούμενος τὰ ἀγαθὰ παρὰ θεῶν. Λέγουσι καὶ τὴν φιλίαν ἐν μόνοις εἶναι ⟨τοῖς⟩ σπουδαίοις, διὰ τὴν

1 συγκαταθήσεσθαι Φ et PF : συγκατατίθεσθαι B et *Suda* **2** σύντομον Φ et Stephanus ex 6.104 : εὔτονον BP[1] **3** γεύσεσθαι scripsi ex BPF : γεύσασθαι Φ | τε καὶ BPF | κρεῶν : σαρκῶν BPF **8** φησι : sc. Χρύσιππος | περὶ ἀγαθῶν καὶ ⟨κακῶν⟩ scripsi ex BPF : περὶ ἀγαθῶν εἶναι Φ **13** μὴ addidi ex BPF et *Suda* **15** εἴκειν Φ et P : ἥκειν F : εἶναι B **16** οὐδεμία Φ, BPF et *Suda*, corruptum | προσποιουμένης Φ : προσποιουμένη BPF et *Suda* **17** θαυμάσειν : θαυμάζειν BPF **18** χαρωνία Φ | ἀμπώτεις scripsi ex P[1] et *Suda* : ἄμπωτις Φ et P[4] : ἄμπωτιν F : ἀμπώτιδας B **23** τῶν θεῶν BPF **24** τοῖς addidi ex BPF

ὁμοιότητα· φασὶ δὲ αὐτὴν κοινωνίαν εἶναι τῶν κατὰ τὸν βίον, χρωμένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. Δι' αὐτόν τε αἱρετὸν τὸν φίλον καὶ τὴν πολυφιλίαν ἀγαθόν. Πάντας τοὺς ἄφρονας μαίνεσθαι· οὐ γὰρ εἶναι φρονίμους. Πάν- **125**
5 τας τε εὖ ποιεῖν τὸν σοφόν, ὡς καὶ πάντα φαμὲν τὰ αὐλήματα εὖ αὐλεῖν τὸν Ἰσμηνίαν. Καὶ τῶν σοφῶν δὲ πάντα εἶναι· δεδωκέναι γὰρ αὐτοῖς παντελῆ ἐξουσίαν τὸν νόμον. Τῶν δὲ φαύλων εἶναί τινα λέγεται, ὥσπερ καὶ †τὸν ἄδικον† ἄλλως μὲν τῆς πόλεως, ἄλλως δὲ τῶν χρωμένων
10 φαμέν.

Τὰς δ' ἀρετὰς λέγουσιν ἀντακολουθεῖν ἀλλήλαις καὶ τὸν μίαν ἔχοντα πάσας ἔχειν· εἶναι γὰρ αὐτῶν τὰ θεωρήματα κοινά. Τὸν γὰρ ἐνάρετον θεωρητικόν τε εἶναι καὶ **126** πρακτικὸν ποιητέων. Τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐστὶ καὶ
15 ὑπομενετέα καὶ ἀπονεμητέα καὶ ἐμμενετέα, ὥστε εἰ τὰ μὲν αἱρετῶς ποιεῖ, τὰ δὲ ἀπονεμητικῶς, τὰ δὲ ἐμμενετικῶς, τὰ δὲ ὑπομενετικῶς, φρόνιμός τέ ἐστι καὶ ἀνδρεῖος καὶ σώφρων. Κεφαλαιοῦσθαί τε ἑκάστην τῶν ἀρετῶν περί τι κεφάλαιον, οἷον τὴν ἀνδρίαν περὶ τὰ ὑπομενετέα, τὴν
20 φρόνησιν περὶ τὰ ποιητέα καὶ μή. Παρέπεται δὲ τῇ μὲν φρονήσει εὐβουλία καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία, κοlσμιότης, τῇ δικαιοσύνῃ ἰσότης, εὐγνωμοσύνη, τῇ f. 35v ἀνδρίᾳ ἀπαραλλαξία, εὐτονία.

Ἀρέσκει αὐτοῖς μηδὲν εἶναι μεταξὺ ἀρετῆς καὶ κακί- **127**
25 ας, τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ κακίας εἶναι λεγόντων τὴν προκοπήν· ὡς γὰρ δεῖν φασιν ἢ στρεβλὸν εἶναι ξύλον ἢ ὀρθόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον. Τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης δὲ ἀναπόβλητον λέγει· ὁ μὲν ἀποβλητὴν διὰ μέθην καὶ μελαγχολίαν, ὁ
30 δὲ ἀναπόβλητον διὰ βεβαίους καταλήψεις· καὶ αὐτὴν δὲ

1 αὐτὴν **Φ** et BP[1] : αὐτοῖς F | εἶναι : τινὰ εἶναι BPF **4** πάντας **Φ** et BPF : πάντα *Frob.* **8–9** τὸν ἄδικον **Φ** et BP[1]F : τῶν ἀδίκων P[2] **18–19** περί τι ἴδιον κεφάλαιον BPF et *Suda* **20** παρέπεται : ἕπονται BPF : ἕπεται *Suda* **30** βεβαίους **Ψ**, evanidum in **Φ**

αἱρετὴν εἶναι. Αἰσχυνόμεθα γοῦν ἐφ' οἷς κακῶς πράττομεν, ὡς ἂν μόνον τὸ καλὸν εἰδότες ἀγαθόν. Αὐτάρκη τε
128 εἶναι αὐτὴν καὶ εὐδαιμονίαν· εἰ γάρ, φασίν, αὐτάρκης ἐστὶν ἡ μεγαλοψυχία καὶ τῶν πάντων ὑπεράνω ποιεῖ, ἔστι δὲ μέρος τῆς ἀρετῆς, αὐτάρκης ἐστὶ καὶ ἡ ἀρετὴ καὶ 5 εὐδαιμονία, καταφρονοῦσα καὶ τῶν δοκούντων ὀχληρῶν.

Φύσει τὸ δίκαιον εἶναι καὶ μὴ θέσει, ὡς τὸν νόμον.
129 Μηδὲν εἶναι ἡμῖν δίκαιον πρὸς τὰ ἄλλα ζῷα, διὰ τὴν ἀνομοιότητα. Καὶ ἐρασθήσεσθαι τὸν σοφὸν τῶν νέων τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν. 10
130 Εἶναι δὲ τὸν ἔρωτα ἐπιβολὴν φιλοποιΐας διὰ κάλλος ἐμφαινόμενον· καὶ μὴ εἶναι συνουσίας, ἀλλὰ φιλίας. Τὸν γοῦν Θρασωνίδην καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμένην, διὰ τὸ μισεῖσθαι ἀπέχεσθαι αὐτῆς. Εἶναι οὖν τὸν ἔρωτα φιλίας, καὶ μὴ εἶναι θεόπεμπτον αὐτόν. Εἶναι δὲ 15 καὶ τὴν ὥραν ἄνθος ἀρετῆς.

Τριῶν δὲ βίων ὄντων, λογικοῦ, πρακτικοῦ, θεωρητικοῦ, τὸ⟨ν⟩ λογικόν φασιν αἱρετέον· γεγονέναι γὰρ ὑπὸ τῆς φύσεως ἐπίτηδες τὸ λογικὸν ⟨ζῷον⟩ πρὸς θεωρίαν καὶ πρᾶξιν. Εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφὸν 20 καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ
131 γένηται ἀλγηδόνι ἢ πηρώσεσιν. Ἀρέσκει δ' αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας τοῖς σοφοῖς, ὡς τὸν ἐντυχόντα τῇ ἐντουχούσῃ χρῆσθαι. Καὶ Διογένης περὶ τούτου ὁ Κυνικός φησι· "†Περὶ τὰς στέγας† ἐπίσης στέρξομεν πατέρων 25 τρόπον καὶ ἡ ἐπὶ μοιχείᾳ ζηλοτυπία περιαιρεθήσεται." Πολιτείαν ἀρίστην εἶναι τὴν μικτὴν ἐκ δημοκρατίας καὶ βασιλείας.

3 καὶ : πρὸς BPF **4** καὶ τῶν πάντων ὑπεράνω ποιεῖ : πρὸς τὸ πάντων ὑπεράνω ποιεῖν BP **5–6** καὶ εὐδαιμονία : πρὸς εὐδαιμονίαν BP **18** τὸ⟨ν⟩ scripsi ex BPF : τὸ **Φ** **19** ζῷον addidi ex BPF **23** τοῖς σοφοῖς : δεῖν παρὰ τοῖς σοφοῖς BPF **24** ὁ Κυνικός scripsi ex BPF : ὁ κωμικός **Φ** **25** περὶ τὰς στέγας corruptum : πάντας τε γας P[1] (γὰρ P[2]) : πάντας τε παῖδας B **28** post βασιλείας addunt καὶ ἀριστοκρατίας BPF

Δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων β', τὸ ποιοῦν 134
καὶ τὸ πάσχον. Τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσί-
αν, τὴν ὕλην· τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν.
Τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν
5 ἕκαστα. Διαφέρειν δὲ ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ
εἶναι ἀγενήτους, ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν
ἐκπύρωσιν φθείρεσθαι. Ἀλλὰ καὶ ἀσώματα εἶναι τὰς
ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι.

Σῶμα δ' ἐστὶ τὸ τριχῇ διαστατόν. Ἐπιφάνεια σώματος 135
10 πέρας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ.
Γραμμὴ δ' ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, ἢ τὸ
μῆκος μόνον ἔχον. Στιγμὴ δ' ἐστὶ γραμμῆς πέρας, ἥτις ἐστὶ
σημεῖον ἐλάχιστον.

Ἕν τε εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία·
15 | πολλαῖς τε ἑτέραις ὀνομασίας προσονομάζεσθαι. Κατ' f. 36r
ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν ⟨τὴν⟩ πᾶσαν οὐ- 136
σίαν δι' ἀέρος εἰς ὕδωρ. Καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα
περιέχεται, οὕτω καὶ τοῦτον, σπερματικὸν λόγον ὄντα τοῦ
κόσμου τοῦδε, ὑπολείπεσθαι ἐν τῷ ὑγρῷ, ἐνεργὸν αὑτῷ
20 ποιοῦντι τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτα
ἀπογεννᾶν πρῶτον τὰ δ' στοιχεία, πῦρ, ὕδωρ, ἀέρα, γῆν.
Ἔστι δὲ στοιχεῖον ἐξ οὗ πρώτου τι γίνεται καὶ εἰς ὃ ἔσχα-
τον ἀναλύεται. Τὰ δὴ δ' στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον 137
οὐσίαν, τὴν ὕλην· εἶναι δὲ τὸ μὲν πῦρ τὸ θερμόν, τὸ δὲ
25 ὕδωρ τὸ ὑγρόν, τὸν ἀέρα τὸ ψυχρὸν καὶ τὴν γῆν τὸ ξηρόν.
Ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι,
ἐν ᾧ πρώτην ⟨τὴν⟩ τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα
τὴν τῶν πλανωμένων· μεθ' ἣν ἀέρα, εἶτα ὕδωρ, ὑποστάθ-
μην δὲ πάντων τὴν γῆν, πάντων οὖσαν μέσην.

3 τὴν scripsi ex BPF et *Suda* : γῆν Φ **7** ἀσώματα : ἀσωμάτους *Suda* : σώματα BPF **16** τὴν addidi ex BPF **19** τοῦδε : τοιοῦδε P¹F : τοιοῦτο B¹, -τον B² : τοιόνδε P⁴ | ἐνεργὸν : εὐεργὸν BPF **20** ποιοῦντι : ποιοῦντα BPF **27** τὴν addidi ex BPF **29** πάντων² : ἁπάντων BPF

Λέγουσι τὸν κόσμον τριχῶς· αὐτὸν τὸν θεόν, ὃς ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς
138 ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ αὑτοῦ γεννῶν· καὶ τὴν τῶν ἀστέρων διακόσμησιν κόσμον εἶναί φασι· καὶ 5
τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. Καὶ ἔστι κόσμος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς. Οὐρανὸς δ' ἐστὶν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον.

Τὸν δὴ κόσμον διοικεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' 10
ἡμῶν τῆς ψυχῆς· ἀλλὰ δι' ὧν μὲν μᾶλλον, δι ὧν δὲ ἧττον.
139 Δι' ὧν μὲν γὰρ ὡς ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. Οὕτω δὴ καὶ τὸν ὅλον κόσμον, ζῷον ὄντα ἔμψυχον καὶ λογικόν, ἔχειν ἡγεμονικὸν μὲν τὸν αἰθέρα ἢ τὸν οὐρανὸν 15
ἢ τὸν ἥλιον ἢ τὸ τοῦ α⟨ἰθ⟩έρος καθαρώτερον· ὃ καὶ πρῶτον θεὸν λέγουσιν ⟨*⟩ αἰσθητικῶς ὥσπερ κεχωρηκέναι διὰ
140 τῶν ἐν ἀέρι καὶ διὰ τῶν ζῴων ἁπάντων καὶ φυτῶν, | διὰ δὲ τῆς γῆς αὐτῆς καθ' ἕξιν.

Ἕνα τὸν κόσμον εἶναι καὶ πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές· πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ 20
τοιοῦτον. Ἔξωθεν δ' αὐτοῦ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον, ὅπερ ἀσώματον εἶναι· ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχόμενον. Ἐν δὲ τῷ κόσ-
f. 36ᵛ μῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· | τοῦτο γὰρ 25
ἀναγκάζειν τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια σύμπνοιαν καὶ συντονίαν.

141 Ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητόν. Οὗ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον· τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· 30

9 διοικεῖσθαι **Φ** et B : οἰκεῖσθαι PF et *Suda* K 2148 **14** ὄντα καὶ ἔμψυχον BPF **16** α⟨ἰθ⟩έρος scripsi ex BPF : ἀέρος **Φ** | καθαρώτερον **Φ** et F : καθαρώτατον BP¹ **17** post λέγουσιν lac. indicavit ab Arnim **21** ἁρμοδιώτατον **Φ**, F et *Suda* : ἁρμονιώτατον BP¹

φθαρτὸς ἄρα ὁ κόσμος. Καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος δέ· ἐξαυχμοῦται γοῦν καὶ ἐξυδατοῦται.

Γίνεσθαι δὲ τὸν κόσμον ὅταν ⟨ἐκ πυρὸς⟩ ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρόν· εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς αὐτοῦ ἐξαερωθῇ καὶ τοῦτ' ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα κατὰ μίξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη. **142**

Ζῷον δέ φασι τὸν κόσμον ὡς ἔμψυχον, αἰσθητικόν. Τὸ γὰρ ζῷον τοῦ μὴ ζῴου κρεῖττον· οὐδὲν δὲ ⟨τοῦ⟩ κόσμου κρεῖττον· ⟨ζῷον ἄρα ὁ κόσμος.⟩ Ἔμψυχον δέ, ὡς δῆλον ἐκ τῆς ἡμετέρας ψυχῆς, ἐκεῖθεν οὔσης ἀποσπάσματος. Τὸ πᾶν δὲ λέγεται ὅ τε κόσμος καὶ τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ σύστημα. Ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί, τὸ δὲ κενὸν ἄπειρον. **143**

Τῶν ἄστρων τὰ μὲν ἀπλανῆ συμπεριφέρεσθαι τῷ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινήσεις κινεῖσθαι. Τὸν ἥλιον †δόξη† τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζῳδιακοῦ κύκλου· ὁμοίως τὴν σελήνην ἑλικοειδῆ. Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ καὶ μείζονα τῆς γῆς καὶ σφαιροειδῆ, ἀναλόγως τῷ κόσμῳ. Πῦρ μέν, ὅτι τὰ πυρὸς πάντα ποιεῖ, μείζω δὲ τῆς γῆς τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι καὶ τὸν οὐρανόν. Καὶ τὸ τὴν γῆν κωνοειδῆ σκιὰν ἀποβάλλειν τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος. **144**

Γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. Τρέφεσθαι δὲ τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, **145**

3 γοῦν **Φ**, BP[1] et *Suda* : γὰρ F **4** ἐκ πυρὸς addidi ex BPF **5** ὑγρόν **Φ** et PF : ὑγρότητα B **6** αὐτοῦ om. BPF | ἐξαερωθῇ **Φ** et P[4] : ἐξαραιωθῇ BP[1]F **10** τοῦ addidi ex BPF **11** ζῷον ἄρα ὁ κόσμος supplevi ex BPF **16–17** τῷ ὅλῳ οὐρανῷ BPF **18** δόξη **Φ** et P[1]F : λοξὴν recte B et *Suda* **23** ἀποβάλλειν **Φ** : ἐπιβάλλειν *Suda* : ἀποτελεῖν BPF

ἀερομιγῆ καὶ πρόσγειον οὖσαν· τὰ δ' ἄλλα ἄστρα ἀπὸ
γῆς. Σφαιροειδῆ εἶναι τὰ ἄστρα, τὴν γῆν ἀκίνητον. Τὴν
σελήνην ἀπὸ τοῦ ἡλίου τὸ φῶς ἔχειν. Ἐκλείπειν τὸν μὲν
ἥλιον τῆς σελήνης ἐπιπροσθούσης κατὰ τὸ πρὸς ἡμᾶς
146 μέρος· ὑπέρχεται γὰρ αὐτόν (γνωρίζεται δὲ τοῦτο διὰ 5
λεκάνης ὕδωρ ἐχούσης)· τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς
τὸ τῆς γῆς ἀποσκίασμα· ὅθεν ταῖς πανσελήνοις ἐκλείπειν
†μῆνα,† καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ
ἡλίῳ.

148 Οὐσίαν θεοῦ φασι τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν· 10
οἱ δὲ ἀεροειδῆ αὐτοῦ τὴν οὐσίαν· οἱ δὲ τὴν τῶν ἀπλανῶν
σφαῖραν. Φύσιν φασὶ τὴν συνέχουσαν τὸν κόσμον, ἢ τὴν
φύουσαν τὰ ἐπὶ γῆς. Ἔστι δὲ φύσις ἕξις ἐξ αὐτῆς κι-
νουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσα καὶ
149 συνέχουσα τὰ ἐξ αὐτῆς. Ταύτην δὲ καὶ τοῦ συμφέροντος 15
στοχάζεσθαι. Καθ' εἱμαρμένην δὲ πάντα γίνεσθαι· ἔστι
f. 37^{r} δὲ εἱμαρμένη αἰτία τῶν νόμων | εἰρομένη, ἢ λόγος καθ' ὃν
ὁ κόσμος διεξάγεται.

151 Χειμῶνά φασι τὸν ὑπὲρ γῆς ἀέρα κατεψυγμένον διὰ
τὴν τοῦ ἡλίου πρόσω ἄφοδον· ἔαρ τὴν εὐκρασίαν τοῦ 20
152 ἀέρος κατὰ τὴν πρὸς ἡμᾶς πορείαν· θέρος τὸν ὑπὲρ γῆς
ἀέρα καταθαλπόμενον τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ·
μετόπωρον †τὴν παλινδρομίαν† τοῦ ἡλίου ⟨*⟩ παρὰ τοὺς
τόπους ἀφ' ὧν ῥέουσι. Τῆς δὲ γενέσεως αὐτῶν αἴτιον
εἶναι τὸν ἥλιον ἐξατμίζοντα τὰ νέφη. Ἶριν δὲ εἶναι αὐγὰς 25

4 ἐπιπροσθούσης αὐτῷ BPF et *Suda* **7** ἀποσκίασμα **Φ** et *Suda* : σκίασμα BPF **8** μῆνα^{1} **Φ** et BP^{1} : μόνον F : μόναις P^{4} : om. *Suda* **15** καὶ **Φ** et D : om. BPF **17** νόμων **Φ** et BPF : ὅλων *Suda* : ὄντων D **23** τὴν παλινδρομίαν **Φ** : παλινδρομία *Suda*, Φ 494 : τῇ παλινδρομίᾳ BPF | post τοῦ ἡλίου lac. indicavi : τοῦ ἡλίου ἀφ' ἡμῶν γίνεσθαι. BPF ⟨Τοὺς δὲ ἀνέμους ἀέρος εἶναι ῥύσεις, παραλλαττούσας δὲ τὰς ἐπωνυμίας⟩ om. BPF, ex Aëtio suppl. ab Arnim **24** αὐτῶν : i.e. τῶν ἀνέμων **25** εἶναι^{1} : γίνεσθαι BP^{1} : γενέσθαι P^{2}F et *Suda*

ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμένας, ἢ ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλου περιφέρειαν. Κομήτας καὶ πωγωνίας πυρὰ
5 εἶναι ὑφεστῶτα πάχους ἀέρος εἰς τὸν αἰθερώδη τόπον ἀναχθέντος. Σέλας δὲ πυρὸς ἀθρόου ἔξαψιν †ἐμπεριφερο- **153** μένου† ταχέως καὶ φαντασίαν μήκους ἐμφαίνοντος. Ὑετὸν ἐκ νέφους μεταβολὴν εἰς ὕδωρ, ἐπειδὰν ἢ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ἀφ' ἡλίου μὴ τυγχάνῃ
10 κατεργασίας· καταψυχθὲν δὲ τοῦτο πάχνην καλεῖσθαι. Χάλαζαν δὲ νέφος πεπηγός, ὑπὸ πνεύματος διαθρυφθέν· χιόνα ὑγρὸν ἐκ νέφους πεπηγότος. Ἀστραπὴν ἔξαψιν νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος· βροντὴν δὲ τὸν τούτων ψόφον ἐκ παρατρίψεως ἢ ῥήξεως·
15 κεραυνὸν ἔξαψιν σφοδρὰν μετὰ πολλῆς βίας πίπτουσαν, **154** νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων. Τυφῶνα κεραυνὸν βίαιον, πολὺν καὶ πνευματώδη, ἢ πνεῦμα καπνῶδες ⟨*⟩ †ἀπὸ† νέφους· πρηστῆρα νέφος περισχισθὲν πυρὶ μετὰ πνεύματος. ⟨*⟩ εἰς τὰ κοιλώματα τῆς γῆς, ἢ καθειρχθέντος
20 πνεύματος ἐν ⟨τῇ⟩ γῇ· εἶναι δ' αὐτῶν τοὺς μὲν σεισματίας, τοὺς δὲ χασματίας, τοὺς δὲ καυματίας, τοὺς δὲ βρασματίας.

1 ἀφ' **Φ** et BP[1] : ἐξ F **3** ἐν **Φ** et D, *Suda* : ἂν BP[1]F **4** post πωγωνίας addunt καὶ λαμπαδίας PF : om. **Φ** et B **6** ἀναχθέντος : ἀνενεχθέντος BPF et *Suda* | ἐμπεριφερομένου **Φ** : περιφερομένου *Suda* : ἐν ἀέρι φερομένου BPF **9** ἀφ' **Φ** et DP[4] : ὑφ' BP[1]F | μὴ **Φ** et D, *Suda* : καὶ μὴ BPF | τυγχάνῃ **Φ** et DP[4] : τυγχάνον BP[1]F **10** καταψυχθὲν **Φ** et D : καταψυχὲν B : καταψύχειν P[1] **15** βίας **Φ** et D : βίας καὶ BP[1]F | post πίπτουσαν addunt ἐπὶ γῆς BPF **17** ante ἀπὸ lac. indicavi : ἐρρωγὸς ἀπὸ P[1] et *Suda* : ἔρρωτος ἀπο(νέφους) B : ἐρρωγότος F **18** περισχισθὲν **Φ** et P[1]B[2] (περισχιθὲν B[1]) : περιχυθὲν F **19** post πνεύματος lac. in **Φ** et BPF : ⟨Σεισμοὺς δὲ γίνεσθαι ῥυέντος πνεύματος⟩ suppl. Menagius conl. *Suda*, Σ 291 **20** τῇ addidi ex BPF **21** καυματίας **Φ** et FDP[4] : καϊματίας B : κυματίας P[1] : κλιματίας Schneider

155 Τὴν γῆν μέσην τετάχθαι, κέντρου λόγον ἔχουσαν, μεθ' ἣν ὕδωρ, μετὰ τὸ ὕδωρ ἀέρα ἐσφαιρωμένον. Κύκλους ἐν τῷ οὐρανῷ ε΄, ὧν πρῶτον ἀρκτικόν, ἀεὶ φαινόμενον, δεύτερον τροπικὸν θερινόν, τρίτον ἰσημερινόν, τέταρτον χειμερινὸν τροπικόν, πέμπτον ἀνταρκτικὸν ἀφανῆ. Λέγονται δὲ ἀκατάλληλοι καθότι οὐ συννεύουσιν εἰς ἀλλήλους· γράφονται μέντοι περὶ τὸ αὐτὸ κέντρον. Ὁ δὲ 156 ζῳδιακὸς λοξός ἐστι. Ζῶναι ἐπὶ γῆς ε΄· ⟨α΄⟩ βόρειος, ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· δευτέρα εὔκρατος· ⟨*⟩ καυμάτων, ἡ διακεκαυμένη καλουμένη· δ΄ ἡ ἀντεύκρατος· πέμπτη νότιος, ἀοίκητος διὰ ψῦχος.

Δοκεῖ δ' αὐτοῖς τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικόν, τὴν δὲ ψυχὴν αἰσθητικήν. Ταύτην δ' εἶναι τὸ συμφυὲς ἡμῖν πνεῦμα· διὸ καὶ σῶμα | εἶναι καὶ μετὰ θάνατον ἐπιμένειν· φθαρτὴν δὲ ὑπάρχειν, τὴν δὲ τῶν ὅλων ἄφθαρτον, ἧς μέρη 157 εἶναι ⟨τὰς ἐν⟩ τοῖς ζῴοις. Οἱ δέ φασι πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι. Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν, Χρύσιππος δὲ μόνας τὰς τῶν σοφῶν.

Μέρη ψυχῆς λέγουσιν ὀκτώ, τὰς ε΄ αἰσθήσεις καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους καὶ τὸ φωνητικὸν καὶ τὸ λογιστικόν. Ὁρᾶν δὲ τοῦ μεταξὺ τῆς ὁράσεως καὶ τοῦ ὑποκειμένου φωτὸς ἐντεινομένου κωνοειδῶς. Γίνεσθαι μὲν γὰρ τὸ κωνοειδὲς τοῦ ἀέρος πρὸς τῇ ὄψει, τὴν δὲ βάσιν πρὸς τῷ ὁρωμένῳ· ὡς οὖν διὰ βακτηρίας τοῦ ταθέντος 158 ἀέρος τὸ βλεπόμενον ἀγγέλλεσθαι. Ἀκούειν δὲ τοῦ μεταξὺ τοῦ φωνοῦντος καὶ τοῦ ἀκούοντος ἀέρος πληττομένου

(f. 37ᵛ; line numbers 5, 10, 15, 20, 25 in margin)

1 ἔχουσαν **Φ** et *Suda* : ἐπέχουσαν PF : ἀπέχουσαν B **2** ὕδωρ[1] : τὸ ὕδωρ σφαιροειδές BPF **6** ἀκατάλληλοι : παράλληλοι B et *Suda* : πάντα ἄλληλοι P[1]F **8** α΄ addidi ex BPF **10** ante καυμάτων lacuna in **Φ** et *Suda* : γ΄ ἀοίκητος ὑπὸ BPF **14** ὑπάρχειν **Φ** et BP[1] : εἶναι F | μέρη **Φ** et PF : μέλη B **15** τὰς ἐν addidi ex BPF | ἔνθερμον **Φ** et BP : θερμὸν F **16** ἐμπνόους **Φ** et BP : ἔμπνους F **21** τοῦ[1] **Φ** et B[2] : τοὺς B[1]P[1]F **23** μὲν γὰρ : μέντοι FD : μὲν BP[1] **25** ἀναγγέλλεσθαι BPF

σφαιροειδῶς, εἶτα κυματουμένου καὶ ταῖς ἀκοαῖς ἐμπίπτοντος, ὡς κυματοῦται ⟨τὸ⟩ ἐν τῇ δεξαμενῇ ὕδωρ κατὰ κύκλους ὑπὸ τοῦ ἐμβληθέντος λίθου. Τὸν ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. Αἰ-
5 τίας δὲ τῶν παθῶν φασι τὰς περὶ τὸ πνεῦμα τροπάς.

Σπέρμα τὸ οἷόν τε γεννᾶν τοιαῦτα ἀφ' οἵου καὶ αὐτὸ ἀπεκρίθη· ἀνθρώπου σπέρμα, ὃ μεθίησιν ἄνθρωπος μεθ' ὑγροῦ, συγκίρνασθαι τοῖς τῆς ψυχῆς μέρεσι κατὰ μιγμὸν τοῦ τῶν προγόνων λόγου. Ἡγεμονικὸν δ' εἶναι τὸ κυριώ- **159**
10 τατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ.

Ὁ ὄκνος εἰς τὸν φόβον ἀνάγεται κατ' αὐτούς, καὶ ἔστι **112** φόβος μελλούσης ἐνεργείας.

Φασὶ τὸ μὲν ἀρνητικὸν μέρος ⟨τοῦ⟩ λόγου εἶναι συν- **70**
15 εστηκὸς ἐξ ἀρνητικοῦ μορίου καὶ κατηγορήματος, οἷον "Οὐδεὶς περιπατεῖ·" στερητικὸν δὲ τὸ συνεστηκὸς ἐκ στερητικοῦ μορίου καὶ ἀξιώματος κατὰ δύναμιν, οἷον "Ἀφιλάνθρωπος οὗτος."

Εἰσάγουσι καί τινα λόγον ἐγκεκαλυμμένον λε- **82**
20 γόμενον· ἔστι δὲ τοιοῦτος· "Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστίν, οὐχὶ δὲ καὶ τὰ γ´· οὐχὶ δὲ ⟨καὶ⟩ ταῦτα μέν, οὐχὶ δὲ καὶ τὰ δ´, καὶ οὕτω μέχρι τῶν ι´· τὰ δὲ δύο ὀλίγα ἐστί· καὶ τὰ ι´ ἄρα."

Καὶ ταῦτα μὲν τὰ τῶν Στωϊκῶν.

25 ## 8. ΠΕΡΙ ΤΗΣ ΠΥΡΡΩΝΕΙΟΥ ΑΙΡΕΣΕΩΣ

Ἡ δὲ Πυρρώνειος αἵρεσις καλεῖται ζητητικὴ καὶ **9.69** σκεπτικὴ καὶ ἐφεκτικὴ καὶ ἀπορητική· ζητητικὴ μὲν ἀπὸ **70** τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν, σκεπτικὴ δὲ ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ καὶ μηδέποτε εὑρίσκειν, ἐφεκτικὴ δὲ ἀπὸ
30 τοῦ μέτα τὴν ζήτησιν πάθους (λέγω δὴ τῆς ἐποχῆς)·

1 ἐμπίπτοντος : προσπίπτοντος BPF **2** τὸ addidi ex BPF **5** φασι scripsi (ἀπολείπουσι BPF) : φησὶ **Φ** **6** οἵου **Φ** et BP : οὗ F **8** συγκίρνασθαι **Φ** et P[1]F : συγκρίνασθαι B **14** τοῦ addidi **21** καὶ[2] addidi ex BPF **30** δὴ **Φ** et *Suda*, Π 3241 : δὲ BPF | τὴν ἐπόχην BPF et *Suda*

ἀπορητικὴ δὲ ἀπὸ τοῦ τοὺς δογματικοὺς ἀπορεῖν· Πυρρώνειος δὲ ἀπὸ Πύρρωνος. Θεοδόσιος δὲ ἐν τοῖς Σκεπτικοῖς κεφαλαίοις οὔ φησι δεῖν Πυρρώνειον καλεῖσθαι τὴν σκεπτικήν· εἰ γὰρ τὸ καθ' ἕτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύρρωνος διάθεσιν· μὴ 5
f. 38r εἰδότες δὲ οὐδὲ Πυρρώνειοι καλοίμεθ' ἄν. Ἄλλως δὲ | μή τι δόγμα ἔχουσα οὐδ' αἵρεσις λέγοιτ' ἄν.

71 Φασὶ δὲ ταύτης τῆς αἱρέσεως Ὅμηρον κατάρξαι, ἐπεὶ περὶ τῶν αὐτῶν πραγμάτων ἄλλοτε ἄλλως ἀποφαίνεται. Ἔοικε δὲ καὶ Εὐριπίδης σκεπτικῶς ἔχειν, ἐν οἷς λέγει· 10

> Τί δῆτα τούτους τοὺς ταλαιπώρους βροτοὺς
> φρονεῖν λέγουσι; Σοῦ γὰρ ἐξηρτήμεθα
> δρῶμέν τε τοιαῦθ' ἃ σὺ τυγχάνεις θέλων.

Καὶ τῶν ζ′ σοφῶν αἱ ἀποφάσεις σκεπτικαί εἰσιν, οἷον τὸ "Μηδὲν ἄγαν" καὶ τὸ "Ἐγγύα, πάρα δ' ἄτα." 15

72 Καὶ Δημόκριτος δέ· "†αἰτίῃ† οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια·" καὶ Πλάτων τὸ μὲν ἀληθὲς θεοῖς τε καὶ θεῶν παισὶν ἐκχωρεῖ, τὸν δὲ εἰκότα λόγον ζητεῖ· καὶ αὖθις Εὐριπίδης·

> 73 Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, 20
> ⟨τὸ⟩ κατθανεῖν δὲ ζῆν νομίζεται βροτοῖς;

Καὶ Ὅμηρος·

> πολέες δ' ἔνι μῦθοι

6–7 cf. 1.20 **11–13** Eurip. *Suppl.* 734–736 **16–17** 68 B 117 DK **17–18** Plat. *Tim.* 40 d 6 **20–21** Eurip. Fr. 638 N[2]; *Suda*, T 662 **23** *Iliad.* 20.248

1 ἀπορεῖν **Φ** et F : ἀπορεῖν καὶ αὐτοὺς (δέ) BP et *Suda* **4** post ἕτερον ss. addit ποῦ **Φ**[1], om. **Ψ** **6** οὐδὲ **Φ**, BP et *Suda* : οὐ F **9** post πραγμάτων addunt παρ' ὅντιν' B[2]PF, παρ' ὀντιναοῦν D **16** αἰτίη **Φ** et BPF : ἐτεῇ recte Stephanus **18** αὖθις om. BPF **21** τὸ addidi ex B[2]FP[4], *Suda* et Eurip.

καί·

ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα

καί·

ὁποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις,

5 τὴν ἰσοσθένειαν λέγων καὶ τὴν ἀντίθεσιν τῶν λόγων. **74**

Διετέλουν δὴ οἱ Σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες, αὐτοὶ δ' οὐδὲν ἀποφαίνονται δογματικῶς, ἕως δὲ τοῦ προφέρεσθαι τὰ τῶν ἄλλων καὶ διηγεῖσθαι μηδὲν ὁρίζοντες, μηδ' αὐτὸ τοῦτο. Ὥστε καὶ τὸ
10 μὴ ὁρίζειν ἀνῄρουν, λέγοντες οἷον "Οὐδὲν ὁρίζομεν·" (ἐπεὶ ὥριζον ἄν)· "προφερόμεθα δέ, φασί, τὰς ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς, εἰ καὶ νεύσαντας, τοῦτο ἐνεδέχετο δηλῶσαι." Διὰ τῆς "Οὐδὲν ὁρίζομεν" φωνῆς τὸ τῆς ἀρρεψίας πάθος δηλοῦνται. Ὁμοίως καὶ διὰ τῆς
15 "Οὐδὲν μᾶλλον" καὶ τῆς "Παντὶ λόγῳ λόγος ἀντίκειται."

Λέγεται δὲ τὸ "Οὐδὲν μᾶλλον" καὶ θετικῶς, ὡς ὁμοίων **75** τινῶν ὄντων· οἷον "Οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ ψεύστης." Ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ' ἀναιρετικῶς λέγεται, ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ
20 λέγοντος "Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ Χίμαιρα." Αὐτὸ δὲ τὸ "Μᾶλλον" ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν "Μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν σταφίδα·" ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς, ὡς ὅταν λέγωμεν "Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει·" σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ
25 ὠφελεῖ, οὐ βλάπτει δέ.

2 et **4** *Iliad.* 20.249–250 **6–p. 174.8** ἐπακολουθεῖ cf. *Suda,* 802 Οὐδὲν μᾶλλον

2 καὶ ἔνθα **Φ** et P[4] : om. (B)P[1]F **6** δὴ **Φ** et BP[1] : δὲ F **8** προφέρεσθαι scripsi ex BP : περιφέρεσθαι **Φ** **12** ἀποπροπτωσίας **Φ**, correxi ex BPF **13** οὐδὲν **Φ** et F : οὖν οὐδὲν BP[1] **14** δηλοῦνται scripsi ex P[1] : δηλοῦντας **Φ** : δηλοῦται BF et *Suda* **20** ἡ : ἢ **Φ** et B | ἢ **Φ**, *Suda* et B P[1] : ἢ ἡ F

76 Ἀναιροῦσι δ' οἱ Σκεπτικοὶ καὶ αὐτὴν τὴν "Οὐδὲν μᾶλλον" φωνήν· ὡς γὰρ οὐ μᾶλλόν ἐστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ "Οὐδὲν μᾶλλον" οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. Σημαίνει οὖν ἡ φωνὴ "τὸ μηδὲν ὁρίζειν, ἀλλ' ἀπροσθετεῖν." Ἡ δὲ "Παντὶ λόγῳ ... " φωνὴ καὶ αὐτὴ 5 συνάγει τὴν ἐποχήν· τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ. Καὶ αὐτῷ δὲ τούτῳ τῷ λόγῳ λόγος ἀντίκειται, ὃς καὶ οὗτος μετὰ τὸ ἀνελεῖν τοὺς ἄλλους ὑφ' ἑαυτοῦ περιτραπεὶς ἀπόλλυται, ἐπίσης τοῖς καθαρτικοῖς, ἃ τὴν 10 ὕλην προεκκρίναντα καὶ αὐτὰ ὑπεκκρίνεται καὶ ἀπόλλυται.

77 Πρὸς ὅ φασιν οἱ δογματικοὶ μὴ αἱρεῖν τὸν λόγον, ἀλλὰ προσεπισχυρίζειν. Μόνον οὖν διακονίαις ἐχρῶντο τοῖς λόγοις· οὐ γὰρ οἷόν τε ἦν μὴ λόγον λόγῳ ἀνελεῖν· καθ' ὃν 15 τρόπον εἰώθαμεν λέγειν τόπον μὴ εἶναι καὶ δεῖ πάντως | f. 38ᵛ τὸν τόπον εἰπεῖν. Τοιούτῳ τινὶ τρόπῳ τῆς ἑρμηνείας ἐχρῶντο· οἷα γὰρ φαίνεται τὰ πράγματα, μὴ τοιαῦτα εἶναι τῇ φύσει, ἀλλὰ μόνον φαίνεσθαι. Ζητεῖν τε ἔλεγον οὐχ ἅπερ νοοῦσιν (ὅ τι γὰρ νοεῖται δῆλον), ἀλλ' ὧν ταῖς 20 αἰσθήσεσι μετέχουσιν.

78 Ἔστιν οὖν ὁ Πυρρώνειος λόγος μνήμη τις τῶν φαινομένων ἢ τῶν ὁπωσοῦν νοουμένων, καθ' ἣν πάντα πᾶσι συμβάλλεται καὶ συγκρινόμενα πολλὴν ἀνωφέλειαν καὶ ταραχὴν ἔχοντα εὑρίσκεται. 25

79 Ἀπεδίδοσαν δὲ τὰς ἀπορίας κατὰ δέκα τρόπους· ὧν πρῶτος ὁ παρὰ τὰς διαφορὰς τῶν ζῴων πρὸς ἡδονὴν καὶ ἀλγηδόνα καὶ βλάβην καὶ ὠφέλειαν. Συνάγεται δὲ δι'

4–5 ἀλλὰ προσθετεῖν **Φ**, correxi **9** οὗτος **Φ** et BPF : αὐτὸς Huebner **10** ἐξαπόλλυται BPF | ἐπίσης : κατ' ἴσον BPF **13** ante μὴ lac. indicavit Cobet | αἱρεῖν **Φ** et BP : αἴρειν F **14** διακονίαις **Φ** et BP[1]D : διακόνοις F **15** λόγον λόγῳ **Φ** et BP : λόγῳ λόγον F **21** μετέχουσιν : μετίσχουσιν BPF **22** μνήμη τις **Φ** et BPF : μήνυσις Galesius **24** ἀνωφέλειαν **Φ** et BPF : ἀνωμαλίαν Kuehn **27** πρῶτος **Φ** et D : πρῶτον BPF

αὐτοῦ τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν προσπίπτειν φαντασίας καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. Τῶν γὰρ ζῴων τὰ μὲν χωρὶς μίξεως ⟨γίνεσθαι⟩, ὡς τὰ πυρίβια καὶ ὁ Ἀρράβιος φοῖνιξ καὶ εὐλαί· τὰ δὲ ἐξ
5 ἐπιπλοκῆς, ὡς ἄνθρωποι καὶ τἄλλα. Καὶ τὰ μὲν οὕτως, τὰ **80**
δὲ οὕτως συγκέκριται· διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν ὀξύτατοι, κύνες δὲ ὀσφρητικώτατοι. Εὔλογον οὖν τοῖς διαφόροις τοὺς ὀφθαλμοὺς διάφορα καὶ τὰ φαντάσματα προσπίπτειν. Καὶ τῇ μὲν αἰγὶ τὸν θαλλὸν εἶναι
10 ἐδώδιμον, ἀνθρώπῳ δὲ πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν τρόφιμον, ἀνθρώπῳ δὲ θανάσιμον· καὶ ὁ ἀπόπατος ὑὶ μὲν ἐδώδιμος, ἵππῳ δὲ οὔ.

Δεύτερος ὁ παρὰ τὰς τῶν ἀνθρώπων φύσεις κατὰ ἔθνη καὶ συγκρίσεις. Δημοφῶν γοῦν ὁ Ἀλεξάνδρου τραπεζοκό-
15 μος ἐν σκιᾷ ἐθάλπετο, ἐν ἡλίῳ δὲ ἐρρίγου· Ἄνδρων δ' ὁ **81**
Ἀργεῖος διὰ τῆς ἀνύδρου Λιβύης ὥδευεν ἄποτος. Καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ γεωργίας, ἄλλος ἐμπορίας ὀρέγεται· καὶ ταῦτα οὓς μὲν βλάπτει, οὓς δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον.

Τρίτος παρὰ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. Τὸ
20 γοῦν μῆλον ὁράσει μὲν ὠχρόν, γεύσει δὲ γλυκύ, ὀσφρήσει δὲ εὐῶδες ὑποπίπτει. Καὶ ἡ αὐτὴ δὲ μορφὴ παρὰ τὰς διαφορὰς τῶν κατόπτρων ἀλλοία θεωρεῖται. Ἀκολουθεῖ οὖν μὴ μᾶλλον εἶναι τοῖον τὸ φαινόμενον ἢ ἀλλοῖον.

Τέταρτος ὁ παρὰ τὰς διαθέσεις καὶ κοινὰς παραλλα- **82**
25 γάς, οἷον ὑγίειαν νόσον, ὕπνον ⟨ἐγρήγορσιν,⟩ χαρὰν λύπην, μῖσος φιλίαν, θερμασίαν ψύξιν· παρὰ τὸ πνεῖν, παρὰ τὸ πιεσθῆναι τοὺς πόρους. Ἀλλοῖα οὖν φαίνεται τὰ προσπίπτοντα παρὰ τὰς ποιὰς διαθέσεις. Οὐδὲ γὰρ οἱ μαινό-

3 γίνεσθαι addidi ex BPF **12** ἐδώδιμος **Φ** et F : ἐδώδιμον BP **13** κατὰ **Φ** et B²P : καὶ F | καὶ τὰ ἔθη D **18** ταῦτα **Φ** et BPF : ταὐτὰ Hicks **21** ἡ αὐτὴ δὲ scripsi ex BPF : αὐτὴ δὲ ἡ **Φ** **24** κοινὰς : κοινῶς BPF **25** ἐγρήγορσιν addidi ex BPF | post λύπην omittit **Φ** νεότητα γῆρας, θάρσος φόβον, ἔνδειαν πλήρωσιν

μενοι παρὰ φύσιν ἔχουσι· τί γὰρ μᾶλλον ἐκεῖνοι ἢ ἡμεῖς; Καὶ γὰρ ἡμεῖς τὸν ἥλιον ὡς ἑστῶτα βλέπομεν. Θέων δὲ ὁ Τιθορεὺς Στωϊκὸς κοιμώμενος περιεπάτει ἐν τῷ ὕπνῳ καὶ Περικλέους δοῦλος ἐπ' ἄκρου τοῦ τέγους.

83 Πέμπτος παρὰ τὰς ἀγωγὰς καὶ τοὺς νόμους καὶ τὰς 5 μυθικὰς πίστεις καὶ τεχνικὰς συνθήκας καὶ δογματικὰς ὑπολήψεις. Ἐν τούτοις περιέχεται τὰ περὶ καλῶν καὶ αἰσχρῶν, περὶ θεῶν καὶ γενέσεως καὶ φθορᾶς τῶν φαινομένων. Τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθόν, ἄλλοις δὲ κακόν. Πέρσαι 10 f. 39r μὲν γὰρ οὐκ ἄτοπον ἡγοῦνται | θυγατρὶ μίγνυσθαι, Ἕλληνες δὲ ἔκθεσμον. Καὶ Μασσαγέται μὲν κοινῶς ἔχουσι 84 τὰς γυναῖκας, Ἕλληνες δὲ οὔ. Κίλικές τε λῃστείαις ἔχαιρον, ἀλλ' οὐχ Ἕλληνες. Θεούς τε ἄλλοι ἄλλως ἡγοῦνται· καὶ οἱ μὲν προνοεῖσθαι, οἱ δ' οὔ. Θάπτουσι δὲ Αἰγύπτιοι 15 μὲν ταριχεύοντες, Ῥωμαῖοι δὲ καίοντες, Παίονες δὲ εἰς τὰς λίμνας ῥιπτοῦντες· ὅθεν περὶ τἀληθοῦς ἡ ἐποχή.

Ἕκτος ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινὲς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτί, σὺν ὑγρῷ. Ἡ γοῦν πορφύρα διάφορον ὑποφαίνει 20 χρῶμα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ λύχνῳ. Καὶ τὸ ἡμέτερον χρῶμα ἀλλοῖον ὑπὸ τῇ μεσημβρίᾳ φαίνεται καὶ †ὁ ἥλι-85 ος†. Καὶ ὁ ἐν ἀέρι ὑπὸ δυοῖν κουφιζόμενος λίθος ἐν ὕδατι

3 τιθορεὺς Φ et BPF : Τιθορ⟨αι⟩εὺς Menagius 6 μυθικὰς Φ et BP : μουσικὰς F | τεχνικὰς Φ et BPF : τὰς ἐθικὰς Menagius e S.E. 7 τούτοις : τούτῳ BPF 8 γενέσεων BPF | τῶν φαινομένων πάντων BPF 11 μίγνυσθαι Φ et BP : μιγῆναι F 12 κοινῶς : κοινὰς BPF 14 ἄλλως Φ et BP[1] : ἄλλους F 18 εἰλικρινῶς BPF 19 αὑτὸ Φ et B[2] F : αὐτὸν B[1]P 22 ὁ ἥλιος Φ et BPF : ⟨ὅτε⟩ ὁ ἥλιος ⟨δύνει⟩ Kuehn 23 δυοῖν Φ et B : δυεῖν PF

ῥαδίως μετατίθεται, ἤτοι βαρὺς ὢν καὶ ὑπὸ τοῦ ὕδατος κουφιζόμενος, ἢ ἐλαφρὸς ὢν καὶ ὑπὸ τοῦ ἀέρος βαρυνόμενος. Ἀγνοοῦμεν οὖν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ.

Ἕβδομος ὁ παρὰ τὰς ἀποστάσεις καὶ ποιὰς θέσεις καὶ
5 τοὺς τόπους καὶ τὰ ἐν τοῖς τόποις. Κατὰ τοῦτον τὸν τρόπον τὰ δοκοῦντα εἶναι μεγάλα μικρὰ φαίνεται, τὰ ὁμαλὰ ἐξοχὰς ἔχοντα, τὰ ὀρθὰ κεκλασμένα, τὰ ὠχρὰ ἑτερόχροα. Ὁ γοῦν ἥλιος παρὰ τὸ διάστημα τετράγωνος φαίνεται· καὶ τὰ ὄρη πόρρωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν
10 δὲ τραχέα. Ἔτι ὁ ἥλιος ἀνίσχων μὲν ἀλλοῖος, μεσουρανῶν δὲ ἀλλοῖος. Καὶ τὸ αὐτὸ σῶμα ἐν μὲν ἄλσει ἀλλοῖον, ἐν δὲ ψιλῇ γῇ ἕτερον· καὶ ἡ εἰκὼν παρὰ τὴν ποιὰν θέσιν, ὅ τε τῆς περιστερᾶς τράχηλος παρὰ τὴν στροφήν. Ἐπεὶ οὖν οὐκ ἔνι ἔξω τόπων καὶ θέσεων ταῦτα κατανοεῖ-
15 σθαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν. **86**

Ὄγδοος ὁ παρὰ τὰς ποιότητας αὐτῶν ἢ θερμότητας ἢ ψυχρότητας. Ὁ γοῦν οἶνος μέτριος μὲν ληφθεὶς ῥώννυσι, πλείων δὲ παρίησιν· ὁμοίως καὶ ἡ τροφὴ καὶ τὰ ὅμοια.

Ἔνατος ὁ παρὰ τὸ ἐνδελεχὲς ἢ ξένον ἢ σπάνιον. Οἱ **87**
20 γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται οὐ θαυμάζονται, οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται.

Δέκατος ὁ κατὰ τὴν πρὸς ἄλλα σύμβλησιν, καθάπερ τὸ κοῦφον παρὰ τὸ βαρύ, τὸ ἰσχυρὸν παρὰ τὸ ἀσθενές, τὸ μεῖζον παρὰ τὸ ἔλαττον, τὸ ἄνω παρὰ τὸ κάτω. Τὸ γοῦν
25 δεξιὸν φύσει μὲν οὐκ ἔστι δεξιόν, κατὰ δὲ τὴν πρὸς ⟨τὸ⟩ ἕτερον σχέσιν νοεῖται· μετατεθέντος γοῦν ἐκείνου οὐκ ἔσται δεξιόν. Ὁμοίως καὶ πατὴρ καὶ ἀδελφὸς ὡς πρός τι, **88** καὶ ἡμέρα ὡς πρὸς τὸν ἥλιον, καὶ πάντα ὡς πρὸς τὴν

6 post φαίνεται addunt BPF τὰ τετράγωνα στρογγύλα **8** τετράγωνος : πόρρωθεν BPF (cf. v. 9) : μικρὸς Kuehn **11** ἀλλοῖος : οὐχ ὅμοιος BPF **14** κατανοεῖσθαι : κατανοῆσαι BPF **16** ποιότητας **Φ** et F : ποσότητας BP et S.E. *P.h.* 1.129 **22** ἄλλα **Φ** et P[1] : ἄλλας B : ἄλληλα F **25** τὸ addidi ex BPF **26** οὐκ : οὐκέτ' BPF

διάνοιαν. Ἄγνωστα οὖν τὰ πρός τι καθ' ἑαυτά.

Τούτοις τοῖς δέκα τρόποις προστιθέασιν οἱ περὶ Ἀγρίππαν καὶ ἑτέρους ε´· τόν τε ἀπὸ τῆς διαφωνίας καὶ τὸν εἰς ἄπειρον ἐκβάλλοντα καὶ τὸν πρός τι καὶ τὸν ἐξ ὑποθέσεως καὶ τὸν δι' ἀλλήλων. Ὁ μὲν οὖν ἀπὸ τῆς δια- 5 φωνίας, ὃ ἂν προτεθῇ ζήτημα παρὰ τοῖς φιλοσόφοις ἢ τῇ συνηθείᾳ, πλείστης μάχης καὶ ταραχῆς πλῆρες ἀποδεικνύει. Ὁ δὲ εἰς ἄπειρον ἐκβάλλων οὐκ ἐᾷ βεβαιοῦσθαι τὸ ζητούμενον, διὰ τὸ ἄλλο ἀπ' ἄλλου τὴν πίστιν λαμβά- f. 39ᵛ νειν καὶ οὕτως εἰς ἄπειρον. Ὁ δὲ πρός τι | οὐδέν φησι ⟨*⟩ 10 **89** λαμβάνεσθαι, ἀλλὰ μεθ' ἑτέρου· ὅθεν ἄγνωστα εἶναι. Ὁ δ' ἐξ ὑποθέσεως τρόπος συνίσταται οἰομένων τινῶν τὰ πρῶτα τῶν πραγμάτων αὐτόθεν δεῖν λαμβάνειν ὡς πιστὰ καὶ μὴ αἰτεῖσθαι· ὅ ἐστι μάταιον· τὸ ἐναντίον γάρ ⟨τις⟩ ὑποτιθήσεται. Ὁ δὲ δι' ἀλλήλων τρόπος συνίσταται ὅταν 15 τὸ ὀφεῖλον τοῦ ζητουμένου πράγματος εἶναι βεβαιωτικὸν χρείαν ἔχῃ τῆς ἐκ τοῦ ζητουμένου πίστεως· οἷον εἰ τὸ εἶναι πόρους τις βεβαιοῖτο διὰ τοῦ ἀπορροίας γίνεσθαι, αὐτὸ παραλαμβάνοι καὶ βεβαιοῖτο τὸ ἀπορροίας γίνεσθαι. 20

90 Ἀνῄρουν δ' οὗτοι καὶ πᾶσαν ἀπόδειξιν καὶ κριτήριον καὶ σημεῖον καὶ αἴτιον καὶ κίνησιν καὶ μάθησιν καὶ γένεσιν καὶ τὸ φύσει τι εἶναι ἀγαθὸν ἢ κακόν. Πᾶσα γὰρ ἀπόδειξις, φασίν, ἢ ἐξ ἀποδεδειγμένων σύγκειται χρημάτων, ἢ ἐξ ἀναποδείκτων. Εἰ μὲν οὖν ἐξ ἀποδεδειγμένων, 25 κακεῖνα δεήσεταί τινος ἀποδείξεως κἀντεῦθεν εἰς ἄπειρον· εἰ δὲ ἐξ ἀναποδείκτων, ἤτοι πάντων ἢ τινῶν ⟨ἢ⟩ ἑνὸς

1 τὰ Φ et F : om. BP[1] **2** προστιθέασιν : προσεισάγουσι BPF **9** ἄλλο scripsi ex BPF : ἄλλοτε Φ **11** post φησι lac. indicavi : κατὰ πάντα BPF : καθ' ἑαυτὸ Stephanus **15** τις addidi ex BPF | ὑποθήσεται BPF **18** βεβαιοῖτο : βεβαιοῖ BPF : βεβαιῶν Cobet | τοῦ : τὸ BPF **20** καὶ βεβαιοῖτο : πρὸς βεβαίωσιν BP **23** τι scripsi ex BPF : τινὰ Φ **27** ἢ[2] addidi ex BPF

δὴ μόνου διαστιζομένου, καὶ τὸ ὅλον εἶναι ἀναπόδεικτον.
Εἰ δὲ δοκεῖ, φασίν, εἶναί τινα μηδεμιᾶς ἀποδείξεως
δεόμενα, θαυμαστοὶ τῆς γνώμης εἰ μὴ συνιᾶσιν ὅτι εἰς
αὐτὸ τοῦτο πρῶτον, ὡς ἄρα ἐξ αὐτοῦ ἔχει τὴν πίστιν,
5 ἀποδείξεως χρή. Οὐδὲ γὰρ τὸ δ´ εἶναι τὰ στοιχεῖα ἐκ τοῦ **91**
δ´ εἶναι στοιχεῖα βεβαιωτέον. Πρὸς τῷ καὶ τῶν κατὰ
μέρος ἀποδείξεων ἀπιστουμένων ἄπιστον εἶναι καὶ τὴν
γενικὴν ἀπόδειξιν. Ἵνα τε γνῶμεν ὅτι ἔστιν ἀπόδειξις,
κριτηρίου δεῖ· καὶ ὅτι ἔστι κριτήριον, ἀποδείξεως δεῖ·
10 ὅθεν ἑκάτερα ἀκατάληπτα εἶναι, ἀναπεμπόμενα ἐπ᾽
ἄλληλα. Πῶς ⟨ἂν⟩ οὖν καταλαμβάνοιτο τὰ ἄδηλα, τῆς
ἀποδείξεως ἀγνοουμένης; Ζητεῖται δ᾽ οὐκ εἰ φαίνεται
τοιαῦτα, ἀλλ᾽ εἰ καθ᾽ ὑπόστασιν οὕτως ἔχει.

Εὐήθεις δὲ τοὺς δογματικοὺς ἀπέφαινον, ἐξ ὑποθέσε-
15 ων περαινομένους· τὰ γὰρ τοιαῦτα οὐ σκέψεως ἀλλὰ
θέσεως λόγον ἔχει. Τοιούτῳ δὲ λόγῳ καὶ ὑπὲρ ἀδυνάτων
ἔστιν ἐπιχειρεῖν.

Ἔτι, φασίν, ὁ συζητῶν ἡμῖν τὸ φαινόμενον εἰ πιστόν **93**
ἐστι ἢ οὔ· εἰ μὲν πιστόν ἐστιν, οὐδὲν ἕξει λέγειν πρὸς τὸν
20 ᾧ φαίνεται τοὐναντίον· ὡς γὰρ αὐτὸς πιστὸς τὸ φαινόμε-
νον λέγων, οὕτω καὶ ὁ ἐναντίος· εἰ δ᾽ ἄπιστος, καὶ αὐτὸς
ἀπιστηθήσεται τὸ φαινόμενον λέγων.

Τό τε πεῖθον οὐχ ὑποληπτέον ἀληθὲς ὑπάρχειν· οὐ **94**
γὰρ πάντας τὸ αὐτὸ πείθειν, οὐδὲ τοὺς αὐτοὺς συνεχές.
25 Ἀνῄρουν δὲ καὶ τὸ κριτήριον λόγῳ τοιῷδε. Ἤτοι
κέκριται καὶ τὸ κριτήριον ἢ ἄκριτόν ἐστιν. Εἰ μὲν οὖν
ἄκριτόν ἐστιν, ἄπιστον καθέστηκε καὶ διημάρτηκε τοῦ
ἀληθοῦς καὶ ψευδοῦς· εἰ δὲ κέκριται, ἓν τῶν κατὰ μέρος

1 δὴ scripsi : δὲ **Φ** | διαστιζομένου **Φ** et BPF : δισταζομένου D **2** εἶναι : ὑπάρχειν BPF **4** αὐτοῦ : αὐτῶν BPF **6** στοιχεῖα **Φ** et BP : τὰ στοιχεῖα F **8** γενικὴν scripsi ex BPF : γεννητικὴν **Φ** **10** εἶναι : om. BPF **11** ἂν addidi ex BPF | ἄδηλα **Φ** et DP^4 : δῆλα BP^1 : om. F **14** ὑποθέσεως BPF **18** εἰ : om. BPF | πιστόν **Φ** et BP^{1}D : πιστός FP^4 **19** πιστόν **Φ** et P^{2}FD : πιστός P^1, Cobet **28** καὶ **Φ** et BP : καὶ τοῦ F | ψευδοῦς **Φ** et BD : ψεύδους PF | ἓν τῶν **Φ** et FDP^4 : ἐν τῷ B^{1}P^1

γενήσεται κρινομένων, ὥστ' ἂν τὸ αὐτὸ καὶ κρίνοι καὶ
95 κρίνοιτο, τὸ κεκρικὸς κριτήριον ὑφ' ἑτέρου κριθήσεται
κἀκεῖνο ὑπ' ἄλλου, καὶ οὕτως εἰς ἄπειρον. Πρὸς τῷ καὶ
διαφωνεῖσθαι τὸ κριτήριον, τῶν μὲν τὸν ἄνθρωπον κρι-
τήριον εἶναι λεγόντων, τῶν δὲ τὰς αἰσθήσεις, ἄλλων τὸν 5
λόγον, ἐνίων δὲ τὴν καταληπτικὴν φαντασίαν. Ἡ δὲ
φαντασία ὑπὸ νοῦ κρίνεται καὶ ὁ νοῦς ποικίλως τρέπεται.
Ἄγνωστον οὖν ἐστι τὸ κριτήριον καὶ διὰ τοῦτο ἡ ἀλή-
θεια.

f. 40r | Σημεῖόν τε οὐκ εἶναι. Εἰ γὰρ ἔστι, φασί, σημεῖον, 10
96 ἤ(τοι) αἰσθητὸν ἔσται ἢ νοητόν· αἰσθητὸν μὲν οὖν οὐκ
ἔστιν, ἐπεὶ τὸ αἰσθητὸν κοινόν ἐστι, τὸ δὲ σημεῖον ἴδιον.
Καὶ τὸ μὲν αἰσθητὸν κατὰ διαφοράν, τὸ δὲ σημεῖον τῶν
πρός τι. Νοητὸν δ' οὐκ ἔστιν, ἐπεὶ εἰ ἔστι νοητόν, ἤτοι φαι-
νόμενόν ἐστι φαινομένου, ἢ ἀφανὲς ἀφανοῦς, ἢ ἀφανὲς 15
φαινομένου, ἢ φαινόμενον ἀφανοῦς· οὐδὲν δὲ τούτων
ἐστίν· οὐκ ἄρα ἐστὶ σημεῖον. Φαινόμενον ⟨μὲν⟩ οὖν φαι-
νομένου οὐκ ἔστιν, ἐπεὶ τὸ φαινόμενον οὐ δεῖται σημείου·
ἀφανὲς δὲ ἀφανοῦς οὐκ ἔστιν, ἐπεὶ δεῖ φαίνεσθαι τὸ
97 ἐκκαλυπτόμενον ὑπό τινος· ἀφανὲς δὲ φαινομένου οὐ δύ- 20
ναται, καθότι δεῖ φαίνεσθαι τὸ ἑτέρῳ παρέξον ἀφορμὴν
καταλήψεως· φαινόμενον δὲ ἀφανοῦς οὐκ ἔστιν, ὅτι τῶν
πρός τι ὂν τὸ σημεῖον συγκαταλαμβάνεσθαι ὀφείλει τῷ
οὗ ἐστι σημεῖον· τὸ δὲ εἰ μὴ ἔστιν, οὐδὲν ἂν τῶν ἀδήλων
καταλαμβάνοιτο· διὰ γὰρ τῶν σημείων λέγεται τὰ ἄδηλα 25
καταλαμβάνεσθαι.

Ἀναιροῦσι καὶ τὸ αἴτιον ὧδε. Τὸ αἴτιον τῶν πρός τι

1–2 κρίνοι καὶ κρίνοιτο : κρίνειν καὶ κρίνεσθαι BPF **2** τὸ **Φ** et BP[1]F : καὶ τὸ P[2]D | κριτήριον : τὸ κριτήριον BPF **3** τῷ **Φ** et P : τὸ BF **11** ἤ(τοι) scripsi ex BPF : ἢ **Φ** | ἔσται **Φ** : ἐστιν BPF **13** αἰσθητὸν **Φ** et BPF : αἰσθητὸν ⟨τῶν⟩ Rossi **14** εἰ : οὐκ BPF **16** δὲ **Φ** et D : om. BPF **17** μὲν addidi ex BPF **20** ἐκκαλυπτόμενον scripsi ex BPF : ἐγκαλυπτόμενον **Φ** **24** εἰ : om. BPF | ἂν **Φ** et BP : ἄρα F **27** καὶ : δὲ BPF

ἔστι· πρὸς γὰρ τῷ αἰτιατῷ ἐστι· τὰ δὲ πρός τι ἐπινοεῖται
μόνον, ὑπάρχει δὲ οὔ· καὶ τὸ αἴτιον οὖν ἐπινοοῖτο ἂν
μόνον, ἐπεὶ εἴπερ ἐστὶν αἴτιον, ὀφείλει ἔχειν τὸ οὗ λέγε- 98
ται αἴτιον, ἐπεὶ οὐκ ἔσται αἴτιον. Καὶ ὥσπερ ὁ πατήρ, μὴ
5 παρόντος τοῦ πρὸς ὃ λέγεται πατήρ, οὐκ ἂν εἴη πατήρ,
οὕτω καὶ τὸ αἴτιον· οὐ πάρεστι δὲ πρὸς ὃ νοεῖται τὸ
αἴτιον· οὔτε γὰρ γενέσει, οὔτε φθορᾷ, οὔτε ἄλλῳ τινί· οὐκ
ἄρα ἐστὶν ⟨αἴτιον⟩. Καὶ μὴν εἰ ἔστιν αἴτιον, ἤτοι σῶμα
σώματός ἐστιν αἴτιον, ἢ ἀσώματον ἀσωμάτου· οὐδὲν δὲ
10 τούτων· οὐκ ἄρα ἐστὶν αἴτιον. Καὶ σῶμα μὲν σώματος οὐκ
ἂν εἴη αἴτιον, ἐπείπερ ἀμφότερα τὴν αὐτὴν ἔχει φύσιν.
Καὶ εἰ τὸ ἕτερον αἴτιον λέγεται παρ' ὅσον ἐστὶ σῶμα, καὶ
τὸ λοιπόν, σῶμα ὄν, αἴτιον γενήσεται. Κοινῶς δὲ ἀμφοτέ- 99
ρων αἰτίων ὄντων, οὐδὲν ἔσται τὸ πάσχον. Ἀσώματον δὲ
15 ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον διὰ τὸν αὐτὸν λόγον. Ἀσώ-
ματον δὲ σώματος οὐκ ἔστιν αἴτιον, ἐπεὶ οὐδὲν ἀσώματον
ποιεῖ σῶμα. Σῶμα δὲ ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον, ὅτι τὸ
γενόμενον τῆς πασχούσης ὕλης ὀφείλει εἶναι· μηδὲν δὲ
πάσχον διὰ τὸ ἀσώματον εἶναι, οὐδ' ἂν ὑπό τινος γένοι-
20 το· οὐκ ἔστι τοίνυν αἴτιον. Ὧι συνάγεται τὸ ἀνυποστά-
τους εἶναι τὰς τῶν ὅλων ἀρχάς· δεῖ γὰρ εἶναί τι τὸ ποιοῦν
καὶ δρῶν.

Ἀλλ' οὐδὲ κίνησίς ἐστι· τὸ γὰρ κινούμενον ἤτοι ἐν ᾧ
ἐστι τόπῳ κινεῖται, ἢ ἐν ᾧ μὴ ἔστιν· οὐδὲν δὲ κινεῖται
25 οὔτ' ἐν ᾧ ἐστιν, οὔτ' ἐν ᾧ μὴ ἔστιν· οὐκ ἔστιν ἄρα κίνη-
σις.

1 τὰ scripsi ex BPF : τὸ **Φ** **2** ἐπινοοῖτο **Φ** et B²PD : ἐπινοεῖται F **3** ἔχειν **Φ** et BP¹F : ἴσχειν P⁴ **5** ὃ **Φ** et F D : ὧ BP **7** γενέσει οὔτε φθορᾷ **Φ** et BPF : γένεσις οὔτε φθορὰ D | ἄλλῳ τινί **Φ** : ἄλλο τι BPF **8** αἴτιον¹ addidi ex BPF **18** γενόμενον scripsi ex BPF : γινόμενον **Φ** **20** συνεισάγεται BPF **23** οὐδὲ **Φ** et F : καὶ BP¹ **24** οὐδὲν δὲ : οὐδὲν B¹ : οὐδὲ PFD **25** οὔτ' ἐν ὧ ἐστιν, οὔτ' ἐν ὧ μὴ ἔστιν om. B¹PF, in mg add. B²

100 Ἀνῄρουν δὲ καὶ μάθησιν. Εἴπερ γάρ, φασί, διδάσκεταί τι, ἤτοι τὸ ὂν τὸ εἶναι διδάσκεται, ἢ τὸ μὴ ὂν τὸ μὴ εἶναι. Οὔτε δὲ τὸ ὂν τὸ εἶναι διδάσκεται (ἡ γὰρ τῶν ὄντων φύσις πᾶσι φαίνεται καὶ διδάσκεται), οὔτε τὸ μὴ ὂν τὸ μὴ εἶναι· τῷ γὰρ μὴ ὄντι οὐδὲν συμβέβηκεν, ὥστε οὐδὲ τὸ 5 διδάσκεσθαι.

Οὔτε γένεσίς ἐστι, φασίν. Οὔτε γὰρ τὸ ὂν γίνεσθαι f. 40v (ἔστι γάρ), οὔτε τὸ μὴ ὂν | (οὐδὲ γὰρ ὑφέστηκε)· τὸ δὲ μὴ ὑφεστὼς μηδὲ ὂν οὐδὲ γίνεσθαι εὐτύχηκε.

101 Φύσει τε μὴ εἶναι ἀγαθὸν ἢ κακόν. Εἰ γάρ τί ἐστι φύ- 10 σει ἀγαθὸν ἢ κακόν, ἤτοι πᾶν τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθόν, ἢ οὐ πᾶν· καὶ πᾶν μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ ὑφ' οὗ μὲν δοξάζεται ἀγαθόν, ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου, ὑφ' οὗ δὲ κακόν, ὡς ὑπ' Ἀντισθένους. Συμβήσεται οὖν τὸ αὐτὸ εἶναι ἀγαθὸν καὶ κακόν. Εἰ δ' οὐ πᾶν 15 λέγοιμεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθόν, δεήσει ἡμᾶς διακρίνειν τὰς δόξας· ὅπερ οὐκ ἐνδεχόμενόν ἐστι διὰ τὴν ἰσοσθένειαν τῶν λόγων. Ἄγνωστον οὖν τὸ φύσει ἀγαθόν.

102 Τούτοις ἀντιλέγοντες οἱ δογματικοί φασιν αὐτοὺς καταλαμβάνεσθαι καὶ δογματίζειν· ἐν ᾧ γὰρ δοκοῦσι διε- 20 λέγχειν καταλαμβάνονται· καὶ γὰρ ἐν τοῖς αὐτοῖς κρατύνουσι καὶ δογματίζουσι. Καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν καὶ παντὶ λόγῳ λόγον ἀντικεῖσθαι, αὐτὰ ταῦτα καὶ ὁρίζονται καὶ δογματίζουσι. [Καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρί

103 ζειν] ⟨*⟩ Περὶ μὲν ὧν ὡς ἄνθρωποι πάσχομεν, ὁμολογοῦ- 25 μεν· καὶ γὰρ ὅτι ἡμέρα ἐστὶ καὶ ὅτι ζῶμεν καὶ ἄλλα πολλὰ

1 μάθησιν **Φ** et B²P¹ : μαθήματα FD **2 et 3** τὸ εἶναι et **2–3** et **4–5** τὸ μὴ εἶναι : τῷ εἶναι et τῷ μὴ εἶναι BPF **4** διδάσκεται **Φ** et F¹ : γιγνώσκεται BPF²D | οὔτε **Φ** et *Frob.* : om. BPF **5** εἶναι : ὄντι BPF | γὰρ **Φ** et *Frob.* : δὲ BPF | οὐδὲ : οὔτε BPF **7** οὔτε¹ **Φ** et P¹ : οὐδὲ BFD **9** γίνεσθαι **Φ** et BP¹ : τὸ γίνεσθαι FD **11** ἢ : καὶ BPF **14** ὡς : om. BPF **16** λέγοιμεν **Φ** et BP : λέγομεν F **19** τούτοις : οἷς BPF **21** τοῖς αὐτοῖς : τῷ αὐτῷ BPF **24–25** καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν **Φ** et BP¹ : om. F : seclusi (ex v. 22) et lac. indicavi (Πρὸς οὓς ἀποκρίνονται F : om. **Φ** et BP¹)

τῶν ἐν τῷ βίῳ γινομένων γινώσκομενον· ἀλλ' οὐδὲ περὶ
ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατει-
λῆφθαι· περὶ τούτων ἐπέχομεν ὡς ἀδήλων, μόνα δὲ τὰ
πάθη γινώσκομεν. Τὸ μὲν γὰρ ὅτι ὁρῶμεν ὁμολογοῦμεν,
5 καὶ τὸ †τίνα† γινώσκομεν· πῶς δὲ ὁρῶμεν ἢ πῶς νοοῦμεν,
ἀγνοοῦμεν· καὶ τὸ ὅτι τόδε λευκὸν φαίνεται διηγηματι-
κῶς λέγομεν, οὐ διαβεβαιούμενοι εἰ ⟨καὶ⟩ ὄντως ἐστί. Περὶ **104**
δὲ τῆς "Οὐδὲν ὁρίζω" φωνῆς καὶ τῶν ὁμοίων λέγομεν οὐ
δογματίζοντες· οὐ γάρ εἰσιν ὅμοιαι τῷ λέγειν ὅτι σφαι-
10 ροειδὴς ὁ κόσμος. Ἀλλὰ γὰρ τὸ μὲν ἄδηλον, αἱ δὲ ἐξομο-
λογήσεις εἰσίν. Ἐν ᾧ οὖν λέγομεν Μηδὲν ὁρίζειν οὐδ'
αὐτὸ τοῦτο ὁριζόμεθα.

Πάλιν οἱ δογματικοὶ καὶ τὸν βίον φασὶν αὐτοὺς ἀναι-
ρεῖν, ἐν ᾧ πάντα ἐκβάλλουσιν ἐξ ὧν ὁ βίος συνέστηκεν.
15 Οἱ δὲ ψεύδεσθαί φασιν αὐτούς· οὐ γὰρ τὸ ὁρᾶν [τὸ ὁρᾶν]
†ἀναιρεῖ†, ἀλλὰ τὸ πῶς ὁρᾶν ἀγνοεῖν. Καὶ γὰρ τὸ φαινό-
μενον τιθέμεθα, οὐχ ὡς καὶ τοιοῦτον ὄν. Καὶ ὅτι τὸ πῦρ
καίει, αἰσθανόμεθα· εἰ δὲ φύσιν ἔχει καυστικήν, ἐπέχο- **105**
μεν. Καὶ ὅτι κινεῖταί τις, βλέπομεν, καὶ ὅτι φθείρεται· πῶς
20 δὲ ταῦτα γίνεται, οὐκ ἴσμεν. Μόνον οὖν, φασίν, ἀνθιστά-
μεθα πρὸς τὰ παρυφιστάμενα τοῖς φαινομένοις ἄδηλα.
Καὶ γὰρ ὅτε τὴν εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν, τὸ φαινό-
μενον διασαφοῦμεν· ὅταν δ' εἴπωμεν μὴ ἔχειν αὐτὴν
ἐξοχάς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν.

1 γινομένων : φαινομένων BPF | γινώσκομεν **Φ** et BP[1] : διαγινώσκομεν F | ἀλλ' οὐδὲ περὶ **Φ** et BP[1]F[2] : περὶ δὲ D **5** τίνα **Φ** : ὅτι τόδέ τι νοοῦμεν F : ὅτι τοδέτινα οὐ BP[1] **6** τὸ **Φ** et BP[1] : om. F **7** εἰ **Φ** et BP : ὅτι Cobet | καὶ addidi ex BPF **8–9** λέγομεν οὐ δογματίζοντες **Φ** : λεγομένων οὐ δογμάτων BPF : λέγομεν ὡς οὐ δογμάτων *Frob.* **9** ὅμοιαι **Φ** et BPF : ὅμοια D **13** αὐτοὺς scripsi ex BPF : οὕτως **Φ** **15** τὸ ὁρᾶν alterum seclusi **16** ἀναιρεῖ **Φ** et BP F : ἀναιρεῖν D

106 Ἔστιν οὖν κριτήριον κατὰ τοὺς Σκεπτικοὺς τὸ φαινόμενον. Δημόκριτος δὲ τὰ μὲν εἶναι τῶν φαινομένων, τὰ δὲ **107** μὴ εἶναι. Πρὸς τοῦτο τὸ κριτήριον τῶν φαινομένων οἱ δογματικοί φασιν ὅτι, ὅτε ἀπὸ τῶν αὐτῶν διάφοροι προσπίπτουσι φαντασίαι, ὡς ἀπὸ πύργου ἢ στρογγύλου ἢ τετρα- 5 f. 41ʳ γώνου, ὁ Σκεπτικὸς [σὺ] εἰ οὐδετέραν προκρίνει, | ἀπρακτήσει· εἰ δὲ τῇ ἑτέρᾳ κατακολουθήσει, οὐκέτι τὸ ἰσοσθενές, φασί, τοῖς φαινομένοις ἀποδώσει. Πρὸς οὓς οἱ Σκεπτικοί φασιν ⟨ὅτι⟩, ὅτε ἀλλοῖαι φαντασίαι προσπίπτουσιν, ἑκατέρας ἐροῦμεν φαίνεσθαι· καὶ διὰ τοῦτο τὰ φαινόμε- 10 να τιθέναι ὅτε φαίνεται. Τέλος δ' οἱ Σκεπτικοί φασι τὴν **108** ἐποχήν, ᾗ σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία. Οὔτε γὰρ τάδ' ἑλοίμεθα ἢ τάδε φευξόμεθα ὅσα περὶ ἡμᾶς ἐστι. Τὰ δ' ὅσα μή ἐστι περὶ ἡμᾶς, ἀλλὰ κατ' ἀνάγκην, οὐ δυνάμεθα φεύγειν, ὡς τὸ πεινῆν καὶ διψῆν καὶ ἀλγεῖν· 15 οὐκ ἔστι γὰρ λόγῳ περιελεῖν ταῦτα. Λεγόντων δὲ τῶν δογματικῶν ὡς δυνήσεται βιοῦν ὁ Σκεπτικὸς μὴ φεύγων τὸ (εἰ κελευσθείη) κρεουργεῖν τὸν πατέρα, φασὶν οἱ Σκεπτικοὶ περὶ τῶν δογματικῶν, πῶς δυνήσεται βιοῦν ζητήσεων ἀπέχων, οὐ περὶ τῶν βιωτικῶν καὶ τηρητικῶν· 20 ὥστε καὶ αἱρούμεθά τι κατὰ συνήθειαν καὶ φεύγομεν καὶ νόμοις χρώμεθα. Τινὲς δὲ καὶ τὴν ἀπάθειαν, ἄλλοι δὲ τὴν πραότητα τέλος εἰπεῖν φασι τοὺς Σκεπτικούς.

Τοιαῦται μὲν οὖν καὶ αἱ τῶν Σκεπτικῶν δόξαι· αἱ δὲ τῶν Ἐπικουρείων τοιαίδε. 25

2 τὰ μὲν : μηδὲν BPF **6** σὺ delevi : om. BPF | προκρίνει **Φ** et BP : προκρίνῃ F : προκρινεῖ Huebner **9** ὅτι addidi ex BPF (cf. v. 4) **11** ὅτε : ὅτι BPFD **12** ᾗ scripsi : ἢ **Φ** | ἡ ἀταραξία scripsi ex BPF : ἣ ἀταραξίαν **Φ** **13** τάδ' ἑλοίμεθα **Φ** et P[4] : τὰ α' ἑλοίμεθα BP[1] : ταῦτα ἑλοίμεθα F | τάδε[2] **Φ** : ταῦτα BPF | φευξόμεθα **Φ** et BP : φευξοίμεθα F **17** ὡς scripsi ex BPF : οὐ **Φ** **19** πῶς **Φ** et BPF : ὡς Rossi **20** ἀπέχων **Φ** et D : ἀπέχειν BPF : ἐπέχων coni. Rossi : ἐπέχειν Cobet

9. ΔΟΞΑΙ ΕΠΙΚΟΥΡΕΙΩΝ

Τὴν διαλεκτικὴν ἀποδοκιμάζουσιν ὡς παρέλκουσαν· 10.31
ἀρκεῖν γὰρ τοὺς φυσικοὺς χωρεῖν κατὰ τοὺς τῶν πραγ-
μάτων φθόγγους. Λέγουσι κριτήρια τῆς ἀληθείας εἶναι
5 τὰς αἰσθήσεις καὶ προλήψεις καὶ τὰ πάθη καὶ τὰς φαν-
ταστικὰς ἐπιβολὰς τῆς διανοίας. Πᾶσα γάρ, φασίν, αἴσ-
θησις ἄλογός ἐστι καὶ μνήμης οὐδεμιᾶς ἐπιδεκτική· οὔτε
γὰρ ἀπ' αὐτῆς κινεῖται, οὔτε ὑφ' ἑτέρου κινηθεῖσα δύνα-
ταί τι προσθεῖναι ἢ ἀφελεῖν· οὐδὲ ἔστι τὸ δυνάμενον αὐ-
10 τὰς διελέγξαι. Οὔτε γὰρ ἡ ὁμογενὴς αἴσθησις τὴν ὁμο- 32
γενῆ διὰ τὴν ἰσοσθένειαν, οὔθ' ἡ ἀνομογενὴς τὴν ἀνομο-
γενῆ· οὐ γὰρ τῶν αὐτῶν εἰσι κριτικαί. Οὔτε μὴν λόγος·
πᾶς γὰρ λόγος ἀπὸ τῶν αἰσθήσεων ἤρτηται. Οὔθ' ἡ ἑτέρα
τῇ ἑτέρᾳ· πάσαις γὰρ προσέχομεν. Καὶ τὸ τὰ ἐπαισθή-
15 ματα δ' ὑφεστάναι πιστοῦται τὴν ἐκ τῶν αἰσθήσεων ἀλή-
θειαν. Ὑφέστηκε γὰρ τό τε ὁρᾶν ἡμᾶς καὶ ἀκούειν, ὥσπερ
καὶ τὸ ἀλγεῖν· ὅθεν καὶ περὶ τῶν ἀδήλων ἀπὸ τῶν φαινο-
μένων χρὴ σημειοῦσθαι. Καὶ γὰρ καὶ αἱ ἐπίνοιαι πᾶσαι
ἀπὸ τῶν αἰσθήσεων γεγόνασι κατά τε περίπτωσιν καὶ
20 ἀναλογίαν καὶ ὁμοιότητα καὶ σύνθεσιν, συμβαλλομένου
τι καὶ τοῦ λογισμοῦ. Τά τε τῶν φαινομένων φαντάσματα
καὶ κατ' ὄναρ ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὂν οὐ κινεῖ.

Τὴν πρόληψιν λέγουσιν οἱονεὶ κατάληψιν ἢ δόξαν 33
ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην,

1 παρέλκουσαν scripsi ex BPF : περιέλκουσαν **Φ** **6** φασίν : φησίν BPF **7** ἐπιδεκτική : ἐστὶ δεκτικὴ F : δεκτικὴ BPD **8** ἀπ' αὐτῆς **Φ** et BP[1] : ὑφ' αὐτῆς F | δύναται **Φ**, Gassendi : ἀδυνατεῖ BPF **10** ὁμογενὴς **Φ**, Gassendi : ὁμογένεια BPF **11** ἀνομογενὴς τὴν ἀνομογενῆ **Φ** et D : ἀνομογένεια τὴν ἀνομογένειαν BPF **12** εἰσι κριτικαί **Φ** et F : εἰς κριτικῶν B, εἰς κριτικὸν P[1] **13** ἤρτηται **Φ** et D : εἴρηται BPF **14** τῇ ἑτέρᾳ : τὴν ἑτέραν PF : τῆς ἑτέρας B | ἐπαισθήματα **Φ** et BP[1] : ἀνεπαίσθητα F **15** ἐκ **Φ** : om. BPF **16** γὰρ : δὲ BPF **17** καὶ[1] **Φ** : om. BPF **20** συμβαλλομένου **Φ** et BP : ἐμβαλομένου F **21** φαινομένων **Φ** et F[2] : μαινομένων BPF[1]D

τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντες, οἷον ⟨τὸ
f. 41v "Τοιοῦτόν⟩ ἐστιν | ἄνθρωπος·" ἅμα γὰρ τῷ ῥηθῆναι "ἄν-
θρωπος" εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται
προηγουμένων τῶν αἰσθήσεων. Παντὶ οὖν ὀνόματι τὸ
πρώτως ἐπιτεταγμένον ἐναργές ἐστι. Καὶ οὐκ ἂν ἐζητήσα- 5
μεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό· οἷον
"Τὸ πόρρω ἑστὼς βοῦς ἐστιν ἢ ἵππος·" δεῖ γὰρ κατὰ
πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν· οὐδ' ἂν
οὖν ὠνομάσαμέν τι μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν
τὸν τύπον μαθόντες. Ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις. 10
Καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται,
34 ἐφ' ὃ ἀναφέροντες λέγομεν, οἷον "Πόθεν ἴσμεν εἰ τοῦτό
ἐστιν ἄνθρωπος;" Τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσιν,
ἀληθῆ τέ ⟨φασι⟩ καὶ ψευδῆ· ἂν μὲν γὰρ ἐπιμαρτυρῆται
[τι] ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ἐπιμαρ- 15
τυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ.

Πάθη λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα, ἱστά-
μενα περὶ πᾶν ζῷον, καὶ τὴν μὲν οἰκεῖον, τὴν δὲ ἀλλότρι-
ον· δι' ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς. Τῶν τε ζητή-
σεων εἶναι τὰς μὲν περὶ τῶν πραγμάτων, τὰς δὲ περὶ ψιλὴν 20
τὴν φωνήν.

38 Οὐδὲν γίνεσθαι ἐκ τοῦ μὴ ὄντος. Πᾶν γὰρ ἐκ παντὸς
39 ἐγίνετ' ἂν σπερμάτων γε οὐθὲν προσδεομένων. Καὶ εἰ
ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν
ἀπωλώλει τὰ πράγματα, οὐκ ὄντων τῶν εἰς ἃ διαλύεται. 25
Καὶ μὴν καὶ τὸ πᾶν τοιοῦτον εἶναι ἀεί· οὐδὲν γὰρ εἶναι εἰς
ὃ μεταβάλῃ. Παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν [εἰς] ὃ ἂν

1–2 τὸ τοιοῦτον supplevi ex BPF et *Suda*, Π 2495 **2** τῷ **Φ**, P et *Suda* : τὸ BF **5** ἐπιτεταγμένον **Φ** et BPF : ἐπιτετευγμένον *Suda* : ὑποτεταγμένον Gassendi **7** βοῦς ἐστιν ἢ ἵππος **Φ** et *Suda* : ἵππος ἐστὶν ἢ βοῦς BPF **9** οὖν scripsi e *Suda* : ὂν **Φ** : om. BPF **14** φασι addidi ex BPF **15** τι delevi, om. BPF **16** ψευδῆ τυγχάνειν BPF **25** τῶν **Φ** et BP : om. F | διελύετο BPF **27** μεταβάλῃ : μεταβάλλει BPF : μεταβαλεῖ Usener | εἰς delevi : om. BPF **27–p. 187.1** ἂν ἐλθὸν scripsi : ἀνελθὸν **Φ** : ἂν εἰσελθὸν BPF

ἐλθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο.

Σώματα μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπιμαρτυ-
ρεῖ, φασίν, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκ-
μαίρεσθαι· εἰ δὲ μὴ ἦν κενόν (ὃ καὶ χώραν καὶ †ἀνα- 40
5 φύσησιν† ὀνομάζουσιν), οὐκ ἂν εἶχε τὰ σώματα ὅπου εἴη,
οὐδὲ δι' οὗ ἐκινεῖτο.

Τὴν ψυχήν φασι σῶμα λεπτομερὲς παρ' ὅλον τὸ ἄ- 63
θροισμα παρεσπαρμένον, προσεμφερέστατον δὲ πνεύματι
θερμοῦ τινα κρᾶσιν ἔχοντι καὶ πῇ μὲν τούτῳ προσεμ-
10 φερές, πῇ δὲ τούτῳ. Ἔστι δὲ †τὸ† μέρος πολλὴν παραλ-
λαγὴν εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμ-
παθὲς δὲ τούτῳ μᾶλλον ἢ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ
πᾶν αἱ δυνάμεις τῆς ψυχῆς †δηλονότι† καὶ τὰ πάθη καὶ αἱ
εὐκινησίαι καὶ αἱ διανοήσεις καὶ ὧν στερόμενοι θνή-
15 σκομεν. Ἔχειν δὲ τὴν ψυχὴν τῆς αἰσθήσεως τὴν πλείστην
αἰτίαν· οὐ μὴν εἰληφέναι ἂν ταύτην, εἰ μὴ ὑπὸ τοῦ λοιποῦ 64
ἀθροίσματος ἐστεγάζετό πως. Τὸ δὲ λοιπὸν ἄθροισμα
παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν ταύτην μετείληφε καὶ
αὐτὸ τοιούτου συμπτώματος παρ' ἐκείνης, οὐ μέντοι πάν-
20 των ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλλαγείσης τῆς ψυχῆς οὐκ
ἔχει τὴν αἴσθησιν. Οὐ γὰρ αὐτὸ ἐν ἑαυτῷ ταύτην
ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγενημένῳ
αὐτῷ παρασκευάζειν, ὃ διὰ τῆς συντελεσθείσης περὶ
αὐτὸ δυνά|μεως κατὰ τὴν κίνησιν σύμπτωμα αἰσθητικὸν f. 42r
25 εὐθὺς ἀποτελοῦν ἑαυτῷ ἀπεδίδου κατὰ τὴν ὁμούρησιν
καὶ συμπάθειαν (*).

2 ἐπιμαρτυρεῖ : ἐπὶ πάντων μαρτυρεῖ BPF **4** κενὸν ὃ : ὃ κενὸν B²D : ὃν κενὸν B¹PF | ἀναφύσησιν : ἀναφῆ φύσιν BPF **5** ὀνομάζομεν BPF | εἴη **Φ** et FP⁴ : ἦν B : ἔνι P¹ **10** τὸ μέρος **Φ** et BPF : τὸ ⟨τρίτον⟩ μέρος Diels : τι Woltjer **12** τούτῳ **Φ** et BPF : ⟨διὰ⟩ τοῦτο Schneider | ἢ **Φ** : καὶ BPF **13** δηλονότι : δῆλον BPF : δηλοῦσι *Aldobr.*, Gassendi **19** τοιούτου **Φ** et F : τοιοῦτο τοῦ B¹P¹ **22** ἑτέρῳ ἅμα συγγεγενημένῳ **Φ** et BPF : ἕτερον ἅμα συγγεγενημένον Usener **24** αὐτὸ **Φ** et B²PF : αὐτῷ B¹D | κίνησιν **Φ** et BP¹ : δίνησιν F **26** post συμπάθειαν addunt BPF καὶ ἐκείνῳ

65 Διὸ ἐνυπάρχουσαν τὴν ψυχὴν οὐδέποτε ἄλλου τινὸς μέρους ἀπηλλαγμένου ἀναισθητεῖν· †ἀλλ' ἂν καὶ αὕτη† συνεξαπόληται, τοῦ στεγάσματος λυθέντος εἴθ' ὅλου εἴτε καὶ μέρους τινός, ἐάνπερ διαμένῃ, †ὀξύνει† τὴν αἴσθησιν. Τὸ δὲ λοιπὸν ἄθροισμα διαμένον καὶ ὅλον καὶ κατὰ μέρος 5 οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνου ἀπηλλαγμένου, ὅσον ποτέ ἐστι τὸ συντεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὴν τῆς ψυχῆς φύσιν. Καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχή, φασί, διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις οὐδὲ κινεῖται, ὥστε οὐδὲ αἴσθησιν κέκτηνται. 10

66 Οὐ γὰρ οἷόν τε νοεῖν αὐτὸ αἰσθανόμενον μὴ ἐν τούτῳ τῷ συστήματι καὶ ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ, ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις. Φασὶ δὲ αὐτὴν ἐν ἄλλοις ἐξ ἀτόμων συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, 15 πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ †παρεσαθρεῖται† σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. Ὕπνον τε γίνεσθαι τῶν παρ' ὅλην τὴν σύγκρισιν παρεσπαρμένων μερῶν τῆς ψυχῆς ἐγκατεχομένων ἢ δια- 20 φορουμένων, εἶ⟨τα⟩ συμπιπτόντων τοῖς †σπορίμοις.† Τό τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαι.

67 Ὥστε, φασίν, οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν

1 διὸ : διὸ δὴ καὶ BP : διὸ δὴ F **2** ἀναισθητεῖν **Φ** et Schneider : ἀναισθήσει B : ἀναισθησία PF | ἀλλ' ἂν καὶ αὕτη : ἀλλ' ἃ (vel ἀλλὰ) ἂν καὶ ταύτη BPF : ταύτης Usener **3** συνεξαπόληται : ξυναπόληται D : ξυναπόλληται PF : ξυναπόλλυται B | τοῦ στεγάζοντος BPF **4** ὀξύνει : ὀξὺ BPF : ἕξει Usener **5** καὶ [2] **Φ** et F : om. BP **8** λυομένου **Φ** et P(B) : διαλυομένου F **10** κέκτηνται **Φ** et P[1] : κέκτηται BFP[4] **14** φασὶ : λέγει BPF **17** παρεσαθρεῖται : παρεσαρθρεῖ B[1]P : παρεσαθρεῖ D : παρεσπάρθη mg B[2] : παρεσπάρθαι Schneider **21** εἶ⟨τα⟩ scripsi ex BPF : ἢ **Φ** | συμπιπτόντων **Φ** et BP : ἐμπιπτόντων F : σπορίμοις : σπορμοῖς F : ποργμοῖς BP[1] : ἐπερεισμοῖς Usener

ματαιάζουσιν. Οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν ἢ πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνει περὶ τὴν ψυχὴν τὰ συμπτώματα.

Τὸν ἅπαξ γενόμενον σοφόν φασι μηκέτι τὴν ἐναντίαν **117**
5 λαμβάνειν διάθεσιν μηδὲ πλάττειν ἑκόντα· πάθεσι μᾶλλον συσχεθήσεσθαι. Οὐδ' ἐκ πάσης ἕξεως σοφὸν γενέσθαι ἄν, οὐδ' ἐν παντὶ ἔθνει. Κἂν στρεβλωθῇ δ' ὁ σοφός, **118** εἶναι αὐτὸν εὐδαίμονα. Μόνον τε χάριν ἕξειν τὸν σοφὸν ἐπὶ φίλοις καὶ παροῦσι καὶ ἀποῦσι. Γυναικί τε οὐ μι-
10 γήσεσθαι τὸν σοφὸν ᾗ οἱ νόμοι ἀπαγορεύουσιν. Οὔτε κολάσειν οἰκέτας, ἐλεήσειν μέντοι καὶ συγγνώμην τινὶ ἕξειν τῶν σπουδαίων. Ἐρασθήσεσθαι τὸν σοφὸν οὐ δοκεῖ αὐτοῖς· οὐδὲ ταφῆς φροντιεῖν· οὐδὲ θεόπεμπτον εἶναι τὸν ἔρωτα.

15 Καὶ μὴν καὶ γαμήσειν καὶ τεκνοποιήσειν τὸν σοφόν, οὐ **119** πολιτεύσεσθαι, οὐ τυραννεύσειν, οὐδὲ πτωχεύσειν. Ἀλλὰ κἂν πηρωθῇ τὰς ὄψεις, †μετάξειν ἑαυτὸν† τοῦ βίου. Φίλον οὐδὲν κτήσεσθαι. Εὐδοξίας ἐπὶ τοσοῦτον προνοήσεσθαι, ἐφ' ὅσον μὴ καταφρονήσεσθαι· εὐφρανθήσεσθαι
20 μᾶλλον τῶν ἄλλων ἐν ταῖς θεωρίαις.

Ἁμαρτήματα ἄνισα εἶναι· καὶ τὴν ὑγίειαν τισὶ μὲν | **120** ἀγαθόν, τισὶ δὲ ἀδιάφορον. Τὴν ἀνδρίαν φύσει μὴ γίνεσ- f. 42v θαι, λογισμῷ δὲ τοῦ συμφέροντος. Καὶ τὴν φιλίαν διὰ τὰς χρείας· δεῖ⟨ν⟩ μέντοι προκατάρχεσθαι (καὶ γὰρ τὴν γῆν
25 σπείρομεν).

1 ἢ : οὔτε BPF **2** διαλαμβάνει **Φ** et BPF : διαλαμβάνεται Bailey **6** post συσχεθήσεσθαι addunt BPF οὐκ ἂν ἐμποδίσαι πρὸς τὴν σοφίαν | ἐκ πάσης σώματος ἕξεως BPF **8** ἕξειν **Φ** et BP : ἔχειν F **9** καὶ ἐπὶ φίλοιςBPF **12** τῶν σπουδαίων **Φ** et F : τὸν σπουδαῖον BP **16** πολιτεύσασθαι **Φ**, correxi **17** μετάξειν : μετάξει P¹F : μετέξει B : μεθέξειν D et *Frob.* | ἑαυτὸν : αὑτὸν BPF **18** φίλον **Φ** et BP : φίλων F | οὐδὲν **Φ** et P¹F : οὐδένα BP² | κτήσασθαι **Φ**, correxi ex BPF, ⟨ἀπο⟩κτήσεσθαι Kochalsky | προνοήσασθαι **Φ**, correxi **24** δεῖ **Φ**, correxi | τὴν γῆν scripsi : τῇ γῇ **Φ**

121 Τὴν εὐδαιμονίαν διχῇ νοεῖσθαι· τήν τε ἀκροτάτην, οἵα ἐστὶ περὶ τὸν θεόν, ἐπίτασιν οὐκ ἔχουσαν, καὶ τὴν ⟨*⟩ προσθήκην καὶ ἀφαίρεσιν τῶν ἡδονῶν. Μόναρχόν τε θεραπεύσειν τὸν σοφὸν καὶ ἐπιχαρήσεσθαί τινι ἐπὶ τῷ διορθώματι· καὶ σχολὴν κατασκευάσειν, ἀλλ' οὐχ ὥστε 5 ὀχλαγωγῆσαι· καὶ ἀναγνώσεσθαι ἐν πλήθει, ἀλλ' οὐχ ἑκών· δογματιεῖν τε καὶ οὐκ ἀπορήσειν· καὶ καθ' ὕπνους δὲ ὅμοιον ἔσεσθαι· καὶ ὑπὲρ φίλου ποτὲ τεθνήξεσθαι.

123 Τὸν θεὸν ζῷον ἄφθαρτον ἥγηνται καὶ μακάριον, μηδὲν μήτε τῆς ἀφθαρσίας ἀλλότριον, μήτε τῆς μακαριότητος 10 ἀνοίκειον αὐτῷ προσάπτοντες. Θεοὶ μὲν γάρ, φασίν, εἰσίν· ἐναργὴς γὰρ αὐτῶν ἐστιν ἡ γνῶσις· οἵους δ' αὐτοὺς πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· οὐ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νομίζουσιν. Ἀσεβὴς δ' οὐχ ὁ τοὺς †πολλοὺς† θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς τῶν πολλῶν δόξας τοῖς θεοῖς 15 προσάπτων.

125 Τὸ φρικωδέστατον τῶν κακῶν ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς, ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν· ὅταν δ' ὁ θάνατος παρῇ, τόθ' ἡμεῖς οὐκ ἐσμέν. Οὔτε οὖν πρὸς τοὺς ζῶντάς ἐστιν, οὔτε πρὸς τοὺς τετελευ- 20 τηκότας. Ἀλλ' οἱ πολλοὶ τὸν θάνατον ὁτὲ μὲν ὡς μέγιστον **126** τῶν κακῶν φεύγουσιν, ὁτὲ δὲ ⟨*⟩ ἀνάπαυσιν τῶν ἐν τῷ ζῆν ⟨*⟩ οὔτε φοβεῖται τὸ μὴ ζῆν· οὔτε γὰρ αὐτῷ προσίσταται τὸ ζῆν, οὔτε δοξάζεται κακὸν εἶναί τι τὸ μὴ ζῆν. Ὥσπερ δὲ σιτίον οὐ ⟨τὸ⟩ πλεῖον πάντως, ἀλλὰ τὸ ἥδιστον 25 αἱρεῖται, οὕτω καὶ χρόνον οὐ τὸν μήκιστον, ἀλλὰ τὸν ἥδιστον καρπίζεται. Ὁ δὲ παραγγέλλων τὸν μὲν νέον καλῶς ζῆν, τὸν δὲ γέροντα καλῶς καταστρέφειν εὐήθης ἐστὶν οὐ μόνον διὰ τὸ τῆς ζωῆς ἀσπαστόν, ἀλλὰ καὶ διὰ

2–3 καὶ τὴν ⟨κατὰ τὴν⟩ προσθήκην Usener **4** ἐν καιρῷ θεραπεύσειν BPF **7** ἑκών Φ et BP[1] : ἑκόντα F **14** πολλοὺς Φ et F[1] : τῶν πολλῶν BPF[2] **22** ὁτὲ δὲ ὡς ἀνάπαυσιν BPF **23** post ζῆν[1] lacuna in Φ et BPF : ἐν τῷ ζῆν ⟨κακῶν αἱροῦνται. Ὁ δὲ σοφὸς οὔτε παραιτεῖται τὸ ζῆν⟩ suppl. Usener **24** τι Φ et BP : om. F **25** τὸ[1] addidi

τὸ τὴν αὐτὴν εἶναι μελέτην τοῦ καλῶς ζῆν καὶ τοῦ καλῶς ἀποθνήσκειν. Πολὺ δὲ χείρων καὶ ὁ λέγων "καλὸν μὲν μὴ φῦναι,

φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περήσειν."

5 Εἰ μὲν γὰρ πεποιθὼς τοῦτό φησιν, πῶς οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; Ἐν ἑτοίμῳ γὰρ αὐτῷ τοῦτ' ἔστιν, εἴπερ ἦν βεβουλευμένον αὐτῷ βεβαίως· εἰ δὲ μωκώμενος, μάταιος ἐν τοῖς οὐκ ἐπιδεχομένοις. **127**

Μνημονευτέον ὅτι τὸ μέλλον οὔτε πάντως ἡμέτερον, 10 οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως αὐτὸ προσμένωμεν ὡς ἐσόμενον, μήτε ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον.

Ἀναλογιστέον τε, φασίν, ὡς τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαί, αἱ δὲ κεναί. Καὶ τῶν φυσικῶν αἱ μέν εἰσιν ἀναγ-15 καῖαι, αἱ δὲ φυσικαὶ μόνον· τῶν δὲ ἀναγκαίων αἱ μὲν πρὸς εὐδαιμονίαν εἰσὶν ἀναγκαῖαι, αἱ δὲ πρὸς τὴν τοῦ σώματος ἀοχλησίαν, αἱ δὲ πρὸς αὐτὸ τὸ ζῆν. Τούτων γὰρ **128** ἀπλανὴς θεωρία | πᾶσαν αἵρεσιν καὶ φυγὴν ἐπανάγειν f. 43r οἶδεν ἐπὶ τὴν τοῦ σώματος ὑγίειαν καὶ τὴν †τοῦ σώματος† 20 ἀταραξίαν, ἐπεὶ τοῦτο τοῦ μακαρίως ζῆν ἐστι τέλος. Τούτου γὰρ χάριν πάντα πράττομεν, ὅπως μήτε ἀλγῶμεν, μήτε ταρβῶμεν· ὅταν δὲ ἅπαξ τοῦτο περὶ ἡμᾶς γένηται, λύεται πᾶς ὁ τῆς ψυχῆς χειμών, οὐκ ἔχοντος τοῦ ζῴου βαδίζειν ὡς πρὸς ἐνδέον τι καὶ ζητεῖν ἕτερον ᾧ τὸ τῆς ψυχῆς καὶ τὸ 25 τοῦ σώματος ἀγαθὸν συμπληρώσεται. Τότε γὰρ ἡδονῆς

2–4 Theogn. 425 et 427

2 χείρων **Φ** et B²PF : χεῖρον B¹ **4** περήσειν : περῆσαι BP et Theogn. : περάσαι F **9** ὅτι : ὡς BPF | οὔτε πάντως ἡμέτερον : οὔτε ἡμέτερον P²(F²) : om. BP¹F¹ **10** αὐτὸ : om. BPF **14** εἰσιν : om. BPF **18** ἐπανάγειν **Φ** et B²P¹ : ἐπαναγαγεῖν B¹FP³ **19** τοῦ σώματος ² **Φ** et PFD : om. B¹ : τῆς ψυχῆς B² **24** τὸ² **Φ** et P : om. BF **25** συμπληρώσεται **Φ** et B¹ : συμπληρώσηται B²P¹ : συμπληρωθήσεται F

χρείαν ἔχομεν, ὅταν [δ'] ἐκ τοῦ μὴ παρεῖναι τὴν ἡδονὴν
ἀλγῶμεν· ⟨*⟩, οὐκέτι τῆς ἡδονῆς δεόμεθα. Καὶ διὰ τοῦτο
τὴν ἡδονὴν ἀρχὴν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως
129 ζῆν. Ταύτην γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν,
καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς 5
καὶ ἐπὶ ταύτην καταντῶμεν ὡς κανόνι τῷ πάθει πᾶν
ἀγαθὸν κρίνοντες. Καὶ ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ
σύμφυτον, διὰ τοῦτο ⟨*⟩ πᾶσαν ἡδονὴν αἱρούμεθα, ἀλλ'
ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν
τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας 10
ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν [ἡ]
ἡδονὴ παρακολουθῇ πολὺν χρόνον ὑπομείνασι τὰς
ἀλγηδόνας.

Πᾶσα οὖν ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν ἀγαθόν,
οὐ πᾶσα μέντοι αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα 15
130 κακόν, οὐ πᾶσα δὲ φευκτὴ ἀεὶ πεφυκυῖα. Τῇ μέντοι συμ-
μετρήσει καὶ συμφερόντων καὶ ἀσυμφόρων βλέψει ταῦτα
πάντα κρίνειν καθήκει· χρώμεθα γὰρ τῷ μὲν ἀγαθῷ κατά
τινας χρόνους ὡς κακῷ, τῷ δὲ κακῷ τοὔμπαλιν ὡς ἀγαθῷ.
Καὶ τὴν αὐτάρκειαν δὲ ὡς ἀγαθὸν μέγα νομίζομεν, οὐχ 20
ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα, ἀλλ' ὅπως ἐὰν μὴ
ἔχωμεν τὰ πολλά, τοῖς ὀλίγοις χρώμεθα, πεπεισμένοι γνη-
σίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα
ταύτης δεόμενοι, καὶ ὅτι τὸ μὲν φυσικὸν πᾶν εὐπόριστόν
ἐστι, τὸ δὲ κενὸν δυσπόριστον. Οἵ τε λιτοὶ χυλοὶ ἴσην 25
πολυτελεῖ διαίτῃ τὴν ἡδονὴν ἐπιφέρουσιν, ὅταν ἅπαν τὸ
131 ἀλγοῦν κατ' ἔνδειαν ἐξαιρεθῇ· καὶ μάζα καὶ ὕδωρ τὴν
ἀκροτάτην ἀποδιδόασιν ἡδονήν, ἐπειδὰν ἐνδέων [τι] τις

1 δ' delevi **2** post ἀλγῶμεν lac. in Φ et BPF : ὅταν δὲ μὴ ἀλγῶμεν suppl. Gassendi **8** post τοῦτο lac. indicavi : καὶ οὐ BP^4 : καὶ P^1F **11** ἡ delevi : om. BPF **19** τοὔμπαλιν Φ et P^2 : τὸ ἔμπαλιν F : ὅτ' ἂν πάλιν B **26** πολυτελεῖ Φ et P^2 : πολυτέλειαν BP^1 **28** ἀποδιδόασιν : ἀποδίδωσιν BPF | ἐνδέων scripsi ex BPF : ἐνδέον Φ | τι delevi, om. BPF

αὐτὰ προσενέγκηται. Τὸ συνεθίζειν οὖν ἐν ταῖς ἁπλαῖς καὶ οὐ πολυτελέσι διαίταις καὶ ὑγείας ἐστὶ συμπληρωτικὸν καὶ πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρήσεις ἄοκνον ποιεῖ τὸν ἄνθρωπον καὶ τοῖς πολυτελέσιν ἐκ διαλειμ-
5 μάτων προσερχομένους κρεῖττον ἡμᾶς διατίθησι καὶ πρὸς τὴν τύχην ἀφόβους παρασκευάζει.

Ὅταν οὖν λέγωμεν τὴν ἡδονὴν τέλος ὑπάρχειν, οὐ τὰς τῶν ἀσώτων ἡδονὰς καὶ τὰς ἐν ἀπολαύσει κειμένας λέγομεν, ὥς τινες ἀγνοοῦντες καὶ οὐχ ὁμολογοῦντες | ἢ κακῶς f. 43ᵛ
10 ἐκδεχόμενοι νομίζουσιν, ἀλλὰ τὸ μήτε ἀλγεῖν κατὰ σῶμα, μήτε ταράττεσθαι κατὰ ψυχήν. Οὐ γὰρ πότοι καὶ κῶ- **132** μοι, οὐδ' ἀπόλαυσις παίδων καὶ γυναικῶν, οὐδ' ἰχθύων καὶ τῶν ἄλλων, ὅσα φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν καὶ γενναῖον βίον ποιοῦσιν, ἀλλὰ νήφων λογισμός, καὶ
15 τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς, καὶ τὰς δόξας ἐξελαύνων, ἐξ ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος. Τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν φρόνησις· ⟨διὸ καὶ φιλοσοφίας τιμιώτερον ὑπάρχει φρόνησις,⟩ ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πεφύκασιν ἀρεταί,
20 †διδάσκουσαι† ὡς οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως, (*) ἄνευ τοῦ ἡδέως· συμπεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως, καὶ τὸ ζῆν ἡδέως τούτων ἐστὶν ἀχώριστον.

Ἐπεὶ τίνα νομίζει τις εἶναι κρείττονα τοῦ ⟨καὶ⟩ περὶ **133**

5 προσερχομένους : προσερχομένοις BPF **7** ὑπάρχειν **Φ** et BP : εἶναι F | οὐ **Φ** et BP : καὶ F **8** τὰς τῶν ἐν BPF **11** post κῶμοι addunt συνείροντες BPF **12** ἀπόλαυσις : ἀπολαύσεις BPF **13–14** τὸν ἡδὺν καὶ γενναῖον βίον ποιοῦσιν : τὸν ἡδὺν γεννᾷ βίον BPF **16** ἐξ ὧν **Φ** et B : om. PF : ἀφ' οὗ D **18–19** διὸ καὶ φιλοσοφίας τιμιώτερον ὑπάρχει φρόνησις om. **Φ**, supplevi ex BP(F) **20** διδάσκουσαι **Φ** et BPF : διδάσκουσα Usener **21** post δικαίως lac. in **Φ** et BPF : ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩ suppl. Stephanus **22** τῷ **Φ** et B^2P^1 : τὸ B^1 : τοῦ F **24** νομίζει τις : νομίζεις BPF | καὶ addidi ex BPF

θεῶν ὅσια δοξάζοντος, καὶ περὶ θανάτου διὰ παντὸς ἀφό-
βως ἔχοντος, καὶ τὸ τῆς φύσεως ἐπιλελογισμένου τέλος·
καὶ τὸ μὲν τῶν ἀγαθῶν πέρας ὡς ἔστιν εὐσυμπλήρωτόν τε
καὶ εὐπόριστον διαλαμβάνοντος, τὸ δὲ τῶν κακῶν ὡς ἢ
134 χρόνους ἢ πόνους ἔχει βραχεῖς; Κρεῖττον, φασί, τῷ περὶ 5
θεῶν μύθῳ κατακολουθεῖν, ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ
δουλεύειν· ὁ μὲν γὰρ ἐλπίδα παραιτήσεως ὑπογράφει
θεῶν διὰ τιμῆς, ἡ δὲ ἀπαραίτητον ἔχει τὴν ἀνάγκην. Ἡ
⟨δὲ⟩ τύχη οὔ⟨τε⟩ θεός (οὐδὲν γὰρ ἄτακτον θεῷ πράττεται),
οὔτε ἀβέβαιος αἰτία ((*) νομίζεται μὲν ⟨γὰρ⟩ ἀγαθὸν ἢ 10
κακὸν ἐκ ταύτης πρὸς τὸ μακαρίως ζῆν ἀνθρώποις δίδοσ-
θαι, ἀρχὰς μέντοι μεγάλων ἀγαθῶν ἢ κακῶν ὑπὸ ταύτης
135 χορηγεῖσθαι). Κρεῖττον γὰρ εὐλογίστως ἀτυχεῖν ἢ ἀλο-
γίστως εὐτυχεῖν· βέλτιον γὰρ ἐν ταῖς πράξεσι τὸ καλῶς
κριθὲν ⟨*⟩ ὀρθωθῆναι διὰ ταύτην. 15

136 Διαφέρονται δὲ οἱ Ἐπικούρειοι πρὸς τοὺς Κυρηναϊ-
κοὺς περὶ τῆς ἡδονῆς· οἱ μὲν γὰρ τὴν καταστηματικὴν οὐκ
ἐγκρίνουσι, μόνην δὲ τὴν ἐν κινήσει· οἱ δὲ ἀμφότερα ⟨*⟩
ψυχῆς καὶ σώματος. Ἡ μὲν οὖν ἀταραξία καὶ ἀπονία
καταστηματικαί εἰσιν, ἡ δὲ χαρὰ καὶ εὐφροσύνη κατὰ 20
κίνησιν ἐνεργείᾳ βλέπονται.

137 Ἔτι οἱ μὲν Κυρηναϊκοὶ χείρους φασὶ τὰς σωματικὰς
ἀλγηδόνας τῶν ψυχικῶν (κολάζεσθαι γοῦν τοὺς ἁμαρτά-
νοντας σώματι)· οἱ δὲ τὰς ψυχικάς. Τὴν γοῦν σάρκα τὸ

2 ἐπιλελογισμένου **Φ** et BP[1] : ἐπιλελογισμένον FDP[4] **6** κατακολουθεῖν scripsi ex BP[1] (: ἀκολουθεῖν FDP[4]) : δουλεύειν (ex v. 7) **Φ** **9** δὲ addidi ex BPF | οὔ⟨τε⟩ scripsi ex BP F : οὐ **Φ** | ἄτακτον **Φ** : ἀτάκτως BPF **10** οὐκ add. Usener νομίζεται : οἴεται BPF | γὰρ addidi ex BPF **15** post κριθὲν lac. in **Φ** et BPF : μὴ ὀρθωθῆναι ἢ τὸ μὴ καλῶς κριθὲν suppl. Madvig **18** ἐγκρίνουσι **Φ** et P[2]F : ἐκκρίνουσι BP[1] | post ἀμφότερα lac. indicavit Usener : τὰ γένη suppl. Bignone **19** οὖν : γὰρ BP : om. F **20** post εἰσιν addunt ἡδοναί BPF

παρὸν μόνον χειμάζειν, τὴν δὲ ψυχὴν καὶ τὸ παρελθὸν καὶ
τὸ μέλλον καὶ τὸ παρόν. Οὕτως οὖν καὶ μείζονας ἡδονὰς
εἶναι τὰς ψυχικάς. Ἀποδείξει δὲ χρῶνται τοῦ τέλος εἶναι
τὴν ἡδονὴν τῷ τὰ ζῷα ἅμα τῷ γεννηθῆναι τῇ μὲν εὐα-
5 ρεστεῖσθαι, τῷ δὲ πόνῳ προσκρούειν φυσικῶς καὶ χωρὶς
λόγου. Αὐτοπαθῶς οὖν φεύγομεν τὴν ἀλγηδόνα· ὁπότε καὶ
Ἡρακλῆς καταβιβρωσκόμενος βοῇ

> δάκνων ἴυζεν· ἀμφὶ δ' ἔστενον πέτραι,
> Λοκρῶν τ' ὄρειοι πρῶνες Εὐβοίας τ' ἄκραι.

10 Διὰ δὲ τὴν ἡδονὴν καὶ τὰς ἀρετὰς αἱρεῖσθαι, | οὐ δι' f. 44r
αὑτάς, ὥσπερ τὴν ἰατρικὴν διὰ τὴν ὑγίειαν. Καὶ ἀχώρισ- **139**
τον δέ φασι τῆς ἡδονῆς τὴν ἀρετὴν μόνην· τὰ δ' ἄλλα
χωρίζεσθαι, οἷον βρωτά.

Ἐπεὶ δὲ τὰς τῶν δοξῶν περιφανεστέρας διεξήλθομεν, **1.21**
15 καὶ περὶ ἑκάστου τῶν σοφῶν ἤδη λέγωμεν.

10. ΘΑΛΗΣ

Θαλῆς δοκεῖ πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκ- **23**
λείψεις καὶ τροπὰς προειπεῖν. Ἔνιοι δὲ καὶ πρῶτον αὐτόν **24**
φασιν εἰπεῖν ἀθανάτους τὰς ψυχάς. Καὶ πρῶτος δὲ τὸ τοῦ
20 ἡλίου μέγεθος ⟨*⟩ τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰ-
κοστὸν μέρος ἀπεφήνατο· καὶ τὴν ὑστέραν τοῦ μηνὸς
τριακάδα εἶπε, καὶ περὶ φύσεως διελέχθη. Ἀριστοτέλης

8–9 Soph. *Trach.* 787–788

3 τὰς ψυχικάς : τῆς ψυχῆς BPF **4** τῷ Φ et B[2] : τὸ B P[1] : ὧ F **6** φεύγομεν Φ et PF : φεύγωμεν B **6** ὁπότε : ἵνα PF : om. B **7** post καταβιβρωσκόμενος addunt ὑπὸ τοῦ χιτῶνος FDP[4] : ὑπὸ τοῦ χειμῶνος P[1](B) | βοῇ Φ et BPF : βοᾷ Menag. **8** δάκνων Φ et BPF : βοῶν Soph. | ἴυζεν : ἰύζων PF et Soph. : ιυξων B[1] | ἔστενον Φ et BPF : ἐκ-τύπουν Soph. **9** τ'[1] Φ et BPF : om. Soph. | ἄκραι Φ, BP[2] et Soph. : ἄκρα P[1]F **12** φασι : φησι BPF **20** post μέγεθος lac. indicavit Diels | εἰκοσιοστὸν Φ **22** διειλέχθη Φ

δέ φησιν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχάς, τεκμαιρόμενον ἐκ τῆς μαγνήτιδος λίθου καὶ τοῦ ἠλέκτρου.

27 Ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη. Τάς τε ὥρας τοῦ ἐνιαυτοῦ αὐτόν φασιν εὑρεῖν καὶ εἰς τξε´ ἡμέρας διελεῖν. 5 Οὐδείς τε αὐτοῦ καθηγήσατο, πλὴν ὅτι εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψε. Τοῦτόν φασι καὶ τὰς πυραμίδας ἐκμετρῆσαι, παρατηρήσαντα ἐκ τῆς σκιᾶς ὅτε ἡμῖν ἰσομεγέθεις εἰσίν.

26 Ἀναγκαζούσης τῆς μητρὸς αὐτὸν γῆμαι ἔλεγεν αὐτὸς 10 "Οὐδέπω καιρός·" εἶτα, ἐπειδὴ παρήβησεν ἐγκειμένης, εἶπεν "Οὐκέτι καιρός." Οὗτος βουλόμενος δεῖξαι ῥᾷον εἶναι πλουτεῖν, φορᾶς ⟨*⟩ μελλούσης ἔσεσθαι, προνοήσας ἐμισθώσατο τὰ ἐλαιουργεῖα καὶ πάμπλειστα συνῆξε χρήματα.

33 Ἔφασκε δὲ τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῇ Τύχῃ· 15 "Πρῶτον μέν," φησίν, "ὅτι ἄνθρωπος ἐγενόμην, ἀλλ᾽ οὐ θηρίον· εἶτα ὅτι ἀνήρ, καὶ οὐ γυνή· τρίτον ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος." Λέγεται δὲ ὅτι ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ, εἰς βόθρον ἐνέπεσε, καὶ αὐτῷ ἀνοιμώξαντι ἔφη ἡ γραῦς· "Σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν 20 ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι;"

35 Ἀποφθέγματα δὲ αὐτοῦ τάδε·

Πρεσβύτατον τῶν ὄντων θεός· ἀγένητον γάρ.
Κάλλιστον κόσμος· ποίημα γὰρ θεοῦ. 25
Μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ.
Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει.
Ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντα.
Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα.

1 μεταδιδόναι **Φ** et BP^1F : διδόναι FP^4 **6** τε **Φ** et B : δὲ P^1F **13** post φορᾶς lac. indicavi : ἐλαιῶν F : om. **Φ** et BP **14** συνῆξε : συνεῖλε BPF **16** φησίν : om. B PF | ἀλλ᾽ : καὶ BPF **28** πάντα : πάντων BPF et ΔΠ

"Οὐδέν," ⟨ἔφη,⟩ "ὁ θάνταος διαφέρει τοῦ ζῆν." "Σὺ οὖν," ἔφη τις, "διὰ τί οὐκ ἀποθνῄσκεις;" "Ὅτι," ἔφη, "οὐδὲν διαφέρει." Πρὸς τὸν πυθόμενον τί πρότερον γέγονε, **36** νὺξ ἢ ἡμέρα, "Ἡ νύξ," ἔφη, "μιᾷ ἡμέρᾳ πρότερον." Ἐρω-
5 τηθεὶς εἰ λάθοι θεὸν ἄνθρωπος ἀδικῶν, "Ἀλλ' οὐδὲ διανοούμενος," ἔφη. Πρὸς τὸν μοιχὸν ἐρόμενον εἰ ὀμόσει μὴ μεμοιχευκέναι, "Οὐ χεῖρον," ἔφη, "μοιχείας ἐπιορκία." Ἐρωτηθεὶς τί δύσκολον, ἔφη, "Τὸ ἑαυτὸν γνῶναι·" τί δὲ εὔκολον, "Τὸ ἄλλῳ ὑποθέσθαι·" τί ἥδιστον, "Τὸ ἐπιτυγ-
10 χάνειν·" τί τὸ θεῖον, "Τὸ μήτε | ἀρχὴν ἔχον μήτε τελευ- f. 44v τήν·" τί δύσκολον εἴη τεθεαμένος, "Γέροντα τύραννον." Οὓς ἂν ἐράνους εἰσενέγκῃς τοῖς γονεῦσι, τοὺς αὐτοὺς **37** προσδέχου παρὰ τῶν τέκνων.

11. ΣΟΛΩΝ

15 Οὗτος τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις· τὸ δὲ **45** ἦν λύτρωσις σωμάτων τε καὶ κτημάτων. Καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. Ἑπτὰ δὴ ταλάντων ὀφειλομένων αὐτῷ πατρῴων συνεχώρησε πρῶτος καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προὔτρεψε πρᾶ-
20 ξαι. Καὶ οὗτος ὁ νόμος ἐκλήθη σεισάχθεια.

Τοῦτον ἀφικόμενον εἰς Σάρδεις Κροῖσος ἀσπασίως **50–51** ἐδέξατο· καί ποτε κοσμήσας ἑαυτὸν παντοδαπῶς καὶ καθίσας εἰς τὸν θρόνον ἤρετο Σόλωνα εἴ τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ "Ἀλεκτρυόνας," εἶπε, "φασιανοὺς καὶ
25 ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι." Ἐκεῖθεν δὲ ἀπαλλαγεὶς ἐγένετο ἐν Κιλικίᾳ καὶ πόλιν συνῴκισεν, ἣν ἀφ' ἑαυτοῦ Σόλους ἐκάλεσεν· ὀλίγους τέ τινας τῶν Ἀθηναίων ἐγκατῴκισεν, οἳ τῷ χρόνῳ τὴν φωνὴν ἀποξενωθέντες σολοικίζειν ἐλέγοντο.

1 ἔφη addidi ex BPF **3** γέγονε : γεγόνοι B : γεγόνει PF **5** λάθοι **Φ** et F : λήθοι BP | θεὸν : θεοὺς BPF **7** χεῖρον **Φ**[2] et BP : χείρων **Φ**[1] et F **9** ὑποθέσθαι **Φ** et BF : ὑποτίθεσθαι P **13** παρὰ : καὶ παρὰ BPF **27** ἀφ' ἑαυτοῦ : ἀπ' αὐτοῦ BPF : ἐξ αὐτοῦ *Suda*

49 Πεισίστρατον δὲ τὸν συγγενῆ αἰσθόμενος ἐπιθησόμενον τυραννίδι, ᾄξας εἴς τινα ἐκκλησίαν μετὰ ξίφους καὶ δόρατος προεῖπε τὴν ἐπίθεσιν καὶ βοηθεῖν ἕτοιμος εἶναι ἔλεγε· τῶν μὲν γὰρ ἀνδρειότερος, τῶν δὲ σοφώτερος εἶναι· σοφώτερος μὲν τῶν τὴν ἀπάτην μὴ συνιέντων, ἀν- 5 δρειότερος δὲ τῶν ἐπισταμένων μέν, διὰ δὲ δειλίαν σιγώντων. Καὶ τῆς βουλῆς λεγούσης ὅτι μαίνεται (ἦσαν γὰρ Πεισιστρατίδαι), εἶπε·

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει, ἀληθείης εἰς μέσον ἐρχομένης. 10

50 Προεῖπε δὲ καὶ περὶ Πεισιστράτου οὕτως·

Ἐκ νεφέλης χεῖται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρῆς γίνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, εἰς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν. 15

Ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πείθων ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγίου καὶ εἰπών· "Βεβοήθηκά σοι, ὦ πατρίς, καὶ λόγῳ καὶ ἔργῳ," ἀπέπλευσεν εἰς Αἴγυπτον.

57 Νόμοι δὲ αὐτοῦ οἵδε· δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τοῦ πραθέντος δακτυλίου· καὶ ἐὰν ἕ- 20 να ὀφθαλμὸν ἔχοντος ἐκκόψῃ τις, ἀντεκκόπτειν τοὺς δύο. Ἃ μὴ ἔθου, μὴ ἀναιροῦ. ⟨Τῷ ἄρχοντι,⟩ ἐάν τις μεθύων

9–10 Solonis Fr. 10 West[2] **12–15** Solonis Fr. 9 W. Cf. *Excerpta ex Diodoro* 9.20.2

1 αἰσθόμενος : προαισθόμενος BPF **2** ᾄξας **Φ** et BF : ἦξας P **2–3** ξίφους καὶ δόρατος : δόρατος καὶ ἀσπίδος BF : θώρακος καὶ ἀσπίδος P **5** τὴν ἀπάτην Πεισιστράτου BPF **6** διὰ δὲ δειλίαν σιγώντων : διὰ δέος δὲ σιωπώντων BPF **9** δείξειε **Φ**, corr. Lambros **12** χεῖται : φέρεται BPF : πέλεται Diod. | χαλάζης **Φ** et BF : θαλάσσης P, Diod. **13** δ' **Φ** et Diod. : τ' BPF **14** μονάρχου Lambros ex BPF : μόναρχον **Φ** **15** ἀϊδρείη **Φ** **22** ἀναιροῦ : ἀνέλῃ BPF | Τῷ ἄρχοντι supplevi ex BPF

ληφθῇ, θάνατον εἶναι τὴν ζημίαν. Ἐάν τις μὴ τρέφῃ τοὺς 55
γονέας, ἄτιμος ἔστω· καὶ ὁ ⟨τὰ⟩ πατρῷα κατεδηδοκὼς καὶ
ὁ ἀργὸς ὑπεύθυνος ἔστω. Τὸν ἐπίτροπον τῇ τῶν ὀρφανῶν 56
μητρὶ μὴ συνοικεῖν.

5 Ἔλεγε τὸν μὲν λόγον εἴδωλον εἶναι τῶν ἔργων· βασι- 58
λέα δὲ τὸν ἰσχυρότατον τῇ δυνάμει. Τοὺς δὲ νόμους τοῖς
ἀραχνίοις ὁμοίους· καὶ γὰρ ἐκεῖνα, | ἐὰν μὲν ἐμπέσῃ τι f. 45r
κοῦφον καὶ ἀσθενές, στέγειν· ἐὰν δὲ μεῖζον, διακόψαν
οἴχεσθαι. Ἔλεγε δεῖν σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ,
10 τὴν δὲ σιγὴν καιρῷ. Τοὺς παρὰ τοῖς τυράννοις ⟨δυναμέ- 59
νους⟩ παραπλησίους εἶναι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν λογισ-
μῶν. Καὶ γὰρ ἐκείνων ἑκάστην ποτὲ μὲν πλείω σημαίνειν,
ποτὲ δὲ ἐλάττω· καὶ τούτων τοὺς τυράννους ποτὲ μὲν
ἕκαστον μέγαν ἄγειν καὶ λαμπρόν, ὁτὲ δὲ ἄτιμον. Ἐρω-
15 τηθεὶς διὰ τί κατὰ πατροκτόνου νόμον οὐκ ἔθηκε, "Διὰ τὸ
ἀπελπίσαι," εἶπε. Πῶς τε ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι,
"Εἰ ὁμοίως," ἔφη, "ἄχθονται τοῖς ἀδικουμένοις καὶ οἱ μὴ
ἀδικούμενοι." "Τὸν μὲν κόρον ὑπὸ τοῦ πλούτου γεννᾶσ-
θαι, τὴν δὲ ὕβριν ὑπὸ τοῦ κόρου."

20 Καλοκἀγαθίαν ὅρκου πιστοτέραν ἔχε. Μὴ ψεύδου. Τὰ 60
σπουδαῖα μελέτα. Φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ,
μὴ ἀποδοκίμαζε. Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι. Συμ-
βούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. Νοῦν ἡγεμόνα
ποιοῦ. Μὴ κακοῖς ὁμίλει. Θεοὺς τίμα, γονέας αἰδοῦ.

2 τὰ addidi ex BPF **5** ἔργων scripsi : λόγων **Φ** **9** οἴ-
χεσθαι scripsi : οἴχεται **Φ** | ἔλεγε δεῖν : ἔφασκέ τε BPF
10 δυναμένους addidi ex BPF **13** ἐλάττω : ἧττω BPF
14 ὁτὲ **Φ** et BPF : ποτὲ *Gnom. Vat.* 505, Stephanus **17**
ἄχθονται : ἄχθοιντο BPF | καὶ om. BPF **24** θεοὺς τίμα,
γονέας αἰδοῦ **Φ** et BP : γονεῖς τίμα, θεοὺς φοβοῦ F

61 Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ
φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνας φρενὸς †γεγόνοι.† 5

63 Οὗτος ἐδάκρυε τοῦ παιδὸς αὐτοῦ τελευτήσαντος· πρὸς οὖν τὸν εἰπόντα "Ἀλλ' οὐδὲν ἀνύτεις" εἶπε "Δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύω."

12. ΧΙΛΩΝ

68 Οὗτος πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος 10 ἐγένετο, αὐτοῦ ὄντος, "Ἐγὼ μὲν ἐπίσταμαι ἀδικεῖσθαι," ἔφη, "σὺ δὲ οὔ."

69 Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, "Ἐλπίσιν ἀγαθαῖς." Τί δύσκολον; "Τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ 15 ἀδικούμενον δύνασθαι φέρειν." Προσέταττε γλώσσης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. Μὴ κακολογεῖν τοὺς **70** πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι ἐφ' οἷς λυπήσεσθαι. Μηδενὶ ἀπειλεῖν· γυναικῶδες γάρ. Ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ⟨ἢ τὰς εὐτυχίας⟩ πορεύεσθαι. Γάμον εὐτελῆ 20 ποιεῖσθαι. Τὸν τεθνηκότα μὴ κακολογεῖν. Γῆρας τιμᾶν. Φυλάττειν ἑαυτόν. Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. Ἀτυχοῦντι μὴ ἐπεγγελᾶν. Ἰσχυρὸν ὄντα πρᾷον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. Μανθάνειν τῆς 25

1–5 Solonis Fr. 42 Bergk; *Suppl. Hell.* 522

2 post μὴ addit σε Wilamowitz | ἔγχος ἔχων **Φ** et BPF : transp. Bergk **3** post φαιδρῷ addit σε Bergk | προσενέπῃ BPF **4** οἱ scripsi ex BPF : τοι **Φ** **5** γεγόνοι **Φ** : γεγώνῃ B, γεγωνῇ F : γεγονῇ P[1] : γεγωνῇ Lambros **8** ἀνύω **Φ** : ἀνύτω BPF **13** τίνι **Φ** et BP : τί F[3] **17** τοὺς **Φ** et BP : τὸν F[3] **20** ἢ τὰς εὐτυχίας supplevi ex BPF **24** ἐπεγγελᾶν : ἐπιγελᾶν BPF

ἑαυτοῦ οἰκίας καλῶς προστατεῖν. Τὴν γλῶσσαν μὴ προτρέχειν τοῦ νοῦ. Θυμοῦ κρατεῖν. Μὴ ἐπιθυμεῖν ἀδυνάτων. Μαντικὴν μὴ ἐχθαίρειν. Ἐν ὁδῷ μὴ σπεύδειν. Λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. Νόμοις πει-
5 θεσθαι.

Ἔλεγεν· **71**

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται
διδοὺς βάσανον φανεράν·
ἐν δὲ χρυσῷ
10 ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

Φασὶ δ' αὐτὸν καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη **69** ποιῶν· τὸν δὲ φάναι· "Τὰ ⟨μὲν⟩ ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν."

Γηραιὸς δὲ ἤδη ὢν εἶπεν ὡς | οὐδὲν συνειδείη †ἀγνῶ- f. 45v
15 μον† ἑαυτῷ ⟨ἐν τῷ βίῳ⟩. Ὑπώπτευεν ἀεὶ τὴν νῆσον τὰ **71** Κύθηρα καὶ ἔλεγεν· "Εἴθε μὴ ἐγεγόνει, ἢ γενομένη κατεβυθίσθη." Καὶ εἰ ἐπείσθη Δημαράτῳ Ξέρξης συνέχειν **72** ὑποθεμένῳ τὰς ναῦς ἐν τῇ νήσῳ, ἥλω ἂν ἡ Ἑλλάς. Ὕστερον δὲ Νικίας ἐπὶ τῶν Πελοποννησιακῶν καταστρεψά-
20 μενος τὴν νῆσον, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα κακὰ τοὺς Λακεδαιμονίους διέθηκεν. Οὗτος ὁ Χίλων ἐτελεύτησεν ἐν Πίσσῃ, τὸν υἱὸν Ὀλυμπιονίκην θεασάμενος· ἔπαθε δὲ τοῦτο ὑπερβολῇ χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας.

7–10 Bergk, III, p. 199; *Suppl. Hell.* 523

7 ἐν ⟨μὲν⟩ λιθίναις Bergk **8** φανεράν **Φ** et BP : φοβεράν F3 **12** μὲν add. Lambros **14** ἀγνῶμον **Φ** et BP : ἄνομον F3 **15** ἐν τῷ βίῳ supplevi ex BPF : in **Φ** rasura litt. 4 | ὑπόπτευεν **Φ** **19** δὲ : τε BPF **23** θεασάμενος : ἀσπασάμενος πυγμῆς BPF

13. ΠΙΤΤΑΚΟΣ

74 Μαχομένων Μυτιληναίων καὶ Ἀθηναίων Φρύνων μὲν Ἀθηναίων ἐστρατήγει, Πιττακὸς δὲ Μυτιληναίων· συνέθεντο δὴ μονομαχῆσαι· δίκτυον οὖν ἔχων Πιττακὸς ὑπὸ τὴν ἀσπίδα λαθραίως περιέβαλε τὸν Φρύνωνα καὶ κτεί- 5
75 νας ἀνεσώσατο τὸ χωρίον. Καὶ αὐτῷ τὴν ἀρχὴν ἐνεχείρισαν Μυτιληναῖοι· ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχὴν καὶ δέκα ἐπεβίω ἄλλα. Καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μυτιληναῖοι· ὁ δὲ ἱερὰν ἀνῆκεν. Οἱ δέ φασιν ὡς ὀλίγον ἀποτεμόμενος 10 ἔφη τὸ ἥμισυ τοῦ παντὸς πλέον εἶναι. Καὶ Κροίσου οἱ διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο
76 διπλάσια, ἄπαιδος τοῦ ἀδελφοῦ τελευτήσαντος. Τούτου τὸν υἱὸν Τύραιον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνεῖλε. Τῶν δὲ Κυμαίων πεμ- 15 ψάντων αὐτῷ τὸν φονέα, μαθὼν καὶ ἀπολύσας εἶπε· "Συγγνώμη μετανοίας κρείσσων."

81 Ἀλκαῖος δὲ ὁ ποιητὴς ἐκάλει τοῦτον σαράποδα διὰ τὸ πλατύπουν ⟨εἶναι⟩, χειροπόδην διὰ τὰς ἐν ποσὶ ῥαγάδας, ἀγάσυρτον ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν, γαύρικα ὡς 20 εἰκῇ γαυριῶντα, φύσκωνα καὶ γάστρωνα, ὅτι παχὺς ἦν· ἀλλὰ μὴν καὶ ζοφοδορπίδα, ὡς ἄλυχνον.

76 Τοῦτον οὖν τὸν Ἀλκαῖον ὑποχείριον λαβὼν Πιττακὸς ἀπέλυσεν εἰπών· "Συγγνώμη τιμωρίας κρείσσων." Νόμους δὲ ἔθηκε· τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν τὴν ζημίαν 25 (ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου ὄντος).

77 Εἶπε· "Χαλεπὸν ἐσθλὸν ἔμμεναι." Ἐρωτηθεὶς ὑπὸ Κροίσου τίς ἀρχὴ μεγίστη, "Ἡ τοῦ ποικίλου," ἔφη, "ξύλου," σημαίνων τὸν νόμον. Τὰς νίκας ἔλεγε δεῖν ἄνευ

1 et 2 μιτυληναίων Φ **2** συνέθετο BPF **7 et 9** μιτυληναῖοι Φ **12** ὧν scripsi ex BPF : ἂν Φ **14** τυρραῖον BPF **19** εἶναι addidi ex BPF **22** ζοφοδόρπιδα Φ et *Suda* : ζοφοδορπίδαν BPF **25** post ζημίαν addunt εἶναι F^3P^4 : om. Φ et BP^1 **26** ὄντος : γινομένου BPF

αἵματος ποιεῖσθαι. Πρὸς τὸν φάσκοντα δεῖν ζητεῖν σπουδαῖον ἄνθρωπον· "Ἂν λίαν," ἔφη, "ζητήσῃς, οὐχ εὑρήσεις." Ἐρωτηθεὶς τί εὐχάριστον, "Χρόνος," ἔφη· ἀφανές, "Τὸ μέλλον·" πιστόν, "Γῆ·" ἄπιστον, "Θάλασσα." Ἔλεγε **78**
5 συνετῶν μὲν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται· ἀνδρείων δέ, γενομένων εὖ διαθέσθαι. "Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ." Ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδούμενον. Παρακαταθήκην λαβόντα ἀποδοῦναι. Φίλον μὴ λέγειν
10 κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. Εὐσέβειαν ἀσκεῖν. Σωφροσύνην φιλεῖν. Ἀλήθειαν ἔχειν, πίστιν, ἐμ|πειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν. Ἔλεγε καὶ τόδε· f. 46ʳ

†Χρὴ τόξῳ καὶ ἰοδόκῳ φαρέτρῃ†
στείχειν ποτὶ φῶτα κακόν·
15 πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα
κραδίῃ νόημα.

Νεανίσκῳ συμβουλευομένῳ περὶ γάμου ταῦτα εἶπεν, ἅ φησι Καλλίμαχος· **79**

20 Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω **80**
τὸν Μυτιληναῖον, παῖδα τὸν Ὑρράδιον·
"Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γένεϊ κατ' ἐμέ·

13–17 Bergk, III, p. 198; *Suppl. Hell.* 524 **20–p. 204.12** Callim. *Epigr.* 1 Pfeiffer; *Anth. Pal.* 7.89 **22–p. 204.2** *Suda,* 4305 Ἄττα

2 ζητήσῃς : ζητῇς BPF **5** μὲν **Φ** et B : om. PF³ **6** γενομένων : γενόμενα BPF **13** χρὴ τόξω καὶ ἰοδόκω φαρέτρη **Φ** : ἔχοντα χρὴ τόξον καὶ ἰοδόκον φαρέτραν BPF **14** ποτὶ **Φ** et B : ἐπὶ PF³ **17** κραδίῃ **Φ** et BP : κραδίην F³ **18** συμβουλευομένῳ scripsi ex BPF : συμβουλεύοντι **Φ** **20** Ἀταρνείτης scripsi : ἀταρνεῖται **Φ** | ἀνείρετο **Φ** et *Pal.* : ἀνήρετο BPF **22** ὑρράδιον **Φ** et *Pal.*¹ : ὑρραδίου BP¹F³ **23** γένει **Φ** et *Suda* : γενεῇ BPF et *Pal.*

ἡ δ' ἑτέρη προβέβηκε. Τί λώϊον; Εἰ δ' ἄγε, σύν μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω."
Εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας·
"Ἤνιδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος."
(Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες 5
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ).
"Κείνων ἔρχεο," φησί, "μετ' ἴχνια." Χὼ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον· "Τὴν κατὰ σαυτὸν ἔλα."
Ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνι συνθέμενος. 10
Τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
⟨οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.⟩

81 Δοκεῖ δὲ ἐκ διαθέσεως αὐτὰ εἰρηκέναι. Εὐγενεστέρα γὰρ οὖσα αὐτῷ ἡ γυνή, ἐπεὶ Δράκοντος ἦν ἀδελφή, σφόδρα κατεσοβαρεύετο αὐτοῦ. Τούτου γυμνάσιον σῖτον 15 ἀλεῖν. Ἐπέστειλε δὲ ὧδε Κροίσῳ·

"Κέλεαί με ἱκνεῖσθαι ἐς Λυδίην, ὅπως σοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ αἴκεν μὴ ὀρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλήων πολυχρυσότατον πέλειν. Οὐδὲν δὲ πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδεις· χρυσῷ γὰρ οὐ δευόμεσθα, ἀλλὰ πέπαμαι ἄρκια καὶ τοῖς ⟨ἐμοῖς⟩ ἑταίροις. 20 Ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμην τοι φίλος, οὐ

5–6 *Suda,* 236 Βέμβηξ

4 ἤνιδε scripsi ex BPF : ἤνιπε **Φ** **7** ἐπέστη **Φ**, F³P⁴ et *Plan.* : ἐφέστη BP¹ **9** μέζονος **Φ** **10** κληδόνι **Φ** et *Plan.*² : κληδόνα BPF et *Pal., Plan.*¹ **11** οἶκον ἐπήγετο **Φ**, *Pal.* et *Plan.* : οἰκίον ἤγετο P : οἰκείαν ἤγετο BF³ **12** οὕτω – ἔλα supplevi ex BPF, *Pal.* et *Plan.* | γ' ἰὼν *Pal., Plan.* : δίων BPF **15** αὐτοῦ **Φ** et coni. Kuehn : αὐτὸν BPF **17** λυδίην **Φ** et Cobet : λυδίαν BPF **18** αἴκεν **Φ** : καὶ BPF | ὀρῇς **Φ**, correxi ex BPF **19** δὲ : τε BPF **20** χρυσῶ **Φ** et B : χρυσοῦ PF³ | δευόμεσθα : δεύμεσθ' BP : δεύμεθα F³ **21** πέπαμμαι **Φ** | ἐμοῖς addidi ex BPF **22** φίλος : ὕμιλλος B : ὑμίλαος P¹ : ὁμίλαος P⁴ : συνόμιλος P²F³V **22–p. 205.1** οὐ δώρων ἕκατι om. BPF

δώρων ἕκατι."

14. ΒΙΑΣ

Οὗτος Ἀλυάττου πολιορκοῦντος Πριήνην δύο πιάνας **83**
ἡμιόνους ἐξήλασεν εἰς τὸ στρατόπεδον· ὁ δὲ βασιλεὺς
5 ἰδὼν κατεπλάγη τὸ μέχρι καὶ ἀλόγων αὐτῶν διατείνειν
τὴν εὐθηνίαν. Καὶ ἐβουλήθη σπείσασθαι καὶ εἰσέπεμψεν
ἄγγελον. Βίας δὲ σωροὺς ψάμμου χέας καὶ ἄνωθεν σῖτον
περιρράνας ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν Ἀλυάτ-
της ἐσπείσατο. Θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς Βίαντα,
10 ἵνα ἥκοι παρ' αὐτόν, "Ἐγὼ δέ," φησίν, "Ἀλυάττῃ κελεύω
κρόμμυα ἐσθίειν" (ἴσον τῷ κλαίειν).

Συμπλέων ποτὲ ἀσεβέσι, τῆς νεὼς χειμαζομένης κἀ- **86**
κείνων θεοὺς ἐπιβοωμένων, "Σιγᾶτε," ἔφη, "μὴ αἴσθωνται
ὑμᾶς ἐνθάδε πλέοντας." Ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς τί ἐστιν
15 εὐσέβεια, ἐσίγα· τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυνθανομέ-
νου, "Σιωπῶ," ἔφη, "ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων
πυνθάνῃ." Ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φί- **87**
λων· τῶν μὲν γὰρ φίλων ἐχθρὸν πάντως ἔσεσθαι τὸν
ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον.

20 Οὗτος Μεσηνίας κόρας αἰχμαλώτους λυτρωσάμενος **82**
ἔθρεψέ τε ὡς θυγατέρας καὶ προῖκας ἔδωκε καὶ εἰς τὴν
Μεσήνην ἔπεμψεν. Εὑρεθέντος δὲ τοῦ χαλκοῦ τρίποδος
καὶ ἐπιγραφὴν ἔχοντος | "Τῷ σοφωτάτῳ," παρῆλθον οἱ τῶν f. 46ᵛ
κορῶν πατέρες καὶ διηγησάμενοι τὰ κατ' αὐτὰς τὸν Βίαν-
25 τα εἶπον εἶναι σοφόν. Καὶ ἀπεστάλη ὁ τρίπους, ὁ δὲ οὐ

3–7 cf. *Suda*, 1569 Πιήναντα

3 πιήνας BPF et *Suda* **4** βασιλεὺς **Φ** : om. BPF et *Suda* **5** ἰδὼν : συνιδόντα BPF et *Suda* | τὸ **Φ** et *Suda* : om. BPF **8** περιρράνας : περιχέας BPF **9** εἰρήνην ἐσπείσατο BPF **13** ἐπιβοωμένων : ἐπικαλουμένων BPF **14** ἀσεβοῦς **Φ** et F[3] : ἀσεβοῦς ἀνθρώπου BP **15** πυνθανομένου : πυθομένου BPF **21** ἔδωκε : ἐπιδοῦναι BPF **22** ἔπεμψεν : ἀποστεῖλαι BPF **23** τῷ σοφωτάτῳ : τῷ σοφῷ BPF **25** πατέρες : πατέρα BPF

προσήκατο, τὸν Ἀπόλλωνα εἰπὼν εἶναι σοφόν.

84 Οὗτος δίκην ὑπέρ τινος λέξας, μετὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ θυγατριδοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ δι' ἐναντίας καὶ τῶν δικαστῶν τὴν ψῆφον διενεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις **85** τοῦ παιδὸς εὑρέθη. Καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις.

Ἔλεγεν·

> Ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει αἴκε μένῃς·
> πλείστην γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
> πολλάκις βλαβερὰν ἐξέλαμψεν ἄταν.

86 Τὸ μὲν ἰσχυρὸν γενέσθαι τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον καὶ φρονήσεως. Εὐπορίαν χρημάτων καὶ διὰ τύχην πολλοῖς περιγίνεσθαι. Ἀτυχὴς ὁ ἀτυχίαν μὴ φέρων. Νόσος ψυχῆς τὸ ἀδυνάτων ἐρᾶν. Ἔλεγε τὸ ἀλλότριον κακὸν ἀμνημόνευτον εἶναι.

Ἐρωτηθεὶς τί δυσχερές, "Τὸ τὴν ἐπὶ τὸ χεῖρον," ἔφη, **87** "μεταβολὴν εὐγενῶς ἐνεγκεῖν." Τί ποιῶν ἄνθρωπος τέρπεται, "Κερδαίνων," ἔφη. Ἔλεγε τὸν βίον οὕτως μετρεῖν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους· φιλεῖν ὡς καὶ μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς· "Βραδέως ἐγχείρει τοῖς πραττομένοις· ὃ δ' ἂν ἕλῃ, βεβαίως **88** τηρῶν μένε. Μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει. Φρόνησιν ἀγάπα. Περὶ θεῶν λέγε ὡς εἰσίν. Ἀνάξιον ἄνδρα μὴ

10–12 Bergk, III, p. 199; *Suppl. Hell.* 525

3 τοῦ Φ et P : om. BF[3] | θυγατριδοῦ : τῆς θυγατρὸς υἱοῦ BPF **5** διενεγκόντων : ἐνεγκόντων BPF **7** τοῦ παιδὸς om. BPF **11** πλείσταν BPF **12** πολλάκις Φ et BF : πολλάκι P **17** ἔλεγε om. BPF | τὸ ἀλλότριον κακὸν : ἀλλότριόν τε κακὸν B : ἀλλοτρίων δὲ κακῶν PF[3] **19** τὸ[1] om. BPF **23** καὶ om. BPF **25** μένε : διάμενε BPF

ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιασάμενος. "Ο τι ἂν ἀγαθὸν πράττῃς, εἰς θεὸν ἀνάπεμπε. Ἐφόδιον εἰς γῆ-ρας ἀπὸ νεότητος ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων."

5 15. ΚΛΕΟΒΟΥΛΟΣ

Οὗτος ἐποίησεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια. **89** Τινὲς δέ φασι καὶ τὸ εἰς τὸν Μίδαν ἐπίγραμμα τοῦτον ποιῆσαι·

Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖμαι.
10 Ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη, **90**
καὶ ποταμοὶ ⟨* ⟩ ῥέωσιν, ἀναβλύζῃ δὲ θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

15 Φέρεται δὲ αὐτοῦ καὶ αἴνιγμα τοιόνδε·

Εἷς ὁ πατήρ, παῖδες ⟨δὲ⟩ δυώδεκα. Τῶν δὲ ἑκάστῳ **91**
παῖδες ⟨*⟩ τριάκοντα διάνδιχα εἶδος ἔχουσαι·

9–14 *Anth. Pal.* 7.153; Plat. *Phaedri* 264 d; *V. Hom. Herod.* 135–140; *Cert. Hom. et Hes.* 265–270; Dion. Chrysost. 37.38 alii **16–p. 208.2** *Anth. Pal.* 14.101; Stob. *Flor.* 1.8.37; *Suda,* 1718 Κλεοβουλίνη

2 θεὸν : θεοὺς BPF **7** εἰς τὸν μίδαν : ἐπὶ μίδα BPF **9** μίδου **Φ**, BPF et *Cert.* : μίδα *Pal., Plan.* alii : μίδεω *Vita* **10** νάη : ῥέῃ BPF, Dio, *Vita,* S.E. *Adv. math.* 8.184, Long. *Subl.* 36.2 **11–12** habent **Φ**, BPF, *Vita* et *Cert.* : om. *Pal., Plan.,* Plato, Dio **12** post ποταμοὶ addunt γε F^3, *Vita* et Lambros | ῥέωσιν : πλήθωσι *Cert.* | ἀναβλύζῃ **Φ** : ἀνακλύζῃ BPF, *Vita* et Lambros : περικλύζῃ *Cert.* **13** πολυκλαύστω F^3 et *Plan.* | πολυκλαύτου ἐπὶ τύμβου Plato et *Vita* **14** ἀγγελέω : σημανέω *Cert.* **16** δὲ[1] addidi ex BP et *Suda* | δὲ δυώδεκα BP et *Suda* : δυοκαίδεκα F^3, *Anth.* et Lambros | δὲ ἑκάστω : δέ θ' ἑκάστη *Anth.* **17** παῖδες : κᾶρα Stob. | τριάκοντα **Φ** et *Suda* : τριήκοντα BPF et *Anth.* : ⟨δὶς⟩ τριάκοντα Gudius, Lambros : ἑξήκοντα Stob. et **Δ**

αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάνατοι δέ ⟨τε⟩ οὖσαι, ἀποφθινύθουσιν ἅπασαι.

Ἔστι δ' ὁ ἐνιαυτὸς γεννῶν μῆνας δώδεκα καὶ ἕκαστος μὴν ἡμέρας τριάκοντα.

Οὗτος ἔφη δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους 5 μὲν τὴν ἡλικίαν, τὸ δὲ φρόνημα γυναῖκας, ὑποδεικνὺς ὅτι δεῖ παιδεύεσθαι καὶ τὰς παρθένους. Τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. Φυλάσσεσθαι τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ 92 ἐχθρῶν τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζη- 10 τείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ, ζητείτω πάλιν τί ἔπραξε. Συνεβούλευε τε εὖ τὸ σῶμα | f. 47r ἀσκεῖν· φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ· γλῶσσαν εὔφημον ἴσχειν· ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον· ἀδικίαν φεύγειν· πόλει 15 τὰ βελτίονα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδὲν πράττειν· τέκνα παιδεύειν· ἔχθραν διαλύειν. Γυναικὶ μὴ φιλοφρονεῖσθαι μηδὲ μάχεσθαι ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνει. Οἰκέτην πάροινον μὴ κολάζειν· δοκεῖν γὰρ συμπαροινεῖν. Γαμεῖν ἐκ τῶν 20 ὁμοίων· ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, δεσπότας κτή- 93 σῃ τοὺς συγγενέας. Μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τούτοις. Εὐτυχῶν μὴ ἔσο ὑπερήφανος· ἀπορήσας μὴ ταπεινοῦ. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν. 25

2 τε addidi ex P[1] (τε οὖσαι) : τ' ἐοῦσαι BF, *Anth.*, Lambros **3** γεννῶν – **13** τριάκοντα Φ : om. BPF **6** φρόνημα : φρονεῖν BPF **11–12** ὅταν εἰσέλθῃ πάλιν, ζητείτω BPF **14** εὔφημον Φ et BP : εὔσχημον F[3] **16** τὰ βελτίονα : τὰ βέλτιστα BPF **20** συμπαροινεῖν : παροινεῖν BPF **23** ἔσο Φ et *Suda* : ἴσθι BPF

16. ΠΕΡΙΑΝΔΡΟΣ

Τούτου ἐρασθεῖσα ἡ μήτηρ Κράτεια συνῆν αὐτῷ λάθρα· καὶ ὃς ἥδετο. Φανεροῦ δὲ γενομένου βαρὺς ἐγένετο πᾶσι διὰ τὸ ἀσελγαίνειν. Οὗτος ηὔξατο, εἰ νικήσειεν **96**
5 Ὀλύμπια τεθρίππῳ, χρυσοῦν ἀναθεῖναι ἀνδριάντα· νικήσας δὲ καὶ ἀπορῶν χρυσίου, κατά τινα ἑορτὴν κεκοσμημένας ἰδὼν τὰς τῶν ἐπιχωρίων γυναῖκας, πάντα ἀφείλετο τὸν κόσμον καὶ ἔπεμψε τὸ ἀνάθημα.

Θελήσας δὲ τὸν τάφον αὐτοῦ μὴ γνωσθῆναι, τοιοῦτόν
10 τι ἐμηχανήσατο. Δυσὶν ἐκέλευσε νεανίσκοις, δείξας τινὰ ὁδόν, νύκτωρ ἐξελθεῖν καὶ τὸν ἀπαντήσαντα ἀνελεῖν καὶ θάψαι· ἔπειτα βαδίζειν πάλιν τε ἄλλους κατὰ τούτων ἔπεμψε δ΄, ὥστε ἀνελόντας τοὺς δύο θάψαι· καὶ αὖθις κατὰ τούτων πλείονας. Καὶ οὕτως αὐτὸς τοῖς πρώτοις
15 ἐντυχὼν ἀνῃρέθη, Οἱ δέ φασιν ὡς λυπηθεὶς διὰ τὸ μὴ ὑπακοῦσαι αὐτῷ τὸν υἱὸν ἐπὶ τυραννίδα καλούμενον (ὕστερον δὲ ἀναιρεθῆναι αὐτὸν ὑπὸ Κερκυραίων), ἀπέθανε. Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν ἐπίγραμμα· **95** **97**

Μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
20 τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
οὕνεκεν οὐκ ἔτυχε πρήξιος ἧς ἔθελεν.

Οὗτος εἶπε· Μηδὲν ἄγαν. Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ τὰ κέρδους ἄξια κερδαίνειν. Τοὺς μέλλον-
25 τας ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ

19–22 *Anth. Pal.* 7.620; *Suda,* 1067 Περίανδρος

3 ἀσελγαίνειν : ἀλγεῖν ἐπὶ τῇ φωρᾷ (φορᾶ F, χῶρα B) BP[1]F[3] **12** πάλιν : om. BPF | τε scripsi ex BPF : δὲ **Φ** **13** ἔπεμψε om. BPF | ὥστε : καὶ BPF | τοὺς δύο om. BPF | αὖθις : πάλιν BPF **15–16** μὴ ὑπακοῦσαι αὐτῷ om. BPF **19** τυχεῖν σε **Φ**, transposui **22** ἔθελεν scripsi : ἤθελεν **Φ** **23** μηδὲν ἄγαν om. BPF, deleverim **24** τὰ κέρδους ἄξια : τὰ κερδαντὰ BPF

μὴ τοῖς ὅπλοις. Ἐρωτηθεὶς διὰ τί τυραννεῖ, ἔφη, "Ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει." Ἔλεγε· Καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια· δημοκρατία κρείσσων τυραννίδος· αἱ μὲν ἡδοναὶ φθαρταί, αἱ δὲ τιμαὶ ἀθάνατοι. Εὐτυχὼν ⟨μὲν⟩ μέτριος ἴσθι, δυσ- 5
98 τυχῶν δὲ φρόνιμος· φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι· ὃ ἂν ὁμολογῇς, διατήρει· λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ· μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε. Οὗτος πρῶτος δορυφόρους ἔσχε καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε· καὶ οὐκ εἴα 10
ἐν ἄστει ζῆν τοὺς βουλομένους.

17. ΑΝΑΧΑΡΣΙΣ

101 Οὗτος ἐν Ἀθήναις πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενος ἐκέλευσέ τινι τῶν θεραπόντων μηνῦσαι ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις καὶ βούλοιτο αὐτὸν θεήσασθαι 15
102 καὶ ξένος, εἰ οἷόν τε, γενέσθαι. Καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ Σόλωνος εἰπεῖν αὐτῷ ὅτιπερ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. Ἀνάχαρσις δὲ ἔφη νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι καὶ προσήκει αὐτῷ ξένους
f. 47ᵛ ποιεῖσθαι. Ὁ δὲ καταπλαγεὶς τὴν | ἑτοιμότητα εἰσέφρηκεν 20
αὐτὸν καὶ μέγιστον φίλον ἐποιήσατο.
103 Οὗτος τὴν ἄμπηλον εἶπε τρεῖς φέρειν βότρυας· τὸν πρῶτον ἡδονῆς· τὸν δεύτερον μέθης· τὸν τρίτον ἀηδίας. Θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ ἀμαθεῖς. Μαθὼν δὲ δ´ 25
εἶναι δακτύλους τὸ πάχος τῆς νεώς, Τοσοῦτον ἔφη τοῦ
104 θανάτου τοὺς πλέοντας ἀπέχειν. Θαυμάζειν ἔφη πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δὲ ἐν μεγάλοις. Ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί, εἶπεν·

4 κρείσσων : κρεῖττον BPF **5** μὲν addidi ex BPF **7** ὁμολογῇς Φ et BP : ὁμολογήσῃς F[3] **20** εἰσέφρηκεν Φ et P : εἰσέφρικεν B : εἰσέφρισεν F[3] : εἰσέφρησεν Stephanus **25** οἱ ἀμαθεῖς Φ et Plut., *Gnom. Vat.* 14 : οἱ μὴ τεχνῖται BP F | δὲ[2] om. BPF

" Ἀλλ' οὐδὲ ἄμπελοι." Ἐρωτηθεὶς πότεροι πλείους εἰσίν, οἱ ζῶντες ἢ οἱ νεκροί, ἔφη· "Τοὺς οὖν πλέοντας ποῦ τίθεσαι;" Ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστίν, "Ἀλλ' ἐμοὶ μὲν ὄνειδος," εἶπεν, "ἡ πατρίς, σὺ δὲ τῆς πα-
5 τρίδος." Οὗτος διὰ τὸ παρρησιαστικὸς εἶναι ἀφορμὴν **101** παροιμίας παρέσχε, "Τὴν ἀπὸ Σκυθῶν ῥῆσιν."

Ἐρωτηθεὶς πῶς οὐκ ἄν τις γένοιτο φιλοπότης, "Εἰ πρὸ **103** ὀφθαλμῶν," εἶπεν, "ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας." Θαυμάζειν ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες
10 κατὰ τῶν ὑβριζόντων τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. Τὸ ἔλαιον μανίας ἔλεγε φάρμακον διὰ τὸ **104** ἀλειφομένους τοὺς ἀθλητὰς ἐπιμαίνεσθαι ἀλλήλοις. "Πῶς," ἔλεγεν, "ἀπαγορεύοντες ψεύδεσθαι ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται;" ⟨Ἐπι⟩γράφεται αὐτοῦ ταῖς
15 εἰκόσι· "Γλώσσης [τε], γαστρός, αἰδοίων κράτει." Ἐρωτη- **105** θεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, "Γλῶσσα," ἔφη. Καὶ τοῦτο θαυμασιώτατον ἔλεγεν ἑωρακέναι **104** παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν.

20 Ἔλεγε κρεῖττον ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολ- **105** λοὺς μηδενὸς ἀξίους. Τὴν ἀγορὰν ὡρισμένον ἔφη τόπον εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ πλεονεκτεῖν. Ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς ἔφη· "Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον μὴ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις;" Οὗτος εὗ-
25 ρεν εἰς τὸν βίον ἄγκυράν τε καὶ κεραμεικὸν τροχόν. Ἐπέστειλε δὲ ὧδε Κροίσῳ· "Ἐγώ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς γῆν τὴν Ἑλλήνων διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. Χρυσοῦ δὲ οὐδὲν δέομαι, ἀλλ' ἀπόχρη με

3 τίθεσαι : τίθης BPF **4** ἐμοὶ Φ et BPF : ἐμοῦ Menag. **13** ψεύδεσθαι : τὸ ψεύδεσθαι PF : μὴ ψεύδεσθαι B **14** ⟨ἐπι⟩γράφεται scripsi ex BF^3 (ὑπογράφεται P^1) : γράφεται Φ **15** τε delevi : om. BPF | κράτει Φ et B : κρατεῖν P F^3 **24** μὴ Φ et B : οὐ PF^3 **27** γῆν τὴν Ἑλλήνων : τὴν γῆν τῶν Ἑλλήνων B : τὴν τῶν Ἑλλήνων PF^3 **28** με Φ et BP : μοι F^3

ἐπανήκειν ἐς Σκυθίαν ἄνδρα γεγονότα ἀμείνονα. Ἥξω δ' οὖν ἐς Σάρδεις, πρὸ μεγάλου ποιούμενος ἐν γνώμῃ τοι γενέσθαι."

102 Γενόμενος δὲ ἐν Σκυθίᾳ καὶ νομιζόμενος παραλύειν τὰ νόμιμα τῆς πατρίδος, ὑπὸ τοῦ ἀδελφοῦ τοξευθεὶς ἀνῃ- 5 ρέθη, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι.

18. ΜΥΣΩΝ ΧΗΝΕΥΣ

106 Ἀναχάρσιδος πυθομένου εἴ τις αὐτοῦ σοφώτερος εἴη, εἶπεν ἡ Πυθία· 10

Οἰταῖόν τινά φημι Μύσωνα ἐν Χηνὶ γενέσθαι
σου μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

Πολυπραγμονήσας οὖν Ἀνάχαρσις ἦλθεν εἰς τὴν κώμην καὶ εὗρεν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προσαρμόζοντα καὶ εἶπεν αὐτῷ· "Ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου." "Καὶ 15 μάλα," εἶπεν, "ὥστε ἐπισκευάζειν."

107 Φασὶ δὲ κατὰ τὸν Τίμωνα μισανθρωπεῖν καὶ αὐτόν. Ὀφθῆναι γοῦν ἐν Λακεδαίμονι μόνον ἐπ' ἐρημίας γελῶν-
108 τα· ἄφνω δέ τινος ἐπιστάντος καὶ πυθομένου διὰ τί μηδε-
f. 48r νὸς παρόντος γελᾷ, φάναι· | "Δι' αὐτὸ τοῦτο." Ἄδοξος δὲ 20 ἦν διὰ τὸ ἀπὸ κώμης εἶναι. Ἔλεγεν οὗτος δεῖν μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους ζητεῖν· οὐ γὰρ ἕνεκα τῶν λόγων τὰ πράγματα συντελεῖσθαι, ἀλλὰ τῶν πραγμάτων τοὺς λόγους.

11–12 DL 1.30; *Anth. Pal. App.* 6.40 Cougny; *Exc. ex Diod.* 9.5

1 σκυθίαν : σκύθας BPF | γεγονότα om. BPF | ἥξω : ἥκω BPF **1–2** δ' οὖν : γοῦν BPF **4** νομιζόμενος : νομίζων BPF **8** χενεύς Φ **9** πυθομένου : πυνθανομένου BPF **11** μύσωνα ἐν Φ et BPF : μύσων' ἐνὶ *Anth.* **13** οὖν : δὴ BP : δὲ F^3 **21** δεῖν : δὴ BPF **24** ἀλλὰ : ἀλλ' ἕνεκα BPF

19. ΕΠΙΜΕΝΙΔΗΣ

Οὗτος πεμθείς ποτε ὑπὸ τοῦ πατρὸς εἰς ἀγρὸν ἐπὶ πρό- **109**
βατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας ὑπ᾽ ἄντρῳ
τινὶ κατεκοιμήθη ζ´ καὶ ν´ ἔτη. Διαναστὰς δὲ μετὰ ταῦτα
5 ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ᾽ ὀλίγον κεκοιμῆσθαι. Ὡς
δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρόν, καὶ μετεσκευ-
ασμένα πάντα καταλαβὼν καὶ παρ᾽ ἑτέρῳ τὴν κτῆσιν,
ἐπανῆκεν εἰς ἄστυ διαπορούμενος. Κἀκεῖ δὲ εἰς τὴν
ἑαυτοῦ οἰκίαν εἰσιὼν ἠρωτᾶτο τίς εἴη, ἕως τὸν νεώτερον
10 ἀδελφὸν εὑρών, τότε ἤδη γέροντα ⟨ὄντα⟩, πᾶσαν ἔμαθε
τὴν ἀλήθειαν. Γνωσθεὶς δὲ παρὰ τοῖς Ἕλλησι θεοφι-
λέστατος εἶναι ὑπελήφθη.

Ἀθηναῖοι λοιμῷ κατεχόμενοι καὶ κελευσθέντες ὑπὸ **110**
τῆς Πυθίας καθῆραι τὴν πόλιν, μετεκαλέσαντο διὰ
15 Νικίου τὸν Ἐπιμενίδην. Καὶ ὃς ἐλθὼν ἔπαυσε τὸν λοιμὸν
οὕτως. Λαβὼν πρόβατα μέλανά τε καὶ λευκὰ ἤγαγε πρὸς
τὸν Ἄρειον πάγον· κἀκεῖθεν εἴασεν ἰέναι οἷ βούλοιντο,
προστάξας τοῖς ἀκολουθοῦσιν, ἔνθα ἂν κατακλίνῃ αὐτῶν
ἕκαστον, θύειν τῷ προσήκοντι θεῷ· καὶ οὕτως ἔληξε τὸ
20 κακόν. Ἐπὶ τούτοις διδομένου αὐτῷ ἀργυρίου πρὸς Ἀθη- **111**
ναίων οὐ προσήκατο· φιλίαν δὲ καὶ συμμαχίαν ἐποιή-
σατο Κνωσίων καὶ Ἀθηναίων. Εἰσὶ δὲ οἳ μὴ κοιμηθῆναι **112**
αὐτὸν λέγουσιν, ἀλλὰ χρόνον τινὰ ἐκπατῆσαι ἀσχολού-
μενον περὶ ῥιζοτομίαν.

25 Κρῆτες δὲ αὐτῷ θύουσιν ὡς θεῷ· φασὶ γὰρ εἶναι τοῦ- **114**
τον καὶ γνωστικώτατον. Ἰδόντα γοῦν τὴν Μουνυχίαν παρ᾽

1 ὑπὸ **Φ** et B : παρὰ PF[3] **8** ἐπανῆκεν : ἧκεν B : πάλιν ἧκεν PF[3] **9** ἠρωτᾶτο : περιέτυχε τοῖς πυνθανομένοις BPF **10** ὄντα addidi ex BPF **13** λοιμῷ scripsi : λιμῷ **Φ** **18** ἀκολουθοῦσιν : ἀκολούθοις BPF | κατακλινῆ **Φ** : κατακλείνῃ B : κατακλίνοι PF[3] **24** ῥιζοτομίαν scripsi ex BPF : ῥιζοτομίας **Φ** **25** εἶναι : γεγονέναι BPF **26** γνωστικώτατον **Φ** et BPF : ⟨προ⟩γνωστικώτατον Reiske | μουνυχίαν **Φ** et BP : μουνιχίαν F[3]

Ἀθηναίοις ἀγνοεῖν φάναι αὐτοὺς ὅσων κακῶν αἴτιον ἔσται τὸ χωρίον αὐτοῖς· ἐπεὶ κἂν τοῖς ὀδοῦσι τοῦτο διαφορῆσαι· ταῦτα ἔλεγε τοσούτοις πρότερον χρόνοις. Οὗτος Λακεδαιμονίοις προεῖπε τὴν ὑπὸ Ἀρκάδων ἅλωσιν·
115 προσεποιήσατό τε πολλάκις ἀναβεβιωκέναι. Κατασκευ- 5
άζοντος αὐτοῦ τὸ Νυμφῶν ἱερὸν ἐρράγη φωνὴ ἐξ οὐρανοῦ· "Ἐπιμενίδης, μὴ Νυμφῶν, ἀλλὰ Διός." Ἐγήρασέ τε ἐν τοσαύταις ἡμέραις ὅσα ἔτη κατεκοιμήθη. Λακεδαιμό-
111 νιοι δὲ τὸ σῶμα αὐτοῦ φυλάττουσι κατά τι λόγιον. Ἐβίω δὲ ἔτη ζʹ καὶ νʹ καὶ ρʹ· ὡς δὲ Κρῆτες λέγουσιν, ἑνὸς δέον- 10
114 τα τʹ. Ἱστοροῦσι δέ τινες ὡς λάβοι παρὰ τῶν Νυμφῶν ἔδεσμά τι καὶ φυλάττοι ἐν χηλῇ βοός· προσφερόμενός τε κατ' ὀλίγον μηδεμιᾷ κενοῦσθαι ἀποκρίσει μηδὲ ὀφθῆναί ποτε ἐσθίων.

20. ΦΕΡΕΚΥΔΗΣ 15

116 Οὗτος παρὰ τὸν αἰγιαλὸν περιπατῶν καὶ ναῦν οὐριοδρομοῦσαν ἰδὼν εἶπεν ὡς †οὐ μετουπολὺ† καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ κατέδυ. Ἀνιμηθέντος δὲ ὕδατος ἐκ φρέατος πιὼν προεῖπεν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός· καὶ γέγονεν. Ἀνιὼν εἰς Ὀλυμπίαν ἐς Μεσήνην 20
τῷ ξένῳ Περιλάῳ συνεβούλευ⟨σ⟩εν ἐξοικῆσαι μετὰ τῶν οἰκείων· ὁ δὲ οὐκ ἐπείσθη· Μεσήνη δὲ ἑάλω.

118 Φθειριάσας, παραγενομένου Πυθαγόρου καὶ ἐρομένου πῶς διακέοιτο, διαβαλὼν τῆς θύρας τὸν δάκτυλον εἶπε·
f. 48v "Χροΐ δῆλα." Καὶ τοὐντεῦθεν ἡ λέξις ἐπὶ τῶν | χειρόνων 25

23–p. 215.1 cf. *Suda*, X 529; Φ 215

2 τοῦτο τὸ χωρίον BPF **7** ἐπιμενίδης **Φ** et B : ἐπιμενίδη F³P² **17** οὐ μετουπολὺ **Φ** et (B)P : μετ' οὐ πολὺ F³ : οὐ μετὰ πολὺ Diels **18** ὀφθαλμοῖς **Φ** et F : ὀφθαλμῶν BP **20** γέγονεν : γενέσθαι BPF | εἰς ὀλυμπίαν **Φ** et BP : ἐξ ὀλυμπίας ΔΠ et F³ **21** συνεβούλευσεν scripsi (συμβουλεῦσαι BPF) : συνεβούλευεν **Φ** **23** ἐρομένου : πυνθανομένου BPF

τάττεται. Οὗτος εἶπε Λακεδαιμονίοις μήτε χρυσὸν τιμᾶν **117**
μήτε ἄργυρον· προστάξαι δὲ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρα-
κλέα, ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι,
Φερεκύδη πείθεσθαι. Τοῦτόν φασι, πολέμου συνεστῶτος
5 Ἐφεσίοις καὶ Μάγνησι, βουλόμενον τοὺς Ἐφεσίους
νικῆσαι πυθέσθαι τινὸς παριόντος πόθεν εἴη· τοῦ δ' εἰ-
πόντος "Ἐξ Ἐφέσου," "Ἕλκυσόν με τοίνυν," ἔφη, "τῶν
σκελῶν καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν, καὶ ἀπάγ-
γειλόν σου τοῖς πολίταις μετὰ τὸ νικῆσαι αὐτόθι με
10 θάψαι· ἐπεσκηφέναι τε ταῦτα Φερεκύδην." Ὁ μὲν ἀπήγ- **118**
γειλεν· οἱ δὲ μετὰ μίαν ἡμέραν ἐπελθόντες κρατοῦσι τῶν
Μαγνήτων καὶ τὸν Φερεκύδην μεταλλάξαντα θάπτουσιν
αὐτόθι μεγαλοπρεπῶς. Οἱ δέ φασιν ἐλθόντα εἰς Δελφοὺς
ἀπὸ τοῦ Κωρυκίου ὄρους αὐτὸν δισκεῦσαι.

15 ## ΤΟΜΟΣ Β΄

21. ΑΝΑΞΙΜΑΝΔΡΟΣ

Οὗτος ἔφασκεν ἀρχὴν τὸ ἄπειρον, οὐ διορίζων ὕδωρ ἢ **2.1**
ἀέρα ἢ ἄλλο τι. Καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ ὅλον
ἀμετάβλητον εἶναι. Μέσην τε τὴν γῆν κεῖσθαι, κέντρου
20 τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην
ψευδοφαῆ καὶ ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι· καὶ τὸν ἥλιον
οὐκ ἐλάττω τῆς γῆς, καὶ καθαρώτατον πῦρ. Εὗρε δὲ καὶ
γνώμονα πρῶτος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακε-
δαίμονι, τροπάς τε καὶ ἰσημερίας σημαίνοντα· καὶ
25 ὡροσκοπεῖα κατεσκεύασε. Καὶ γῆς καὶ θαλάσσης πρῶτος
περίμετρον ἔγραψε, καὶ σφαῖραν ἐποίησε. Τούτου φασὶ

22–23 cf. *Suda*, 346 Γνώμων

11 ἡμέραν om. BPF **12** τὸν Φ et B : τόν τε PF[3] **13** μεγαλοπρεπῶς : καὶ μεγαλοπρεπῶς τιμῶσιν BPF **14** δισκεῦσαι : δισκῆσαι BPF **17** ἀρχὴν καὶ στοιχεῖον BPF **18** ὅλον : πᾶν BPF **22** ἐλάττονα BPF | ἐφεῦρεν *Suda* **26** ἐποίησε : κατεσκεύασε BPF

ᾄδοντος καταγελάσαι τὰ παιδάρια, τὸν δὲ μαθόντα φάναι· "Βέλτιον οὖν ἡμῖν ᾀστέον διὰ τὰ παιδάρια."

22. ΑΝΑΞΙΜΕΝΗΣ

3 Οὗτος ἀρχὴν τὸν ἀέρα εἶπε καὶ τὸ ἄπειρον. Κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὸ γῆν, ἀλλὰ περὶ γῆν. 5

23. ΑΝΑΞΑΓΟΡΑΣ

6–7 Οὗτος πλούσιος ὢν καὶ αἰτιαθεὶς ὑπὸ τῶν οἰκείων ὡς ἀμελῶν τῶν πατρῴων, "Τί οὖν," ἔφη, "οὐχ ὑμεῖς ἐπιμελεῖσθε;" Καὶ τέλος ἀπέστη καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν εἶχεν, οὐ φροντίζων τῶν πολιτικῶν. Ὅτε καὶ πρὸς 10 τὸν εἰπόντα· "Οὐδέν σοι μέλει τῆς πατρίδος;" "Εὐφήμει," ἔφη· "ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος," δείξας 8 τὸν οὐανόν. Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι, ἤτοι 10 λίθον πεπυρωμένον, καὶ μείζω τῆς Πελοποννήσου. Ὅθεν καὶ Εὐριπίδης, τούτου μαθητὴς ὤν, "χρυσέαν βῶλον" τὸν 15 ἥλιον εἶπεν.

12–13 Ἀναξαγόρας γοῦν διὰ τοῦτο ἀσεβείας ἐκρίθη καὶ καθείρχθη ἐν δεσμωτηρίῳ. Περικλῆς δὲ παρελθὼν εἶπεν, εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον· οὐδὲν δὲ εἰπόντων, "Καὶ μὴν ἐγώ," ἔφη, "τούτου μαθητής εἰμι· μὴ οὖν 20 διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε." Καὶ ἀφείθη· οὐκ ἐνεγκὼν δὲ τὴν 14 ὕβριν ἑαυτὸν ὑπεξήγαγεν. Οἱ δέ φασιν Περικλῆς παρήγαγεν αὐτὸν ἐπὶ τὸ δικαστήριον διερρυηκότα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. 25

13–14 *Suda*, 1378 Μύδρος et 1981 Ἀναξαγόρας **15** cf. Eurip. Fr. 783 N[2] = *Phaeth.* Fr. 5 Diggle

10 εἶχεν : ἦν BPF **13–14** ἤτοι λίθον πεπυρωμένον **Φ** (cf. *Suda*, A 1981 : τουτέστι πύρινον λίθον) : διάπυρον BPF et *Suda*, M 1378 **18** ἐν τῷ δεσμωτηρίῳ τεθνηξόμενος BPF **23** ἐξήγαγεν BPF

Οὗτος ἔλεγε τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους 8
καὶ φάραγγας. Ἀρχάς τε τὰς ὁμοιομερείας· καθάπερ γὰρ
ἐκ τῶν ψηγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι,
οὕτως ἐκ τῶν ὁμοιομερειῶν σμικρῶν σωμάτων τὸ πᾶν
5 συγκεκρίσθαι. Καὶ νοῦν μὲν ἀρχὴν κινήσεως. Φησὶ γοῦν· 6
"Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσ-
μησε." Παρὸ καὶ Νοῦς ἐπεκλήθη. Τῶν δὲ σωμάτων τὰ μὲν 8
βαρέα τὸν κάτω τόπον ⟨*⟩, τὰ δὲ κοῦφα τὸν ἄνω ἐπισχεῖν,
ὡς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα τὸν μέσον. Οὕτω γὰρ ἐπὶ τῆς
10 γῆς πλατείας οὔσης τὴν θάλασσαν ὑποστῆναι, διατμισ-
θέντων | ὑπὸ τοῦ ἡλίου τῶν ὑγρῶν. f. 49r

Τὰ δ' ἄστρα κατ' ἀρχὰς μὲν θολοειδῶς ἐνεχθῆναι, ὥσ- 9
τε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον,
ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. Καὶ τὸν γαλαξίαν ἀνά-
15 κλασιν εἶναι φωτὸς †ἡλιακοῦ† μὴ καταλαμπομένων τῶν
ἀστέρων. Τοὺς δὲ κομήτας σύνοδον πλανήτων φλόγας
ἀφιέντων· τούς τε διᾴττοντας οἷον σπινθῆρας ἀπὸ τοῦ
ἀέρος ἀποπάλλεσθαι. Ἀνέμους γίνεσθαι λεπτυνομένου
τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου. Βροντὰς σύγκρουσιν νεφῶν·
20 ἀστραπὰς ἔκτριψιν νεφῶν· σεισμὸν ὑπονόστησιν ἀέρος
εἰς γῆν. Ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους,
ὕστερον δὲ ἐξ ἀλλήλων· καὶ ἄρρενα μὲν ἀπὸ τῶν δεξιῶν,
θήλεα δὲ ἀπὸ τῶν ἀριστερῶν. Φασὶ δ' αὐτὸν προειπεῖν 10
τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν, ὃν
25 εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι· καὶ γέγονεν. Ἔλεγε δὲ 12

1–5 *Suda,* 310 Ὁμοιομέρεια **6–7** 59 B1 DK **12** ὥσ-τε – **14** λαβεῖν : *Suda,* 102 Ἔγκλισις **14–16** ἀστέρων : *Suda,* 18 Γαλαξίας

2 τε : δὲ BPF et *Suda* **4** ὁμοιομερειῶν **Φ** et B, *Suda* : ὁμοιομερῶν PF³ **8** post τόπον addit F³ ὡς τὴν γῆν : om. **Φ** et BP **15** ἡλιακοῦ **Φ** et BPF, *Suda* : ⟨τῶν ὑπὸ⟩ *Aldobr.* et ἡ-λίου V. d. Muehll | τῶν del. *Aldobr.* **19** σύγκρουσιν scripsi ex BPF : σύγκρισιν **Φ** **21** γενέσθαι **Φ** et F³P² : γίγνεσ-θαι BP¹ **25** καὶ γέγονεν om. BPF

καὶ ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ περιδινήσει συνεστάναι καὶ ἀνεθέντα κατενεχθήσεσθαι.

10 Ἐρωτηθεὶς εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, εἶπεν· "Ἐάν γε ὁ χρόνος μὴ ὑπολίπῃ." Ἐρωτηθεὶς εἰς τί γέγονεν, "Εἰς θεωρίαν," ἔφη, "ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ." Πρὸς τὸν εἰπόντα· "Ἐστερήθης Ἀθηναίων" "Οὐ 5
11 μὲν οὖν," ἔφη, "ἀλλ' ἐκεῖνοι ἐμοῦ." Πρὸς δυσφοροῦντα ὅτι ἐπὶ ξένης τελευτᾷ, "Πανταχόθεν," ἔφη, "ὁμοία ἡ εἰς
10 ᾅδην κατάβασις." Εἰς Ὀλυμπίαν ἀνελθὼν ἐν δερματίνῳ ἐκάθισεν, ὡς μέλλοντος ὕειν· καὶ γέγονεν. Ἰδὼν τὸν Μαυσώλου τάφον ἔφη· "Τάφος πολυτελὴς λελιθωμένης ἐστὶν 10
13 οὐσίας εἴδωλον." Τῆς καταδίκης καὶ τῆς τῶν παίδων τελευτῆς ἅμα προσαγγελθέντων αὐτῷ, περὶ μὲν τῆς καταδίκης εἶπεν ὅτι ἄρα "Κἀκείνων κἀμοῦ θάνατον πάλαι ἡ φύσις κατεψηφίσατο," περὶ δὲ τῶν παίδων, ὅτι "Ἤιδειν 15
14 αὐτοὺς θνητοὺς γεννήσας." Ἐν Λαμψάκῳ τελευτῶν, τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων εἰπεῖν τί βούλεται αὐτῷ γενέσθαι, "Τοὺς παῖδας," εἶπεν, "ἐν ᾧ ⟨ἂν⟩ ἀποθάνῃ μηνὶ κατὰ ἔτος παίζειν συγχωρεῖν." Καὶ ἐφύλαττον τοῦτο.

24. ΣΩΚΡΑΤΗΣ 20

21 Οὗτος ἐν ταῖς ζητήσεσι βιαιότερον πολλάκις διαλεγόμενος, καὶ κονδυλιζόμενος παρὰ τοῦτο καὶ παρατιλλόμενος καὶ τὸ πλέον καταφρονούμενος, πάντα ἔφερεν ἀνεξικάκως. Ὅθεν καὶ λακτισθεὶς, ἐπειδὴ ἠνέσχετο, θαυμάσαντός τινος εἶπεν· "Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν

4 ὑπολίπῃ : ὑπολείπῃ B : ἐπιλίποι P[1] : ἐπιλήποι F[3] D : ἐπιλίπῃ Δ Π et V **5** γέγονεν : γεγέννηται BPF **8** ὁμοία ἐστὶν BPF **9** ἅδην : ᾅδου Δ Π et BPF | ἀνελθὼν : ἀνελθόντα B : ἐλθόντα PF[3] **10** καὶ γέγονεν : καὶ γενέσθαι BPF **13** προσαγγελθέντων Φ et F[3] : προσαγγελέντων BP **14** θάνατον om. BPF **17** εἰπεῖν om. BPF **18** ἂν addidi ex BPF **22** παρὰ τοῦτο om. BPF **23** καταφρονούμενος : γελᾶσθαι καταφρονούμενον BPF | πάντα ταῦτα BPF

αὐτῷ ἐλάγχανον;" Εὐριπίδου δόντος αὐτῷ τὸ Ἡρακλεί- 22
του σύγγραμμα καὶ ἐρομένου· "Τί σοι δοκεῖ;" εἶπεν· "Ἃ
μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν
Δηλίου γέ τινος δεῖται κολυμβητοῦ." Στρατεύσας εἰς 23
5 Ποτίδαιαν νυκτὸς ὅλης ἔμεινεν ἐφ' ἑνὸς σχήματος καὶ
ἀριστεύσας τῶν ἀριστείων παρεχώρησεν Ἀλκιβιάδῃ.
Ἀλκιβιάδου διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα οἰκοδο- 24
μήσηται οἰκίαν, εἶπε· "Καὶ εἰ ὑποδημάτων ἔδει καὶ βύρ-
σαν μοι ἐδίδους, ἵνα ὑποδήματα ποιησαίμην, καταγέλασ-
10 τος ἂν ἦν λαβών." Πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν 25
πιπρασκομένων ἔλεγε· "Πόσων ἐγὼ χρείαν οὐκ ἔχω." Καὶ
συνεχῶς ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα·

Τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
ἐς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ ἐς τὸν βίον.

15 Εἰπόντος αὐτῷ τινος ὡς εἴη Ἀντισθένης μητρὸς Θρᾴτ- 31
της, "Σὺ δ' ᾤου," ἔφη, "οὕτως ἂν γενναῖον ἐκ δυοῖν Ἀθη-
ναίων γενέσθαι;" Ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους 34
ζῆν, ἵνα ἐσθίοιεν, | ἑαυτὸν δὲ ἐσθίειν, ἵνα ζῴη. Αἰσχίνου f. 49v
εἰπόντος "Πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ
20 σοι ἐμαυτόν," "Ἆρ' οὖν," εἶπεν, "οὐκ αἰσθάνῃ τὰ μέγιστά
μοι διδούς;" Ὄναρ δόξας τινὰ αὐτῷ λέγειν· 35

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο,

πρὸς Αἰσχίνην ἔφη· "Εἰς τρίτην ἀποθανοῦμαι·" καὶ γέγο-

1–4 *Suda*, 400 Δηλίου κολυμβητοῦ **13–14** *PCG*, Philemonis Fr. 105.4–5. Cf. Stob. 4.15ᵃ.15; Clem. *Paed.* 2.108.4 **22** *Iliad.* 9. 363

2 σοι om. BPF et *Suda* **4** post κολυμβητοῦ pergit *Suda* εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ **6** τῶν ἀριστείων : τὰ ἀριστία BP[1] : τοῦ ἀριστείου FP[2] **8** καὶ [2]Φ : om. BPF **9** ante ὑποδήματα addunt ἑαυτῶ BPF | ποιησαίμην Φ et BP : ποιήσω F | καὶ καταγέλαστος BP | ἦν ἂν Φ **14** χρήσιμ' Φ, BPF et Clem. : εὔθετ' Stob. **15** ἀντισθένης om. Φ[1], in mg add. Φ[2] **16** δυοῖν Φ et F[1] : δυεῖν BPF[2] **23–p. 220.1** καὶ γέγονεν οὕτως om. BPF

νεν οὕτως. Μέλλοντι αὐτῷ τὸ κώνειον πίεσθαι Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλόν, ἵν' ἐν ἐκείνῳ ἀποθάνῃ. Καὶ ὅς· "Τί δέ," ἔφη, "τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν δὲ οὐχί;" Πρὸς τὸν εἰπόντα· "Κακῶς ὁ δεῖνά σε λέγει," "Καλῶς γάρ," ἔφη, "λέγειν οὐκ ἔμαθε." 5

36 Πρὸς Ξανθίππην πρότερον μὲν λοιδοροῦσαν, ὕστερον δὲ καὶ περιχέασαν αὐτῷ, "Οὐκ ἔλεγον," εἶπεν, "ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει;" Πρὸς Ἀλκιβιάδην εἰπόντα ⟨ὡς⟩ οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, "Ἀλλ' ἔγωγε," ἔφη, "συνείθισμαι. Καὶ σὺ δέ," εἶπε, "χηνῶν βοών- 10
37 των ἀνέχῃ." Τοῦ δ' εἰπόντος· "Ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς τίκτουσι," "Κἀμοί," ἔφη, "Ξανθίππη παιδία γεννᾷ." Ποτὲ αὐτῆς θοἰμάτιον αὐτοῦ περιελομένης, ὡς συνεβούλευον οἱ γνώριμοι χερσὶν ἀμύνεσθαι, "Νὴ Δί'," εἶπεν, "ἵν' ἡμῶν πυκτευόντων ἕκαστος ὑμῶν λέγῃ· Εὖγε Σώκρατες, εὖγε 15 Ξανθίππη'." Ἔλεγεν ὅτι "Καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις συνόντες καὶ τούτων κρατήσαντες ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγὼ Ξανθίππῃ χρώμενος τραχείᾳ οὔσῃ τοῖς ἄλλοις ἀνθρώποις καλῶς συμπεριενεχθήσομαι." 20

18 Ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ· ὅθεν Μνησίλοχος οὕτω περὶ αὐτῶν φησι·

> Φρύγες ἐ⟨σ⟩τὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδη,
> ᾧ καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησι.

9–10 συνείθισμαι : *Suda,* 1070 Τροχιλέας **21–24** cf. *PCG,* Teleclidis Fr. 41; *Vit. Eurip.* 2 (*Schol. Eurip.* I, p. 1.10 Schwartz):

> Μνησίλοχός ἐστ' ἐκεῖνος ⟨ὃς⟩ φρύγει τι δρᾶμα καινὸν
> Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.

3 δὲ F : δ' **Φ** et BP **9** ὡς addidi ex BPF et *Suda* **10** post συνείθισμαι addunt BPF et *Suda* καθαπερεὶ καὶ τροχιλέας ἀκούων συνεχές | δὲ : μὲν BPF **13** post αὐτῆς addunt BPF ἐν ἀγορᾷ καὶ | αὐτοῦ om. BPF | ὡς om. BPF **19** καλῶς om. BPF **22** περὶ αὐτῶν om. BPF **23** ἐστὶ scripsi ex BPF : ἔτι **Φ** | εὐριπίδη **Φ**, BP^1 : εὐριπίδου FP^4 et *Vita*

Καὶ πάλιν· "Εὐριπίδης σωκρατογόμφοις." Καὶ Καλλίας Πεδήταις·

— Ἤδη σὺ σεμνὴ καὶ φρονεῖς οὕτω μέγα.
— Ἔξεστι γάρ μοι· Σωκράτης γὰρ αἴτιος.

5 Τούτου καὶ τὰς ἐν ἀκροπόλει Χάριτας εἶναί φασι, λιθοξόου ὄντος. Τίμων δὲ ἐν Σίλλοις οὕτω περὶ αὐτοῦ φησίν· **19**

Ἐκ δ' ἄρα τῶν ἀπέκλινε λιθοξόος, ἐννομολέσχης,
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγους ἀποφήνας,
μυκτὴρ ῥητορόμυκτος, ὑπατ⟨τ⟩ικὸς εἰρωνευτής.

10 Ἦν γὰρ καὶ ἐν ῥητορικῇ δεινός. Φασὶ δὲ αὐτὸν καὶ χρηματίσασθαι· τιθέντα γοῦν τὸ βαλλόμενον κέρμα ἀθροίζειν· εἶτ' ἀναλώσαντα πάλιν τιθέναι. Κρίτωνα δὲ αὐτὸν ἀναστῆσαι ἀπὸ τοῦ ἐργαστηρίου καὶ παιδεῦσαι τῆς κατὰ ψυχὴν χάριτος ἐρασθέντα. Γνόντα δὲ τὴν φυσικὴν θεω- **20** **21**
15 ρίαν καὶ μηδὲν εἶναι πρὸς ἡμᾶς εἰπόντα, τὰ ἠθικὰ φιλοσοφεῖν ἐπί τε τῶν ἐργαστηρίων καὶ ἐν τῇ ἀγορᾷ· κἀκεῖνα φάσκειν ζητεῖν·

ὅτ⟨τ⟩ι τοι ἐν μεγάροις ἀγαθόν τε κακόν τε τέτυκται.

Ἐστρατεύσατο εἰς Ἀμφίπολιν· καὶ Ξενοφῶντα ἀφ' ἵπ- **22**
20 που πεσόντα διέσωσεν ὑπολαβών. Ὅτε καὶ πάντων φευ- **23**

1 *PCG*, Teleclidis Fr. 42 **3–4** *PCG*, Calliae Fr. 15 **5–6** cf. *Suda*, 829 Σωκράτης **7–9** *PPF*, Timonis B 25 Diels; *Suppl. Hell.* 799. Cf. Clem. *Strom.* 1.63.3; S.E. *Adv. math.* 7.8 **18** *Od.* 4.392

1 εὐριπίδης **Φ** et BP : εὐριπίδας F | σωκρατογόμφους BPF **3** ἤδη **Φ** et BPF : Τί δὴ Runkel (*Cratin.* p. 76) **5–6** λιθοξόου ὄντος **Φ** (cf. v. 7 et *Suda*) : ἐργάσασθαι λίθους BPF **6** περὶ αὐτοῦ om. BPF **8** ἀποφήνας **Φ** et P[1] : ἀποφήσας BPF[5] **9** ῥητορόμικτος **Φ** et PF : ῥητορομύκτους B | ὑπατικὸς **Φ** et P[1] **10** ῥητορικῇ : τοῖς ῥητορικοῖς BPF **15** καὶ et εἰπόντα om. BPF **16** ἐν τῇ ἀγορᾷ scripsi ex BPF : ἐν τοῖς ἀγροῖς **Φ** | κἀκεῖνα scripsi : ἐκεῖνα **Φ** **18** ὅ τι **Φ** | ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται BPF et *Od.*

γόντων Ἀθηναίων αὐτὸς ἠρέμα ἀνεχώρει, ἐπιστρεφόμενος ἡσυχῇ καὶ τηρῶν ἀμύνασθαι εἴ τίς οἱ ἐπέλθοι.

25 f. 50ʳ Οὕτω δὲ | ἦν εὔτακτος τὴν δίαιταν, ὥστε πολλάκις **26** Ἀθήνησι λοιμῶν γενομένων μόνος οὐκ ἐνόσησε. Βουληθέντες Ἀθηναῖοι διὰ τὸ λειπανδρεῖν συναυξῆσαι τὸ πλῆθος, ἐψηφίσαντο γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας· ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην, ἀγαγόμενον ἄπροικον Μυρτὼ τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα, ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον, καὶ Ξανθίππην, ἐξ ἧς Λαμπροκλέα.

27 Ἦν δ' ἱκανὸς καὶ τῶν σκωπτόντων ὑπερορᾶν. Καὶ ἐσεμνύνετο ἐπὶ τῇ εὐτελείᾳ, μισθόν τε οὐδένα εἰσεπράξατο. Καὶ ἔλεγεν ἥδιστα ἐσθίων ἥκιστα ὄψου προσδεῖσθαι· καὶ ἥδιστα πίνων ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν· καὶ ἐλαχίστων δεόμενος ἔγγιστα εἶναι θεῶν. Ἀριστοφάνης δὲ κωμῳδεῖ αὐτόν, ταλαιπωρεῖσθαι λέγων καὶ οἴνου ἀπέ- **28** χεσθαι. Ἀμειψίας δὲ ἐν τρίβωνι παράγων αὐτόν φησιν οὕτω·

— Σώκρατες, ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν
δὲ ματαιόταθ', ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς. Καρτερικὸς ⟨*⟩ εἶ. Πόθεν
ἄν σοι χλαῖνα γένοιτο;
— Τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ'
ἐπήρειαν γεγένηται.
— Οὗτος μέντοι πεινῶν οὕτως οὐπώποτ' ἔτλη
κολακεῦσαι.

4–7 Σωκράτην : *Suda*, Λ 377; Σ 829 **19–26** *PCG*, Amipsiae Fr. 9

1 παρεπιστρεφόμενος BPF **3** δὲ : τε BPF **7** σωκράτην **Φ**, *Suda* et F : σωκράτη BP **11** τῶν σκωπτόντων αὐτὸν BPF **17** τρίβωνι scripsi : τρίβωσι **Φ** **21** ante εἶ addunt τ' BPF : γ' Cobet | εἴ ποθεν **Φ** **23–24** κατ' ἐπήρειαν τῶν σκυτοτόμων F **25** οὕτως ... οὗτος **Φ** : οὗτος ... οὕτως BPF

Τοῦτο δ' αὐτοῦ τὸ ὑπεροπτικὸν καὶ μεγαλόφρον καὶ Ἀριστοφάνης ἐμφαίνει λέγει·

⟨ὅτι⟩ βρενθύῃ τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παραβάλλεις,
5 κἀνυποδητεῖς καὶ πόλλ' ἀνέχῃ, καὶ ἐν ἡμῖν σεμνοπροσωπεῖς.

Καίτοι ἐνίοτε πρὸς τοὺς καιροὺς ἁρμοττόμενος καὶ λαμπρὰ ἠμπίσχετο. Δεινὸς δὲ ἦν καὶ προτρέψαι καὶ ἀποτρέψαι, τοὺς λόγους ἀπὸ τῶν πραγμάτων εὑρίσκων. 29

10 Χαρμίδου οἰκέτας αὐτῷ διδόντος, ἵν' ἀπ' αὐτῶν προσοδεύοιτο, οὐχ εἵλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδου. Καὶ ἐπῄνει σχολὴν ὡς κάλλιστον κτημάτων· ἔλεγε δὲ ἓν μόνον ⟨ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον⟩ κακόν, τὴν ἀμαθίαν. Πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν 31
15 σεμνὸν ἔχειν, πᾶν δὲ τοὐναντίον κακόν. Λυρίζειν ἐμάνθανεν ὅτε καιρὸς ⟨*⟩, μηδὲν λέγων ἄτοπον εἶναι ἅ τις μὴ οἶδε μανθάνειν. Ἔτι τε ὠρχεῖτο συνεχῶς, τῇ τοῦ σώματος εὐεξίᾳ λυσιτελεῖν τοῦτο ἡγούμενος. Ἔλεγε τὸ εὖ μικρὸν μὲν ⟨μὴ⟩ εἶναι, παρὰ μικρὸν δέ· εἰδέναι μὲν μηδέν, αὐτὸ 32
20 δὲ τοῦτο εἰδέναι. Τοὺς τὰ †ὥρια† πολλοῦ ὠνουμένους ἀπογινώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. Ἐρωτηθείς, τίς ἀρετὴ νέου, εἶπε· "Τὸ μηδὲν ἄγαν."

Εὐριπίδου εἰπόντος ἐν †τοῖς† περὶ ἀρετῆς· 33

3–6 Aristoph. *Nubes* 362–363 **15–16** *Suda*, 829 Σωκράτης **18–19** cf. 7.26

3 ὅτι addidi ex BPF et Aristoph. **5** κἀνυποδητεῖς καὶ **Φ** et BPF : κἀνυπόδητος κακὰ Aristoph. **8** δεινὸς : ἱκανὸς (B)PF **13** ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον supplevi ex BPF (excidit ob isoteleuton) **16** ὅτε καιρὸς **Φ** et BPF : γέρων ἤδη ὤν *Suda* : ὅτε καιρὸς ⟨μηκέτ' ἦν⟩ Bergk et Diels **17** ἐκμανθάνειν BPF | συνεχὲς BPF **19** μὴ addidi ex BPF **19–20** αὐτὸ δὲ τοῦτο : πλὴν αὐτὸ τοῦτο BPF **20** ὥρια **Φ** et BPF : ⟨ἀ⟩ώρια Menag. | ὠνουμένους : ἐωνημένους BPF **23** ἐν τοῖς **Φ** : ἐν τῇ αὐτῇ BP : ἐν τῇ αὐτοῦ F : ἐν τῇ Αὔγῃ Stephanus

Κράτιστον εἰκῇ ταῦτ᾽ ἐᾶν ἀφειμένα,

ἀναστὰς ἐξῆλθε, γελοῖον εἶναι φήσας ἀνδράποδον μὲν μὴ εὑρισκόμενον ἀξιοῦν ζητεῖν, ἀρετὴν δ᾽ οὕτως ἐᾶν ἀπολωλέναι. Ἐρωτηθεὶς πότερον γῆμαι ἢ μή, ἔφη· "Ὃ ἂν αὐτῶν ποιήσῃς, μεταγνώσῃ." Ἔλεγε τε θαυμάζειν τῶν τὰς λιθί- 5
f. 50ᵛ νους εἰκόνας κατασκευαζομένων, οἳ τοῦ μὲν λίθου | προνοοῦνται, ὡς ἂν ὁμοιότατος αὐτοῖς γένοιτο, αὑτῶν δ᾽ ἀμελοῦσιν, ὡς μὴ ὅμοιοι τῷ λίθῳ φαίνοιντο. Ἠξίου τοὺς νέους συνεχῶς κατοπτρίζεσθαι, ἵν᾽ εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίγνοιντο· εἰ δὲ αἰσχροί, παιδείᾳ τὴν δυσείδειαν 10
34 ἐπικαλύπτοιεν. Πρὸς τὸ οὐκ ἀξιόλογον πλῆθος ἔφασκεν ὅμοιον εἴ τις τετράδραχμον ⟨ἓν⟩ ἀποδοκιμάζων τὸν ἐκ τῶν
35 τοιούτων σωρὸν ὡς δόκιμον ἀποδέχοιτο. Τῆς γυναικὸς εἰπούσης· "Ἀδίκως ἀποθνῄσκεις," Σὺ δέ γε," ἔφη, "δικαίως
36 ἐβούλου;" Πρὸς τὸν εἰπόντα· "Οὐ σοὶ λοιδορεῖται ὁ δεῖ- 15 να;" "Οὐκ ἐμοί," ἔφη· "οὐδὲν γὰρ ὧν λέγει πρόσεστί μοι." Ἔλεγε τοῖς κωμικοῖς ἐπίτηδες δεῖν ἑαυτὸν διδόναι· "Εἰ μὲν γάρ τι τῶν προσόντων λέξειαν, διορθώσονται· εἰ δ᾽ οὔ, οὐδὲν πρὸς ἡμᾶς."

41 Κρινομένου τούτου φασὶ Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ 20 βῆμα καὶ εἰπεῖν· "Νεώτατον ὄντα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβάντων·" τοὺς δὲ δικαστὰς βοῆσαι· †"Καταβάντων"† (τουτέστι κατάβηθι). Ὅτ᾽ οὖν κατεδικάσθη, τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτόν,
42 "Ἕνεκα μέν," εἶπε, "τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι 25

1 Eurip. *Electra* 379; cf. Longini *De sublim.* 44.12 et Nauck[2], p. 437 **25** Ἕνεκα – **p. 225.1** *Suda*, 628 Τιμῶμαι et Plat. *Apol.* 36 e 2–3

3 οὕτω **Φ** et BP **6** προνοοῦνται : προνοεῖν BPF **7** ὡς ἂν ὁμοιότατος αὐτοῖς γένοιτο : ὡς ὁμοιότατος ἔσται BPF **9** συνεχὲς BPF **12** ἓν addidi ex BPF **14** δέ γε **Φ** : δὲ BP : om. F **21** νεώτατος ὢν BPF **22** δὲ **Φ** et F : om. BP | ἐκβοῆσαι BPF **23** καταβάντων **Φ** et BPF : Κατάβα Bergk ex Aristoph. *Vesp.* 979

τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως." Καὶ οἳ θάνατον αὐτοῦ κατέγνωσαν. Ἐποίησε καὶ παιᾶνα, οὗ ἡ ἀρχή·

Δήλι' Ἄπολλον χαῖρε, καὶ Ἄρτεμι, παῖδε κλεεννώ.

Ἐποίησε καὶ μῦθον Αἰσώπειον οὐ πάνυ ἐπιτετευγμένως,
5 οὗ ἡ ἀρχή·

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστω νέμουσι
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

Ὁ μὲν οὖν ἐξ ἀνθρώπων ἦν· Ἀθηναῖοι δ' εὐθὺς μετέγνωσαν, ὥστε κλεῖσαι καὶ παλαίστρας καὶ γυμνάσια. Καὶ **43**
10 τοὺς μὲν ἐφυγάδευσαν, Μελίτου δὲ θάνατον κατέγνωσαν. Σωκράτην δὲ χαλκῆς εἰκόνος ἐτιμήσαντο. Ἄνυτόν τε ἐπιδημήσαντα αὐθημερὸν ἐξεκήρυξαν Ἡρακλεῶται. Οὐ μόνον δὲ ἐπὶ Σωκράτους τοῦτο πεπόνθασιν Ἀθηναῖοι, ἀλλὰ καὶ Ὅμηρον ὡς μαινόμενον ν´ δραχμαῖς ἐτιμήσαν-
15 το, καὶ Τυρταῖον παρακόπτειν ἔλεγον, καὶ Ἀστυδάμαντα ὡς πρῶτον τῶν περὶ Αἰσχύλον ἐτίμησαν χαλκῇ εἰκόνι. Ὀνειδίζει δὲ αὐτοῖς καὶ Εὐριπίδης ἐν Παλαμήδει· **44** "Ἐκάνετε," φησίν, "ἐκάνετε τὰν πάνσοφον,

τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα Μουσᾶν."

20 Ἔστι δὲ εἰς αὐτὸν ἐπίγραμμα· **46**

Πῖνε νῦν ἐν Διὸς ὤν, ὦ Σώκρατες· ἦ σε γὰρ ὄντως
καὶ σοφὸν εἶπε θεός, καὶ †θεῶν† ἡ σοφίη.

21–p. 226.2 *A. Pal.* 7.96

3 κλεεννώ Φ et B[2] : κλεεινώ B[1] : κλεινώ P[1] : λατοῦς F **10** μελίτου Φ et PF : μελήτου B **11** σωκράτην Φ et F : σωκράτη B(P) **14** ἐτιμήσαντο Φ et BPF : ἐτίμησαν Cobet **16** ὡς om. BPF **17** αὐτοῖς Φ et BP : αὐτοὺς F **19** οὐδὲν : οὐδέν' B[2] in mg | ἀλγύνουσαν Φ et F : ἀλγύνασαν BP | μουσᾶν : μοῦσαν BPF **21** νῦν Φ et BPF : νυν *Anth.* **22** θεῶν Φ et BP[1] : θεὸν F[2]P[3] et *Anth.* : θεὸς F[1]P[3] ss.

Πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς μὲν ἐδέξω·
αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

Τούτῳ ἐφιλονείκει Ἀντίλοχος Λήμνιος καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ †Κύδων† καὶ Ὀνάτας· καὶ †Σάγαρις† Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ 5 Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, ⟨καὶ⟩ Πινδάρῳ Ἀμφιμένης Κῷος.

34 Καλέσας ἐπὶ δεῖπνον πλουσίους, τῆς Ξανθίππης αἰδουμένης ἔφη· "Θάρρει· εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχ-
45 θεῖεν ἄν· εἰ δὲ φαῦλοι, οὐδὲν ἡμῖν αὐτῶν μελήσει." Φησὶν 10
f. 51ʳ | Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας τά τε ἄλλα καταγνῶναι τοῦ Σωκράτους καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὴν τελευτὴν αὐτῷ προειπεῖν.

25. ΞΕΝΟΦΩΝ

48 Ξενοφῶντί φασι τῷ Γρύλλου ὑπαντήσαντα Σωκράτη 15 διατεῖναι τὴν βακτηρίαν καὶ κωλύειν παριέναι, πυνθανόμενον †οἷ† πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον· ἀποκριναμένου δὲ πάλιν πυθέσθαι· "Ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι;" Ἀπορήσαντος δέ· ""Επου τοίνυν," φάναι, "καὶ μάνθανε." Καὶ τοὐντεῦθεν ἀκροατὴς 20 Σωκράτους ἦν, ἐς ὑπερβολὴν εὐειδέστατος ὤν. Ἠράσθη
49 δὲ οὗτος Κλεινίου· πρὸς ὃν ταῦτά φησι· "Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἆλλα πάντα ἐν ἀνθρώποις

1–2 *Suda,* 2034 Κόνιον **22–p. 227.4** Xenoph. *Sympos.* 4.12

1 κώνειον **Φ** et BPF : κόνιον μὲν *Anth.* et *Suda* | ἁπλῶς scripsi ex BPF, *Anth.* et *Suda* : αὐτὸς **Φ** | μὲν **Φ** et BP : om. F : σὺ *Anth.* et *Suda* **2** ἐξέπιον : ἐξέπιαν BP[1]F **4** κύδων **Φ** et BPF : Κύλων Menag. **5** σάγαρις **Φ** et BPF : Σύαγρος Gyraldus **6** καὶ[2] addidi **13** προειπεῖν om. BPF **15** ὑπαντήσαντα : ἀπαντήσαντα BPF **17** οἷ **Φ** et B[1]P : ποῖ B[2] in mg : ποῦ ed. Pearson. **18** ἀποκριναμένου **Φ** et D : ἀποκρινομένου BPF

καλά· τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων δεξαίμην ἂν ἢ †᾽κείνου† ἑνὸς ὄντος γενέσθαι. Ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην ἔχω χάριν, ὅτι μοι Κλεινίαν ἀναφαίνουσιν."

5 ## 26. ΑΙΣΧΙΝΗΣ

Αἰσχίνης ὁ Χαρίνου μαθητὴς ὢν Σωκράτους οὐδέποτε ἀπέστη αὐτοῦ. Διὸ Σωκράτης ἔλεγε· "Μόνος ἡμᾶς οἶδε τιμᾶν ὁ τοῦ ἀλλαντοποιοῦ." Τοῦτόν φασιν εἰπεῖν Σωκράτει, ἐπεὶ ἐπιέζετο ὑπὸ πενίας, ὡς "Παρ᾽ ἑαυτοῦ δανείζο-10 μαι τῶν σιτίων ὑφαιρῶν." **60** **62**

27. ΑΡΙΣΤΙΠΠΟΣ

Ἀρίστιππος ὁ Κυρηναῖος πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο καὶ ἀπέστελλε χρήματα τῷ διδασκάλῳ. Καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι παλινδρόμους 15 ἔλαβεν, εἰπόντος Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Ἦν δὲ Ἀρίστιππος ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμονίως ὑποκρίνασθαι. Διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων εὐδοκίμει μᾶλλον, ἀεὶ τὸ προσπεσὸν 20 εὖ διατιθέμενος. Διονυσίου γὰρ προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος, "Εἶτε οἱ μὲν ἁλιεῖς," εἶπεν, "ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν | 65 **66** **67**

12–13 *Suda,* 3908 Ἀρίστιππος **16** Ἦν δὲ – **17** χρόνῳ : *Suda,* ibidem

1 ἁπάντων **Φ** et Xenoph. : πάντων BPF **2** ᾽κείνου **Φ** et BP[1]F[2] : κλεινίουF[1]P[4] : ἐκείνου ΔΠ : κείνου vel ἐκείνου Xen. codd. | γενέσθαι : εἶναι Xenoph. **4** ἔχω χάριν : χάριν οἶδα BPF et Xenoph. **7** διὸ **Φ** : διὸ καὶ P : ὅθεν B F | μόνους **Φ** **8** τοῦτόν φασιν εἰπεῖν σωκράτει : φασὶ δ᾽ αὐτῷ λέγειν σωκράτη(ν) BPF **9** δανείζεσθαι et **10** ὑφαιροῦντα BPF **13** ἐπράξατο *Suda* | ἀπέστελλε **Φ** et BP : ἀπέστειλε F **20** γὰρ : δὲ BPF

f. 51ᵛ θηράσωσιν, ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράματι ῥανθῆναι, ἵνα βλέννον λάβω;"

66 Τοῦτόν φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν †ἐωνηθῆναι·† αἰτιασαμένου δέ τινος, "Σὺ δ' οὐκ ἄν," εἶπεν, "ὀβολοῦ τοῦτον ἐπρίω;" ἐπινεύσαντος δέ, 5 "Τοσοῦτον," ἔφη, "ἐμοὶ δύνανται αἱ πεντήκοντα δραχ-
67 μαί." Διονυσίου τριῶν ἑταιρῶν οὐσῶν μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν εἰπών· "Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι·" ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι 10 καὶ καταφρονῆσαι πολύς. Διό ποτε Στράτωνα (οἱ δὲ Πλάτωνα) φασὶ πρὸς αὐτὸν εἰπεῖν· "Σοὶ μόνῳ δέδοται καὶ
68 χλαμύδα φορεῖν καὶ ῥάκος." Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψεν εἰπών· "Εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες." Ὁ 15 δέ· "Καὶ σύ," εἶπεν, "εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες."

Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν." Ὀνειδιζόμενος ἐπὶ τῷ πολυτελῶς ζῆν, "Εἰ τοῦτ'," ἔφη, "φαῦλον ἦν, οὐκ 20
69 ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο." Ἐρωτηθεὶς ὑπὸ Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη· "Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν." Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι 25 τῶν ἀπαιδεύτων, ἔφη· "Ὥιπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων." Εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν, τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, "Οὐ τὸ εἰσελθεῖν," ἔφη, "χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν."

70 Αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος· "Λῦσον," "Τί, ὦ μάταιε," ἔφη "λῦσαι θέλεις ὃ καὶ δεδεμένον 30 ἡμῖν πράγματα παρέχει;" Ἄμεινον ἔφη ἐπαιτεῖν ἢ ἀπαί-
f. 52ʳ δευτον | εἶναι· οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ

4 ἐωνηθῆναι Φ et BPF : ὠνηθῆναι Cobet 12 φασὶ om. BPF 20 ἦν : ἐστιν BPF

δέονται. Λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος· "Τί φεύγεις;" "Ὅτι," φησί, "τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ." Εἰπόντος τινὸς ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ
5 ταῖς τῶν πλουσίων θύραις, "Καὶ γὰρ οἱ ἰατροί," φησί, "παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ παρὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν."

Εἰς Κόρινθον αὐτῷ πλέοντι καὶ χειμαζομένῳ συνέβη **71** ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα· "Ἡμεῖς μὲν οἱ ἰδιῶ-
10 ται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε," "Οὐ γὰρ περὶ ὁμοίας," ἔφη, "ψυχῆς ἀγωνιῶμεν ἕκαστοι." Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθείᾳ ἔφη· "Ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες [οὐχ] ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλά, ἀλλ' οἱ χρήσιμα
15 ἀναγινώσκοντές εἰσι σπουδαῖοι." Πρὸς τὸν λογογράφον τὸν ὑπὲρ αὐτοῦ δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτόν· "Τί σε ὤνησε Σωκράτης;" ἔφη· "Τὸ τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι." Ἐρω- **72** τηθεὶς ὑπό τινος τί ἀμείνων ἔσται ὁ υἱὸς αὐτοῦ παιδευ-
20 θείς, "Εἰ μηδὲν ἄλλο," εἶπεν, "ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ἐπὶ λίθου." Συνιστάντος τινὸς αὐτῷ υἱὸν ᾔτησε φ´ δραχμάς· τοῦ δ' εἰπόντος· "Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι," "Πρίω," ἔφη, "καὶ ἕξεις δύο." Ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα,
25 "Καὶ γὰρ ὅταν," ἔφη, "δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι."

Ἀναγκαζόμενος ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλο- **73** σοφίας, "Γελοῖον," ἔφη, "εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις." Ἐπὶ τούτῳ ἀγανακτήσας Διονύσιος ἔσχατον αὐτὸν κατέκλινεν· ὁ δὲ

13 post ἐσθίοντες addunt BPF καὶ γυμναζόμενοι | οὐχ delevi, om Π et BPF **14** οὐχ **Φ** et BP : οὐδὲ F **17** τὸ : τοῦτο BPF **20** καὶ εἰ BPF **21** καθεδεῖται : καθεδήσεται BPF **25** ὅταν ἔφη **Φ** et BP : ἔφη ὅταν F **29** ἀγανακτήσας **Φ** : δὴ ἀγανακτήσαντα P : διαγανακτήσαντα BF

"Ἐνδοξότερον," ἔφη, "τὸν τόπον ἠθέλησας ποιῆσαι." Αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, "Οὐκ αἰσχύνῃ," εἶπεν,
f. 52ᵛ "ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος;" | Ἐρωτηθεὶς τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη· "Εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ." Αὐχοῦντός τινος ἐπὶ 5 τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, "Τοῦτο καὶ ἡμίο-
74 νος," φησί. Πρὸς τὸν αἰτιώμενον ὅτι ἑταίρᾳ συνοικεῖ, "Ἆρά γε," εἶπε, "μή τι διενέγκῃ οἰκίαν λαβεῖν ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ ἐν ᾗ μηδείς;" Εἰπόντος δὲ οὔ, "Τί δέ, πλεῦσαι ἐν νηῒ ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ ἐν ᾗ μηδείς;" 10 "Οὐδαμῶς." "Οὐδ' ἄρα γυναικί," ἔφη, "συνεῖναι ᾗ πολλοὶ
75 κέχρηνται, ἢ ᾗ μηδείς." Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψώνια, "Σὺ δ' οὐκ ἄν," ἔφη, "τριωβόλου ταῦτα ἐπρίω;" Ὁμολογήσαντος δέ, "Οὐκέτι τοίνυν φιλήδονος," εἶπεν, "ἐγώ, ἀλλὰ σὺ φιλάργυρος." Σιμοῦ ποτε τοῦ Διονυ- 15 σίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὀλέθριος), ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει αὐτοῦ· τοῦ δ' ἀγανακτήσαντος, "Οὐκ εἶχον," εἶπε, "τόπον ἐπιτηδειότερον."

76 Πρὸς Πλάτωνα ὀνειδίσαντα τὴν πολυτέλειαν "Ἆρα," 20 ἔφη, "φαίνεταί σοι Διονύσιος ἀγαθός;" Τοῦ δ' ὁμολογήσαντος, "Καὶ μήν," ἔφη, "ζῇ ἐμοῦ πολυτελέστερον· ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς ζῆν καὶ καλῶς." Ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη· "Ὡς ἂν ἐγὼ εὐξαίμην." Πολυξένου τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν καὶ 25 θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπών, "Δύνασαι καὶ σὺ μεθ' ἡμῶν," φησί, "σήμερον γενέσθαι;" Τοῦ δ' ἐπινεύσαντος,
77 "Τί οὖν," ἔφη, "ἐμέμψου; Ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι." Τοῦ θεράποντος ἐν ὁδῷ 30 βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, "Ἀπόχεε," ἔφη,

8 διενέγκῃ : διενέγκαι BPF **9** ἐν ᾗ om. BPF **10** ἐν ᾗ om. BPF **12** ᾗ om. BPF **13** ὀψώνια : ὀψωνίαν BPF **15** σιμοῦ **Φ** : σίμου BP : ιμοῦ F **17** ὀλέθριος : ὄλεθρος BPF **18** αὐτοῦ om. BPF

"τὸ πλέον καὶ ὅσον δύνασαι βάσταζε." | Πλέων ποτε ἐπεὶ f. 53r
τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυσίον ἠρίθμει·
ἔπειτα εἰς θάλασσαν ὡς μὴ θέλων παρακατέβαλε καὶ
δῆθεν ἀνῴμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτὸν ὡς
5 ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου ἢ διὰ ταῦτα Ἀρίστιππον
ἀπολέσθαι. Διονυσίου ποτὲ ἐρομένου ἐπὶ τί ἥκοι, ἔφη ἐπὶ
τὸ μεταδώσειν ὧν ἔχοι καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. **78**
Ἔνιοι δ' οὕτως ἀποκρίνασθαι· "Ὁπότε μὲν σοφίας
ἐδεόμην, ἧκον παρὰ Σωκράτη· νῦν δὲ χρημάτων δεόμενος
10 παρὰ σὲ ἥκω." Κελεύσαντος Διονυσίου ποτὲ παρὰ πότον
τῶν σοφῶν ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι ὁ μὲν
Πλάτων οὐ προσήκατο εἰπών·

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι πέπλον·

ὁ δ' Ἀρίστιππος λαβὼν καὶ μέλλων ὀρχήσασθαι εὐστό-
15 χως εἶπε·

Καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ(α) ἥ γε σώφρων οὐ διαφθαρήσεται.

Διονυσίου ποτὲ δεόμενος περὶ φίλου καὶ μὴ ἐπιτυγ- **79**
χάνων ἐς πόδας αὐτοῦ ἔπεσε· πρὸς οὖν τὸν ἐπισκώψαντα
20 "Οὐκ ἐγώ," φησίν, "αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ
τὰς ἀκοὰς ἔχων." Διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπὸ
Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα· "†ὡς δὲ
καὶ† θαρρεῖς;" "Πότε γάρ," εἶπεν, "ὦ μάταιε, θαρρήσαιμι
ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξασθαι;"

10–21 ἔχων : *Suda,* 3909 Ἀρίστιππος **13** Eurip. *Bacch.* 836; Stob. 3.5.38 **16–17** Eurip. *Bacch.* 317–318; Stob. ibidem

5 ὑπ' ἀριστίππου **Φ** et BP : δι' ἀρίστιππον F **7** τὸ **Φ** et B : τῷ PF | ἔχοι **Φ** et B : ἔχει PF **9** σωκράτη **Φ** et BP : σωκράτην F **11** τῶν σοφῶν om. BPF **13** πέπλον : στολήν BPF, Eurip., Stob. et *Suda* **17** οὖσα **Φ** et B : οὖσ' PF **19** εἰς τοὺς πόδας F **22–23** ὡς δὲ καὶ **Φ** et BP[1] : καὶ ὧδε FP[4]

Τοὺς τῶν ἐκγυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πενελόπης μνηστῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάντα
80 δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι. Τὸ δ' 5 ὅμοιον καὶ Ἀρίστων· τὸν γὰρ Ὀδυσσέα καταβάντα εἰς ᾅδου τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ θεάσασθαι.

Πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ ὡς ἀπὸ Σωκράτους πρὸς 10
f. 53^v Διονύσιον ἔλθοι, "Ἀλλὰ πρὸς Σωκράτην μέν," | εἶπεν, "ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς." Ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης· "Πό-
81 θεν σοι τοσαῦτα;" Καὶ ὅς· "Ὅθεν σοι τὰ ὀλίγα." Ἑταίρας εἰπούσης πρὸς αὐτόν· "Ἐκ σοῦ κύω," "Οὐ μᾶλλον," ἔφη, 15 "γινώσκεις ἢ εἰ δ' ὁλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι." Ἠιτιάσατό τις αὐτὸν ὡς τὸν υἱὸν ἀπορριπτοῦντα ὥσπερ οὐκ ἐξ ἑαυτοῦ γεγονότα· καὶ ὅς, "Καὶ τὸ φλέγμα," φησί, "καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεννωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς πορρωτάτω ῥιπτοῦμεν." 20 Ἐκλεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, "Ἐγὼ μὲν γάρ," εἶπεν, "ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής."
82 Ἤιτει Διονύσιον ἀργύριον· καὶ ὅς· "Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν·" ὁ δ' ὑπολαβών, "Δός," εἶπε, "καὶ 25 περὶ τούτου ζητῶμεν." Δόντος δέ, "Ὁρᾷς," ἔφη, "ὅτι οὐκ ἠπόρηκα.· Εἰπόντος πρὸς τὸν αὐτὸν Διονυσίου·

> Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
> κείνου 'στὶ δοῦλος, κἂν ἐλεύερος μόλῃ·

28–29 Sophocl. Fr. 873 Radt

3 πενελόπης ss. Φ[1] **8** θεάσασθαι Φ et F : τεθεᾶσθαι P : τεθεάσασθαι B **12** δεόμενος Φ et BP : ἕνεκεν F **17** ὡς om. BPF **21** ἐκλεξάμενος Φ : ἐκδεξάμενος BPF **26** ζητῶμεν scripsi ex BPF : ζητοῦμεν Φ **28** γὰρ Φ et BF[2]P[3] : δ' ἄρ' P[1]F[1] | ὡς Φ et BP : ἐς F

ὑπολαβὼν εἶπεν·

οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ.

Ὀργισθεὶς πρὸς Αἰσχίνην, "Οὐ παυσόμεθα," εἶπε, "ληροῦντες, ἀλλὰ ἀναμένεις ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος
5 φλυαρῶν διαλλάξῃ;" Καὶ ὅς, ""Ἄσμενος," ἔφη. "Μνημόνευε τοίνυν," εἶπεν ὁ Ἀρίστιππος, "ὅτι σοι πρότερος πρεσβύτερος ὢν προσῆλθον." Καὶ ὁ Αἰσίνης· "Εὖγε, νὴ τὴν Ἥραν, εὐλόγως εἶπας, ἐπεὶ πολλῷ μου βελτίων ὑπάρχεις· ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις." **83**

10 ## 28. ΘΕΟΔΩΡΟΣ

Θεόδωρος ὁ Ἄθεος ἔλεγε δεῖν φανερῶς τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρῆσθαι τὸν σοφόν. Διὸ καὶ τοιούτους λόγους ἐρώτα· "Ἆρά γε γυνὴ γραμματικὴ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματική ἐστι;" "Ναί." "Καὶ παῖς | **99**
15 καὶ νεανίσκος ⟨*⟩ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματικός ἐστι;" "Ναί." "Οὐκοῦν καὶ γυνὴ καλὴ χρησίμη ἂν εἴη παρ' ὅσον καλή ἐστι, καὶ παῖς καὶ νεανίσκος ⟨*⟩ χρήσιμος ἂν εἴη παρ' ὅσον καλός ἐστι;" "Ναί." "Καὶ παῖς ἄρα καὶ νεανίσκος καλὸς πρὸς τοῦτ' ἂν εἴη χρήσιμος πρὸς ὃ καλός f. 54r
20 ἐστι;" "Ναί." ""Ἔστι δὲ χρήσιμος πρὸς τὸ πλησιάζειν;" Ὧν διδομένων ἐπῆγεν· "Οὐκοῦν εἴ τις πλησιασμῷ χρῷτο παρ' ὅσον χρήσιμός ἐστι, οὐ διαμαρτάνει· οὐδ' εἰ ἄρα κάλλει χρήσαιτο παρ' ὅσον χρήσιμός ἐστι, διαμαρτάνει." Τοιαῦτα ἄττα διερωτῶν ἴσχυε τῷ λόγῳ. **100**

1 εἶπεν om. BPF **4** ἀναμένεις **Φ** et B : ἀναμενεῖς PF **4** ἕως ἄν τις – **5** διαλλάξῃ **Φ** et BP : ἕως ἂν ἐπὶ τῆς κύλικος ἡμᾶς διαλλάξῃ τις F **5** ἄσμενος **Φ** et BF : ἀσμένως P **6** εἶπεν **Φ** et D : om. BPF | πρεσβύτερος **Φ** et BP : πρεσβύτης F **10** θεόδωρος **Φ** et P : om. BF **15** post νεανίσκος addit γραμματικὸς Cobet : om. **Φ** et BPF **17** post νεανίσκος addit καλὸς D : om. **Φ** et BPF **21** διδομένων **Φ** et BP : δεδομένων F **23** διαμαρτήσεται BPF **24** ἄττα **Φ**

Δοκεῖ δὲ Θεὸς κληθῆναι Στίλπνωνος αὐτὸν ἐρωτήσαντος οὕτως· "Ἆρά γε, Θεόδωρε, ὃ εἶναι φῄς, τοῦτο καὶ εἶ;" Ἐπινεύσανοτς δέ, "Φῂς δὲ εἶναι θεός;" Τοῦ δὲ ὁμολογήσαντος, "Θεὸς εἶ ἄρα," ἔφη. Δεξαμένου δὲ ἀσμένως, γελάσας φησίν· "Ἀλλ', ὦ μόχθηρε, τῷ λόγῳ τούτῳ καὶ 5
101 κολοιὸς ἂν ὁμολογήσαις εἶναι καὶ ἄλλα μυρία." Ὁ δ' οὖν Θεόδωρος προσκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, "Λέγε μοι," ἔφη, "Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια;" Εἰπόντος δὲ ἐκείνου, "Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες," "Ἀσεβὴς ἄρα εἶ καὶ σύ," ἔφη, 10 "τοῖς ἀμυήτοις διηγούμενος."

Διατρίβων δὲ παρὰ Πτολεμαίῳ τῷ Λάγου ἀπεστάλη
102 ποτὲ ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής. Ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος· "Λέγε μοι, ὦ Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν;" Καὶ ὅς· "Ὀρθῶς 15 ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε." Πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, "Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι," "Οὐκ ἄν," ἔφη, "ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ." Μίθρου δὲ τοῦ διοικητοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰ- 20
f. 54v πόντος· "Ἔοικας | σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν, ἀλλὰ καὶ βασιλέας," "Πῶς," εἶπεν, "ἀγνοῶ, ὅπου γε καὶ σὲ θεοῖς ἐχθρὸν εἶναι νομίζω;" Φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν συχνοὺς ἐπαγόμενον μαθητάς, Μητροκλέα δὲ τὸν Κυνικὸν σκάνδικας πλύνοντα εἰπεῖν· "Σὺ εἶ ὁ σοφισ- 25 τής; Οὐκ ἂν τοσούτων ἔχρῃζες μαθητῶν, εἰ λάχανα ἔπλυνες·" τὸν δ' ὑπολαβόντα εἰπεῖν· "Καὶ σὺ εἴπερ ἀνθρώποις

25–p. 235.1 cf. 2.68

1 στίλπνωνος hic et ubique **Φ** : στίλπωνος saepius Π **2** ὃ **Φ** et FP[3] : θεὸς BP[1] **5** μόχθηρε **Φ** et P : μοχθηρὲ BF **6** ὁμολογήσαις : ὁμολογήσειας BPF **10** ἀσεβὴς ἄρα εἶ : ἀσεβεῖς ἄρα BPF **14** ὦ om. BPF **19** ἀποστείλει με F **22** σὲ θεοῖς **Φ** et BP : θεοῖς σε F **25** εἶ **Φ**, om. BPF | ὁ σοφιστής om. F

ᾔδεις ὁμιλεῖν, οὐκ ἂν τούτοις τοῖς λαχάνοις ἐχρῶ."
Τελευταῖον δ' εἰς Κυρήνην ἀπελθὼν καὶ †Μαρίῳ† συμ- **103**
βιοὺς ἐν πάσῃ τιμῇ διετέλει. Ὅθεν τὸ πρῶτον ἐκβαλλόμε-
νος λέγεται χαριέν τι εἰπεῖν· φησὶ γάρ· "†Κακῶς† ποιεῖτε,
5 ἄνδρες Κυρηναῖοι, ἐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με
ἐξορίζοντες."

29. ΕΥΚΛΕΙΔΗΣ

Εὐκλείδης ὁ Μεγαρικὸς τὸν διὰ παραβολῆς λόγον **107**
ἀνῄρει, λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων
10 συνίστασθαι· καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλ-
λον ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων,
παρέλκειν τὴν παράθεσιν. Οὗτος ἐξεῦρε τὸν ἐγκεκαλυμ- **108**
μένον καὶ σωρίτην καὶ κερατίνην καὶ φαλακρόν. Περὶ
τούτου φησί τις τῶν κωμικῶν·

15 Οὑριστικὸς δ' Εὐβουλίδης κερατίνας ἐρωτῶν
καὶ ψευδαλαζόσι λόγοις τοὺς ῥήτορας κολούων
ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥομβοστωμυλήθραν.

30. ΣΤΙΛΠΝΩΝ

Στίλπνων ὁ Μεγαρεὺς ἀκόλαστον ἔχων θυγατέρα, **114**
20 εἰπόντος τινὸς ὡς καταισχύνοι αὐτόν, "Οὐ μᾶλλον," εἶ-
πεν, "ἢ ἐγὼ ταύτην κοσμῶ." Τοῦτόν φασι περὶ τῆς Φειδίου **116**
Ἀθηνᾶς τοιοῦτόν τινα λόγον ἐρωτῆσαι· "Ἆρά γε ἡ τοῦ
Διὸς Ἀθηνᾶ θεός ἐστι;" Φήσαντος δέ, "Ναί," "Αὕτη δέ γε,"
εἰπεῖν, "οὐκ ἔστι Διός, ἀλλὰ Φειδίου." Συγχωρουμένου δέ,
25 "Οὐκ ἄρα," εἶπεν, "αὕτη θεός ἐστιν." Ἐφ' ᾧ καὶ εἰς Ἄρει-

15–17 *PCG* VIII, Fr. 149. Cf. *Suda*, 224 Ῥομβοστωμυλήθρα

2 μαρίῳ **Φ** et BPF : Μάγᾳ Palmerius **3** ὅθεν : ἔνθεν BPF **4** κακῶς **Φ** et BPF : καλῶς Stephanus, Lambros **16** κολούων : κυλίων BPF et *Suda* **17** ῥομβοστωμυλήθραν **Φ** et *Suda* : ῥωβοστωμυλήθραν BPF **24** εἰπεῖν **Φ** et B^2PF : εἶπεν B^1 **25** αὕτη **Φ** : αὐτὴ B^1P^1 : om. F

ον πάγον προσκληθέντα μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι· μὴ γὰρ εἶναι αὐτὴν θεόν, ἀλλὰ θεάν· θεοὺς δὲ εἶναι τοὺς ἄρρενας. Καὶ μέντοι τοὺς Ἀρεοπαγίτας κελεῦσαι τῆς πόλεως αὐτὸν ἐξελθεῖν. Τούτου χάριν σκώπτων αὐτὸν Θεόδωρος ὁ Ἄθεος εἶπε· "Πόθεν δὲ τοῦτ' 5
f. 55ʳ ᾔδει Στίλπνων; Ἢ ἀνασύρας αὐτῆς | τὸν κῆπον ἐθεάσατο;"

117 Κράτητος ⟨αὐτὸν⟩ ἐρωτήσαντος εἰ οἱ θεοὶ χαίρουσι προσκυνήσεσι καὶ εὐχαῖς, εἶπε· "Περὶ τούτων μὴ ἐρώτα, ἀνόητε, ἐν ὁδῷ." Τὸ δ' αὐτὸ καὶ Βίων ἐρωτηθεὶς εἰ θεοί 10 εἰσιν εἶπεν·

Οὐκ †ἄπο μου† σκεδάσεις ὄχλον, ταλαπείριε πρέσβυ;

Κράτητος τοῦ Κυνικοῦ πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκριναμένου. ἀποπαρδόντος δέ, "Ἤιδειν," ἔφη ὁ Στίλπνων,
118 "ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ." Ἀλλὰ καὶ ἰσχάδα 15 προτείναντος αὐτῷ καὶ ἐρώτημα, δεξάμενος κατέφαγε· τοῦ δέ, "Ὦ Ἡράκλεις," εἰπόντος, "ἀπολώλεκα τὴν ἰσχάδα," "Οὐ μόνον," ἔφη, "ἀλλὰ καὶ τὸ ἐρώτημα, οὗ ἦν
119 ἀρραβὼν ἡ ἰσχάς." Λέγεται δ' οὕτως Ἀθήνησιν ἐπιστρέψαι τοὺς ἀνθρώπους, ὥστε ἀπὸ τῶν ἐργαστηρίων συνθεῖν, 20 ἵν' αὐτὸν θεάσαιντο. Καί τινος εἰπόντος· "Στίλπνων, θαυμάζουσί σε ὡς θηρίον," "Οὐ μὲν οὖν," εἶπεν, "ἀλλ' ὡς ἄνθρωπον ἀληθινόν." Φασὶ δ' αὐτὸν ὁμιλοῦντα Κράτητι μεταξὺ σπεῦσαι ἰχθῦς πρίασθαι· τοῦ δ' ἐπισπωμένου καὶ φάσκοντος· "Καταλείπεις τὸν λόγον;" "Οὐκ ἔγωγε," ἔφη, 25

12 Bionis Fr. 25 Kindstrand

2 διηλέγχθαι B **3** post ἀρεοπαγίτας addunt BPF εὐθέως **5** ὁ ἄθεος **Φ** : τὸν ἐπίκλην θεὸν BPF **6** κῆπον **Φ** et PF : κόλπον B : θοιμάτιον Δ Π **8** αὐτὸν addidi ex BPF **10** post ἐν ὁδῷ addunt BPF ἀλλὰ μόνον **12** ἄπο μου **Φ** et F : ἄπο μοῦ BP : ἀπ' ἐμου P[3] **19** Ἀθήνησιν scripsi ex BPF : ἀθήνηθεν **Φ** **24** ἐπισπομένου **Φ**[1] : -ω- ss. **Φ**[2] **25** φάσκοντος **Φ** et BP : λέγοντος F

"ἀλλὰ τὸν ⟨μὲν⟩ λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμένει, τὸ δ' ὄψον πεπράσεται."

31. ΣΙΜΩΝ

Σίμων Ἀθηναῖος ὁ σκυτοτόμος ἐρχομένου Σωκράτους **122**
5 ἐπὶ τὸ ἐργαστήριον καὶ διαλεγομένου τινά, ὧν ἐμνημόνευεν ὑποσημειώσεις ἐποιεῖτο· ὅθεν σκυτικοὺς αὐτοῦ τοὺς διαλόγους καλοῦσιν. Οὗτος πρῶτος διελέχθη τοὺς λογοὺς **123** τοὺς Σωκρατικούς. Ἐπαγγειλαμένου δὲ Περικλέους θρέψειν αὐτὸν καὶ κελεύοντος ἀπιέναι πρὸς αὐτόν, οὐκ ἂν
10 ἔφη τὴν παρρησίαν ἀποδόσθαι.

32. ΜΕΝΕΔΗΜΟΣ

Μενέδημος πρὸς τὸν θρασυνόμενον μοιχὸν ἔφη· "Ἀγνοεῖς **128** ὅτι οὐ μόνον κράμβη χυλὸν ἔχει χρηστόν, ἀλλὰ καὶ ῥαφανίδες;" Πρὸς δὲ τὸν νεώτερον κεκραγότα, "Σκέψαι,"
15 ἔφη, "μή τι ἔχων ὄπισθεν λέληθας." Πρὸς τὸν πυθόμενον εἰ γήμαι ὁ σπουδαῖος ἔφη· "Πό|τερον ἐγὼ σοι σπουδαῖος f. 55v δοκῶ ἢ οὔ;" Φήσαντος δὴ "Ναί," "Ἐγὼ τοίνυν," εἶπε, "γεγάμηκα." Μὴ δυνάμενος δὲ τῶν καλούντων ἐπὶ δεῖπνόν **129** τινος περιελεῖν τὴν πολυτέλειαν, κληθείς ποτε οὐδὲν μὲν
20 εἶπε, σιωπῶν δ' αὐτὸν ἐνουθέτησε μόνας ἐλαίας προσενεγκάμενος. Διὰ οὖν δὴ τὸ παρρησιαστικὸν τοῦτο μικροῦ καὶ ἐκινδύνευσεν ἐν Κύπρῳ παρὰ Νικοκρέοντι σὺν Ἀσκληπιάδῃ τῷ φίλῳ. Τοῦ γάρ τοι βασιλέως ἐπιμήνιον ἑορτὴν τελοῦντος καὶ καλέσαντος καὶ τούτους ὥσπερ καὶ
25 τοὺς ἄλλους φιλοσόφους, τὸν Μενέδημον εἰπεῖν ὡς εἰ καλὸν ἦν ἡ τῶν τοσούτων ἀνδρῶν συναγωγή, καθ' ἡμέραν ἔδει γίνεσθαι τὴν ἑορτήν· εἰ δ' οὔ, περιττῶς καὶ νῦν. Πρὸς **130**

1 μὲν add. Lambros ex BPF **2** περιμένει Φ et BP : περιμενεῖ F **14** ῥαφανὶς F[2] **16** γήμαι Φ et F : γήμη B[1]P[2] **17** δὴ ναὶ Φ : δ' εἶναι BPF **18** δεῖπνον Φ et F : τὸ δεῖπνον BP[1] **24** καὶ [3] Φ : om. BPF **26** καθημέραν Φ et BP : καθ' ἑκάστην ἡμέραν F

δὲ τοῦτο ἀπαντήσαντος τοῦ τυράννου καὶ εἰπόντος ὡς ταύτην τὴν ἡμέραν ἔχοι σχολάζουσαν πρὸς τὸ διακούειν φιλοσόφων, ἔτι καὶ μᾶλλον αὐστηρότερον ἐνέκειτο, δεικνὺς ἐπὶ τῆς θυσίας ὡς χρὴ πάντα καιρὸν φιλοσόφων ἀκούειν· ἕως εἰ μή τις αὐλητὴς αὐτοὺς διεπέμψατο, κἂν 5 ἀπώλοντο. Ὅθεν χειμαζομένων ἐν τῷ πλοίῳ τὸν Ἀσκληπιάδην φασὶν εἰπεῖν ὡς ἡ μὲν τοῦ αὐλητοῦ εὐμουσία σέσωκεν αὐτούς, ἡ δὲ τοῦ Μενεδήμου παρρησία ἀπολώλεκε.

127 Μειρακίου καταθρασυνομένου εἶπε μὲν οὐδέν· λαβὼν 10 δὲ κάρφος διέγραψεν εἰς τὸ ἔδαφος περαινομένου σχῆμα· ἕως ὁρώντων πάντων συνὲν τὸ μειράκιον τὴν ὕβριν ἀπ-
131 ηλλάγη. Φιλόδοξος δὲ ἦν· ὥστε ⟨τὸ⟩ πρότερον τέκτονι συνοικοδομοῦντες αὐτός τε καὶ Ἀσκληπιάδης ὁ μὲν Ἀσκληπιάδης ἐφαίνετο γυμνὸς ἐπὶ τοῦ τέγους τὸν πηλὸν 15 παραφέρων, ὁ δὲ εἴ τινα ἴδοι ἐρχόμενον, διεκρύπτετο.
134 Ἐριστικώτατος δὲ ἦν. Καὶ δὴ καὶ τόδε ἐρωτᾶν εἰώθει· "Τὸ ἕτερον τοῦ ἑτέρου ἕτερόν ἐστι;" "Ναί." "Ἕτερον δέ ἐστι
f. 56r τὸ ὠφελεῖν τοῦ ἀγαθοῦ;" "Ναί." "Οὐκ ἄρα | τὸ ἀγαθὸν
135 ὠφελεῖν ἐστι." Κατεφρόνει δὲ τῶν Πλατωνικῶν· ὥστε 20 Ἀλεξίνου ποτὲ ἐρωτήσαντος εἰ πέπαυται τὸν πατέρα τύπτων, "Ἀλλ' οὔτ' ἔτυπτον," φάναι, "οὔτε πέπαυμαι." Πάλιν τ' ἐκείνου λέγοντος ὡς χρῆν εἰπόντα "Ναὶ" ἢ "Οὔ" λῦσαι τὴν ἀμφιβολίαν, "Γελοῖον," εἶπε, "τοῖς ὑμετέροις νόμοις ἀκολουθεῖν, ἐξὸν ἐν πύλαις ἀντιβῆναι." Βίωνός τε 25 ἐπιμελῶς κατατρέχοντος τῶν μάντεων, νεκροὺς αὐτὸν
136 ἐπισφάττειν ἔλεγε. Λέγοντός τινος ὡς μέγιστον ἀγαθὸν εἴη τὸ πάντων ἐπιτυγχάνειν ὧν τις ἐπιθυμεῖ, εἶπε· "Πολὺ δὲ
138 μεῖζον τὸ ἐπιθυμεῖν ὧν δεῖ." Τελευτήσαντος τοῦ φίλου

2 ἔχει F **3** αὐστηρότερον **Φ** et F (-η- corr. ex -ει-) P4B2 in mg : ἀτηρότερον B1P1, ἀτειρότερον B2 in mg **6** ἀσκληπιάδη P **11** διέγραψεν : διέγραφεν BPF **12** ἀπηλλάγη **Φ** et F : ἀπηλλάχθη BP1 **13** τὸ addidi ex BPF **17** δὲ : τε BPF **19–20** τὸ ἀγαθὸν ὠφελεῖν **Φ** et BP : τὸ ὠφελεῖν ἀγαθόν F **20** κατεφρόνει δὲ τῶν πλατωνικῶν : διαπαίζειν δὲ τὰ διαλεκτικά BPF **28** εἶπε **Φ** et P1 : εἰπεῖν BP2F

αὐτοῦ Ἀσκληπιάδου καὶ μετὰ χρόνον ἐλθόντος ἐπὶ κῶμον τοῦ ἐρωμένου αὐτοῦ, ἐπεὶ οἱ νεανίσκοι ἀπέκλειον αὐτόν, ἐκέλευσεν ὁ Μενέδημος εἰσδέξασθαι, εἰπὼν ὅτι Ἀσκλη-πιάδης αὐτῷ καὶ κατὰ γῆς ὢν τὰς θύρας ἀνοίγει.

5 ## ΤΟΜΟΣ Γʹ

33. ΠΛΑΤΩΝ

Λέγεται ὅτι Σωκράτης ὄναρ εἶδε κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι ἡδὺ κλάγξαντα· καὶ μεθ' ἡμέραν Πλάτωνα 10 αὐτῷ συστῆναι, τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν. **3.5**
Πλάτων μέλλων ἀγωνιεῖσθαι τραγῳδίᾳ, Σωκράτους ἀ-κούσας κατέφλεξε τὰ ποιήματα εἰπών·

Ἥφαιστε, πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει.

Εἰς Αἴγυπτον παρὰ τοὺς προφήτας πορευομένῳ συνη- **6**
15 κολούθησεν Εὐριπίδης καὶ αὐτόθι νοσήσας πρὸς τῶν ἱερέων ἀπελύθη τῇ διὰ θαλάσσης θεραπείᾳ· ὅθεν που καὶ εἰπεῖν φασι·

θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

Ὅτι ἡ Ἀκαδημία γυμνάσιόν ἐστι προάστειον ἀλσῶ- **7**
20 δες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἀκαδήμου.
Πλεύσας εἰς Σικελίαν κατὰ θέαν τῆς νήσου καὶ τῶν **18**
κρατήρων προσέκρουσε Διονυσίῳ τῷ τυράννῳ. Διαλεγό-μενος γὰρ περὶ τυραννίδος καὶ φάσκων ὡς οὐ ⟨*⟩ συμφέρει

13 cf. *Iliad.* 18.392 **18** Eurip. *I.T.* 1193 **19–20** *Suda,* 774 Ἀκαδημία

1 αὐτοῦ scripsi : αὐτῶ **Φ** **17** φασι : om. BPF **20** ἀκαδήμου **Φ** et PF : ἐκαδήμου B et *Suda* **23** post οὐ lac. indicavi : οὐκ ἔστι τοῦτο κρεῖττον ὃ FP[2] : οὐ κέστι τούτου κρείττονος B[1] | συμφέρει **Φ** et *Frob.* : συμφέρον BPF : συμφέροι Reiske

f. 56ᵛ αὐτῷ μόνον, εἰ μὴ καὶ ἀρετῇ διαφέροι, | εἰς ὀργὴν αὐτὸν ἐκίνησεν. Εἰπόντος δὲ τοῦ τυράννου ὡς "Οἱ λόγοι σου γεροντιῶσι," καὶ τοῦ Πλάτωνος "Οὐ δέ γε τυραννιῶσιν" ἀποκριναμένου, πρῶτον μὲν ἀνελεῖν ὥρμησεν αὐτόν,
19 παρακληθεὶς δὲ ὑπὸ Δίωνος παρέδωκεν αὐτὸν Πόλλιδι 5
23 ὥστε πωλῆσαι. Ἀρκάδες καὶ Θηβαῖοι Μεγάλην πόλιν οἰκίζοντες ἐκάλουν αὐτὸν νομοθέτην· ὁ δὲ μαθὼν ἴσον ἔχειν οὐ θέλοντας οὐκ ἐπορεύθη.

28 Χλευάζει τις τῶν κωμικῶν Πλάτωνα λέγων·

ὦ Πλάτων, 10
ὡς οὐδὲν ᾔσθα πλὴν σκυθρωπάζειν μόνον,
ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

29 Ἀστέρος τινὸς μειρακίου ἀστρολογεῖν συνασκουμένου ἠράσθη· δηλοῖ δὲ τὸν ἔρωτα αὐτοῦ τόδε τὸ ἐπίγραμμα, ὅπερ ἐποίησεν εἰς αὐτόν· 15

Ἀστέρας εἰσαθρεῖς, Ἀστὴρ ἐμός· εὔθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

Καὶ ἄλλο·

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις. 20

31 Καὶ Ἀρχαιανάσσης ἐρασθεὶς ἐποίησεν οὕτως·

10–12 *PCG* Amphidis Fr. 13; *Suda*, 796 Σκυθρωπάζω **16–17** *Anth. Pal.* 7.669 **19–20** *Anth. Pal.* 7.670

1 αὐτῶ Φ et PF² : αὐτὸ BF¹ | μόνον scripsi ex BPF : μόνη Φ **3** οὐ Φ et B² : σοῦ B¹PF **4** ὥρμηκεν F **6** πωλῆσαι : ἀποδόσθαι BPF **7** ἐκάλουν : παρεκάλουν BP² : κατεκάλουν F **11** ᾔσθα Φ et BP, *Suda* : οἶσθα F **16** εἰσαθρεῖς Φ et B²PF : εἰσαθρει B¹ et *Pal.*¹ **17** βλέπων F **20** φθιμένοισι Φ

Ἀρχαιάνασσαν ἔχω, τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἧς καὶ ἐπὶ ῥυτίδων ἕζετο δριμὺς Ἔρως.
Ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

5 Ἀλλὰ καὶ εἰς Ἀγάθωνα· 32

Τὴν ψυχὴν Ἀγάθωνα φιλῶν ἐπὶ χείλεσιν εἶχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

Καὶ ἄλλο·

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
10 δεξαμένη τῆς σῆς παρθενίας μετάδος·
εἰ δ' ἄρ' ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

Ἄλλο·

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις. Ἀλλ' ἐπίνευσον,
15 Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

Εἰς τοὺς Ἐρετριέας τοὺς σαγηνευθέντας τοῦ αὐτοῦ· 33

Εὐβοίης γένος εἰμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης τόσσον ἀφ' ἡμετέρης. |

Κἀκεῖνο Πλάτωνος· f. 57r

1–4 *Anth. Pal.* 7.217. Cf. Athen. 13, 589 C **1–2** cf. *Suda*, 319 Ῥύτορα **6–7** *Anth. Pal.* 5.78 (77) **9–12** *Anth. Pal.* 5.79 (78) **14–15** *Anth. Pal.* 5.80 (79) **17–18** *Anth. Pal.* 7.259. Cf. *Suda*, 545 Ἱππίας

1 ἀρχαιάνασσαν **Φ**, BPF et *Suda* : ἀρχεάνασσαν *Pal.* **6** ἐνὶ F | εἶχον **Φ** et BPF : ἔσχον *Pal.* **10** παρθενίας **Φ** et BF[2] : παρθενίης PF[1] et *Pal.* **13** ἄλλο **Φ** : om. BPF **17** εὐβοέων *Suda* | εἰμὲν scripsi : εἶμεν **Φ** : εἰμὲν BF[1] : ἦμεν PF[2] **18** τόσσον **Φ** et P : τόσον B : ὅσσον *Pal.* et *Suda* : ὅσον F **19** Πλάτωνος om. BPF

Ἁ Κύπρις Μούσαισι· "Κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι."
Αἱ Μοῦσαι ποτὶ Κύπριν· ""Ἄρει τὰ στωμύλα ταῦτα·
ἡμῖν οὐ πέτεται τοῦτο τὸ παιδάριον."

Καὶ ἄλλο· 5

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

35 Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῶν γεγραμμένων αὐτῷ παρεκάλεσεν αὐτὸν παρατυχεῖν. Ἐρωτηθεὶς δὲ τί μέλλει ἀναγινώσκειν, εἶπεν ὅτι περὶ τοῦ μὴ εἶναι ἀντι- 10 λέγειν· τοῦ δ' εἰπόντος· "Πῶς οὖν σὺ περὶ αὐτοῦ τούτου γράφεις;" καὶ διδάσκοντος ὅτι περιτρέπεται, ἔγραψε διάλογον κατὰ Πλάτωνος Σάθωνα ἐπιγράψας. Φασὶ δὲ καὶ Σωκράτην ἀκούσαντα τὸν Λύσιν ἀναγινώσκοντος Πλάτωνος "Ἡράκλεις," εἰπεῖν, "ὡς πολλά μου καταψεύδεθ' ὁ 15 νεανίσκος." Πολλὰ γὰρ ὧν οὐκ εἴρηκε Σωκράτης γέγραφεν ἁνήρ. **38** Θεασάμενός τινα κυβεύοντα ᾐτιάσατο· τοῦ δ' εἰπόντος ὡς ἐπὶ μικροῖς, "Ἀλλὰ τό γε ἔθος," εἶπεν, "οὐ μικρόν." Εἰσελθόντος ποτὲ Ξενοκράτους εἶπε μαστιγῶσαι τὸν παῖδα· αὐτὸν γὰρ μὴ δύνασθαι διὰ τὸ ὠργίσθαι. 20 **39** Ἀλλὰ καὶ πρός τινα τῶν παίδων "Μεμαστίγωσο ἄν," εἶπεν, "εἰ μὴ ὠργιζόμην." Ἐφ' ἵππου καθίσας εὐθέως κατέβη φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ. Τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι· ἀποστήσεσθαι γὰρ τῆς τοιαύτης ἀσχημοσύνης. Πίνειν εἰς μέθην 25 οὐδαμοῦ πρέπον ἔλεγε πλὴν ἐν ταῖς ἑορταῖς τοῦ καὶ τὸν

1–4 *Anth. Pal.* 9.39 **6–7** *Anth. Pal.* 9.44

2 ἔρωτ' **Φ** et BPF : ἔρων *Pal.* **3** αἱ **Φ** et BPF : χαι c (χ'ἆ *Pal.*) **4** ἡμῖν δ' οὐ *Pal.* | πέτεται **Φ** et BPF : πέταται *Pal.* **6** ἔλιπε **Φ** et B : ἔλιπεν PF **9** ἐρωτηθεὶς δὲ **Φ** : καὶ πυθόμενος BPF : καὶ πυθομένου Reiske : καὶ πυθομένῳ Cobet **10** εἶναι : δεῖν $Φ^2$ in mg **14** λυσίαν **Φ** **16** πολλὰ **Φ** : οὗτος πολλὰ F : οὐκ ὀλίγα BP **17** ἁνήρ Cobet : ἀνὴρ **Φ** et BPF

οἶνον δόντος θεοῦ.

Ἐπίγραμμα εἰς τὸν Πλάτωνος τάφον· 43

Ἀετέ, τίπτε βέβηκας ὑπὲρ τάφον; Ἢ τίνος, εἰπέ, 44
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
5 —"Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
εἰκών· σῶμα δὲ ⟨*⟩ γηγενὲς Ἀτθὶς ἔχει."

Ἄλλο, ὡς ἐτελεύτα·

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
τὸν μέν, ἵνα ψυχήν, τὸν δ', ἵνα σῶμα σάοι.

10 Δύο τρόποι τῆς ἐπα|γωγῆς εἰσιν, ὅ τε κατ' ἐναντίωσιν 53 f. 57ᵛ
καὶ ὁ ἐκ τῆς ἀκολουθίας. Ὁ μὲν οὖν κατ' ἐναντίωσίν
ἐστιν ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολου-
θήσει τὸ ἐναντίον (καὶ ἐχρᾶτο τούτῳ Πλάτων πρὸς τὸ 54
διελέγχειν)· ἔστι δὲ τοιοῦτος· Ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ 53
15 ἤτοι ἕτερός ἐστιν ἢ ὁ αὐτός. Εἰ μὲν οὖν ἕτερός ἐστι τοὐ-
μοῦ πατρὸς ὁ σὸς πατήρ, πατρὸς ἕτερος ὢν οὐκ ἂν εἴη
πατήρ· εἰ δὲ ὁ αὐτός ἐστι τῷ ἐμῷ πατρί, ὁ αὐτὸς ὢν τῷ ἐμῷ
πατρὶ ὁ ἐμὸς ἂν εἴη πατήρ. Καὶ πάλιν· Εἰ μή ἐστι ζῷον ὁ 54
ἄνθρωπος, λίθος ἂν εἴη ἢ ξύλον. Οὐκ ἔστι δὲ λίθος ἢ
20 ξύλον· ἔμψυχον γάρ ἐστι καὶ ἐξ αὑτοῦ κινεῖται· ζῷον ἄρα
ἐστίν. Εἰ δὲ ζῷόν ἐστι, ζῷον δὲ καὶ ὁ κύων καὶ ὁ βοῦς, εἴη
ἂν καὶ ὁ ἄνθρωπος ζῷον καὶ κύων καὶ βοῦς. Ὁ μὲν οὖν εἷς
τρόπος τοιοῦτος, ὁ δ' ἐκ τῆς ἀκολουθίας διπλοῦς· ὁ μὲν τὸ
ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικ-

3–6 *Anth. Pal.* 7.62 **8–9** *Anth. Pal.* 7.109.1–2 **9** *Suda,* 95 Σάου **10–24** ἀποδεικνύς : *Suda,* 1923 Ἐπαγωγή

3 ἀετέ **Φ** et B : αἰετέ PF³, Lambros | ἢ τίνος **Φ** et BPF³ et *Pal.* : ἦ τινος ed. Basil. **6** post δὲ om. γῆ **Φ** et BP : habet γῆ *Pal.*, add. Lambros : τοῦ F³ **20** ἔμψυχος FV et *Suda* ἄρα : γὰρ *Suda* **22** post ζῷον addit ὢν Cobet **23** ἐκ om. BPF et *Suda*

55 νύς, ὁ δὲ διὰ τῶν ἐπὶ μέρους κατασκευαστικὸς τοῦ καθόλου προαποδειχθέντος.

67 Ἀθάνατον ἐδόξαζε Πλάτων τὴν ψυχὴν καὶ πολλὰ μεταμφιεννυμένην σώματα. Καὶ εἶναι τριμερῆ· καὶ τὸ μὲν λογιστικὸν αὐτῆς περὶ τὴν κεφαλὴν καθιδρῦσθαι, τὸ δὲ 5 θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δ' ἐπιθυμητικὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ.

ΤΟΜΟΣ Δ΄

34. ΣΠΕΥΣΙΠΠΟΣ

4.1 Σπεύσιππος ὁ φιλόσοφος, ὁ Πλάτωνος ἀδελφιδοῦς, ὑπὸ 10 θυμοῦ τὸ κυνίδιον εἰς τὸ φρέαρ ἔρριψε, καὶ ὑφ' ἡδονῆς 3 ἦλθεν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασάνδρου γάμον. Τοῦτόν φασι διὰ τὸ παραλελύσθαι τὸ σῶμα ἐφ' ἁμαξίου φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει καὶ "Χαῖρε" εἰπεῖν· τὸν δὲ φάναι· "Ἀλλὰ μὴ σύ γε, ὅστις ὑπομένεις 15 4 ζῆν τοιοῦτος ὤν." Οὗτος πρὸς τὸν πλούσιον τὸν ἀμόρφου ἐρῶντα ἔφη· "Τί δέ σοι δεῖ τούτου; Ἐγὼ γάρ σοι δέκα 3 ταλάντων εὐμορφοτέραν εὑρήσω." Τέλος δὲ ὑπὸ ἀθυμίας ἑκὼν τὸν βίον μετήλλαξε γηραιὸς ὤν. |

f. 58r

35. ΞΕΝΟΚΡΑΤΗΣ 20

6 Ξενοκράτης ὁ φιλόσοφος νωθρὸς ἦν τὴν φύσιν, ὥστε λέγειν τὸν Πλάτωνα, συγκρίνοντα αὐτὸν Ἀριστοτέλει·

1–2 ὁ δὲ διὰ τῶν ἐπὶ μέρους κατασκευαστικὸς τοῦ καθόλου προαποδειχθέντος **Φ** ex 3.55 : post ἀποδεικνύς lacuna in B[1]P[1] et *Suda* : ὁ δὲ τὸ καθόλου διὰ τοῦ ἐπὶ μέρους FP[5] : ὁ δὲ τὸ καθόλου διὰ τῶν ἐπιμέρους πιστούμενος B[2] in mg **5** post λογιστικὸν addunt μέρος BP : om. **Φ** et F | τὴν κεφαλὴν **Φ** et F : τῇ κεφαλῇ BP **6** τὴν καρδίαν **Φ** et F : τῇ καρδίᾳ BP **7** post τὸ ἧπαρ addunt BPF συνίστασθαι **17** δεῖ scripsi ex BPF : ἀεὶ **Φ** **19** τὸν βίον scripsi ex BPF : τοῦ βίου **Φ** | μετήλλαξε **Φ** et BP : διήλλαξε F **21** ὥστε **Φ** et F : ὥστε φασὶ BP **22** συγκρίνεσθαι B

"Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ·" καί· "Ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω." Ἦν δὲ καὶ σκυθρωπός, ὥστε αὐτῷ λέγειν τὸν Πλάτωνα· "Ξενόκρατες, θῦε ταῖς Χάρισιν." Οὗτος εἰ μέλλοι παριέναι, φασὶ τοὺς θορυβώδεις πάντας
5 καὶ προ⟨υ⟩νείκους ὑποστέλλεσθαι. Καί ποτε καὶ Φρύνην 7 τὴν ἑταίραν ⟨ἐθελῆσαι⟩ πειρᾶσαι αὐτόν, καὶ δῆθεν διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον. Τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου μεταδοῦναι αὐτῇ δεομένῃ κατακλίσεως· καὶ
10 τέλος πολλὰ ἐκλιπαροῦσαν ἄπρακτον διαναστῆναι· λέγειν τε πρὸς τοὺς πυνθανομένους ὡς οὐκ ἀπ' ἀνδρός, ἀλλ' ἀπὸ ἀνδριάντος ἀνασταίη. Ἔνιοι δὲ Λαΐδα φασὶ παρακατακλῖναι αὐτῷ τοὺς μαθητάς· τὸν δὲ οὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις ὑπομεῖναι πολλάκις
15 περὶ τὸ αἰδοῖον. Ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα, ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. Καὶ δὴ καὶ αὐταρκέστατος ἦν. Ἀλεξάνδρου 8 γοῦν συχνὸν ἀργύριον ἀποστείλαντος αὐτῷ, γ^ας Ἀττικὰς ἀφελὼν τὸ λοιπὸν ἀπέπεμψεν, εἰπὼν ἐκείνῳ πλειόνων
20 δεῖν πλείονας τρέφοντι.

Πρεσβεύων πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθη- 9 ναίων καὶ κληθεὶς ἐπὶ δεῖπνον πρὸς αὐτὸν εἶπε ταυτί·

Ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσασθαι ἐδητύος ἠδὲ ποτῆτος
25 πρὶν λύσασθ(αι) ἑταίρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;

4 Οὗτος – **5** *Suda,* 2904 Προύνεικος **6** δῆθεν – **8** εἰσδέξασθαι : Suda, 2528 Ἀνθρώπινον **15** Ἦν δὲ καὶ – **17** Ἀθηναῖοι : *Suda,* 2817 Ἀξιόπιστος **17** Ἀλεξάνδρου – **20** cf. *Suda,* 42 Ξενοκράτης **23–25** *Odyss.* 10.383-385

4 παριέναι : ἐς ἄστυ ἀνιέναι BFP[5] : ἐς ἄστυ ἀπιέναι P[1] et *Suda* **5** προνείκους **Φ**, correxi ex BP[1] et *Suda* **6** ἐθελῆσαι addidi ex BPF **10** διαναστῆναι : ἀναστῆναι BPF **19** ἐπέπεμψεν B **22** εἶπε : προηνέγκατο BPF **24** πάσασθαι **Φ** et BP : παύσασθαι F : πάσσασθαι Lambros ex *Od.* **25** λύσασθ' BPF et *Od.* | ἑταίρους **Φ** et BPF : ἑτάρους Lambros ex *Od.*

10 Καὶ ὃς ἀποδεξάμενος τὴν εὐστοχίαν εὐθὺς ἀνῆκε. Σκωπτόμενος ὑπὸ Βίωνος οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι· μηδὲ γὰρ τὴν τραγῳδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένην ἀπο-
f. 58ᵛ κρίσεως ἀξιοῦν. | Στρουθοῦ διωκομένου ὑπὸ ἱέρακος καὶ εἰσπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθ- 5
11 ῆκεν, εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. Εἰπόντος Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσει τις αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον· "Οὐκ ἄν γε,"
10 ἔφη, "τὶς πρότερον τούτου." Πρὸς τὸν μήτε μουσικὴν μήτε γεωμετρικὴν μητ' ἀστρονομικὴν μεμαθηκότα, βουλόμε- 10
νον δὲ παρ' αὐτῷ φοιτᾶν, "Πορεύου," ἔφη· "παρ' ἐμοὶ
14 πόκος οὐ κνάμπτεται." Ἐτελεύτησε δὲ γηραιὸς λεκάνῃ προσπταίσας χαλκῇ.

36. ΠΟΛΕΜΩΝ

16 Πολέμων νέος ὢν ἀκόλαστός τε καὶ διακεχυμένος ἦν 15
οὕτως, ὥστε καὶ περιφέρειν ἀργύριον πρὸς τὰς ἑτοίμους λύσεις τῶν ἐπιθυμιῶν· ἀλλὰ καὶ ἐν τοῖς στενωποῖς διέκρυπτε. Καί ποτε μεθύων καὶ ἐστεφανωμένος εἰς τὴν Ξενοκράτους ἧξε σχολήν· ὁ δὲ οὐδὲν διατραπεὶς εἶρε τὸν λόγον ὁμοίως· ἦν δὲ περὶ σωφροσύνης. Ἀκοῦον δὲ τὸ 20
μειράκιον κατ' ὀλίγον ἐθηράθη καὶ οὕτως γέγονε φιλόπονος, ὡς ὑπερβαλέσθαι τοὺς ἄλλους καὶ διαδέξασθαι τὴν σχολήν.

17 Τοῦτόν φασι δίκην φυγεῖν ὑπὸ τῆς γυναικός, ὡς μειρακίοις συνόντα. Κυνὸς λυττῶντος τὴν ἰγνύην τινὸς δια- 25

9–13 *Suda,* 1852 Κνάπτω

10 γεωμετρικὴν **Φ** et BF, *Suda* : γεωμετρίαν P | ἀστρονομικὴν **Φ** et BF : ἀστρονομίαν ΔΠ, P et *Suda* **11** αὐτῷ : αὐτὸν BPF **13** χαλκῇ : om. BPF **19** ἧξε **Φ** : ἧξε BP F : ἧξε Cobet | ἦρε P **20** ἀκοῦον **Φ** et PF : ἀκούων B **21** γέγονε : ἐγένετο BPF **22** ὑπερβαλέσθαι **Φ** et P : ὑπερβαλλέσθαι (sic) BF **24** δίκην κακώσεως BPF **25** ἰγνύαν BPF

σπάσαντος καὶ ταραχῆς γεγονυίας ἐπὶ τῆς πόλεως, μόνος οὐκ ὠχρίασε· πυθόμενος δὲ τὸ γενόμενον ἄτρεπτος ἔμεινε. Νικοστράτου τοῦ ποιητοῦ ἀναγινώσκοντός τι αὐτῷ καὶ 18 Κράτητι, τὸν μέν φασι συνδιατίθεσθαι, τὸν δ' ἴσα καὶ μὴ
5 ἀκοῦσαι. Ἦν δὲ φιλοσοφοκλῆς, καὶ ἔλεγε τὸν μὲν Ὅμη- 20 ρον ἐπικὸν εἶναι Σοφοκλέα, Σοφοκλέα δὲ εἶναι Ὅμηρον τραγικόν.

37. ΚΡΑΝΤΩΡ

Κράντωρ ὁ Σολεὺς ἐρωτηθεὶς τίνι θηραθείη ὑπὸ Πολέ- 24
10 μωνος, εἶπε· "Τῷ μήτε ὀξύτερον μήτε βραδύτερον ἀκοῦσαι φθεγγομένου." Ἀπελέκητον εἶχε φωνὴν καὶ φλοιοῦ 27 μεστήν.

| 38. ΑΡΚΕΣΙΛΑΟΣ f. 59r

Ἀρκεσίλαος ὑπὸ μὲν τοῦ ἀδελφοῦ ἐπὶ ῥητορικὴν 29
15 ἤγετο, αὐτὸς δὲ φιλοσοφίας ἤρα· ἰδὼν δὲ αὐτὸν Κράντωρ καὶ ἐρωτικῶς διατεθεὶς ἐπύθετο τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου προσενεγκάμενος·

Ὦ παρθένε, εἰ σώσαιμί σε, εἴσῃ μοι χάριν;

Καὶ ὃς τὰ ἐχόμενα·

20 Ἄγου με, ὦ ξένε, εἴτε δμωΐδ' ἐθέλεις εἴτ' ἄλοχον.

Ἐκ τούτου συνήστην ἀλλήλοιν· ὅτε καὶ τὸν Θεόφραστον 30

5–7 *Suda*, 1887 Πολέμων Φιλοστράτου **11–12** *Suda*, 545 Φλοιός **18 et 20** Eurip. Frr. 129 et 132 N^2

1 γεγονυίας : γενομένης BPF **6** ἐπικὸν scripsi ex BPF et *Suda* : κωμικὸν Φ **6** σοφοκλέα – **7** τραγικόν Φ et *Suda* : ὅμηρον δὲ σοφοκλέα τραγικόν BPF **10** βραδύτερον : βαρύτερον BPF **17** προσενεγκάμενος Φ et BPF : προενεγκάμενος Casaubon **20** δμωΐδ' Φ et BF : δμωι τ' P[1] **21** ἀλλήλοιν scripsi ex BPF : ἀλλήλοις Φ | ὅτε : ἵνα BPF

κνιζόμενόν φασιν εἰπεῖν· "Ὡς εὐφυὴς καὶ εὐεπιχείρητος
31 ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος." Οὗτος πάντων
μᾶλλον ἀπεδέχετο Ὅμηρον, οὗ καὶ εἰς ὕπνον ἰὼν πάντως
τι ἀνεγίνωσκεν· ἀλλὰ καὶ ὄρθρου, λέγων ἐπὶ τὸν ἐρώμενον
ἀπιέναι, ὁπότε βούλοιτο ἀναγνῶναι. Τόν τε Πίνδαρον 5
ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι καὶ ὀνομάτων καὶ
32 ῥημάτων εὐπορίαν παρασχεῖν. Διήκουσε καὶ Ἱππονίκου
τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε τὰ μὲν ἄλλα ῥάθυμον ὄντα
καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν
γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι. 10
Ὕστερον δὲ παρακόψαντα τοῦτον ἀναλαβὼν οἴκοι ἐθε-
ράπευεν εἰς ὅσον ἀποκαταστῆσαι. Ἐθαύμαζε Πλάτωνα
33 καὶ Πύρρωνα ἐζήλου καὶ διαλεκτικῆς εἴχετο καὶ τῶν
Ἐρετρικῶν ἥπτετο λόγων· ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ'
Ἀρίστωνος· 15

Πρόσθε Πλάτων, †ὄπισθε δὲ† Πύρρων, μέσος Διόδωρος

34 Χίου τινός, ἀειδοῦς ὄντος καὶ ὑπολαμβάνοντος εἶναι
καλοῦ καὶ ἐν χλανίσιν ἀεὶ ἀναστρεφομένου, εἰπόντος †ἣ†
οὐ δοκεῖ αὐτῷ ὁ σοφὸς ἐρασθήσεσθαι, ἔφη· "Πότερον
οὐδὲ ἂν οὕτω καλὸς ᾖ τις ὥσπερ σύ, οὐδὲ ἂν οὕτω καλὰ 20
ἱμάτια ἔχῃ;" Ἐπεὶ δὲ καὶ παρακίναιδος ὢν ὡς εἰς βαρὺν
τὸν Ἀρκεσίλαον ἔφη·

35 Ἔξεστ(ιν) ἐρωτᾶν, πότνιά, σ(ε) ἢ σιγὴν ἔχειν;

1–2 *Suda,* 3816 Εὐφυᾶ **8** ὃν – **10** ἐμπτῆναι : *Suda,* 213 Θεώρημα διαλεκτικόν et 221 Τεθεωρημένη **16** *SVF* I, Fr. 343; *Suppl. Hell.* 204. Cf. *Iliad.* 6.181 **23** et **p. 249.2–3** *TrGF,* Adespota Frr. 282 et 283 Kannicht–Snell

5 ὁπότε ἂν BPF **8** ῥάθυμον : νωθρὸν BPF et *Suda* **11** ἐθεράπευεν : ἐθεράπευσεν BPF **13** ἐζήλου : ἐζηλώκει BPF **14** ἥπτετο scripsi ex BPF : εἴχετο **Φ** **16** ὄπισθε δὲ **Φ** et PF : ὄπιθε δε B[1] : ὄπιθεν Casaubon | μέσος **Φ** et BPF : μέσσος Casaubon **17** ἀηδοῦς **Φ**, corr. Lambros **18** ἣ **Φ** et B[2]PF : εἰ B[1] : ὅτι Stephanus **23** πότνιά σε scripsi ex ΔΠ et F : πότνιέ σε **Φ** : ποτνιᾶσαι B[1]P[1] | ἔχειν **Φ** et BPF : ἔχω Nauck

ὑπολαβὼν ἔφη·

Γύναι, τί μοι τραχεῖα κ(αὶ) οὐκ εἰlθισμένως λαλεῖς; f. 59[v]

Στωμύλου ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη·

5 Ἀκόλαστα ὁμιλεῖν γίνεται δούλων τέκνα.

Ἄλλου δὲ πολλὰ φλυαροῦντος, οὐδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη· τισὶν οὐδὲ ἀπεκρίνετο. Πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν ἔφη·

Λήθουσι γάρ τοι καὶ ἀνέμων διέξοδοι
10 θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ·

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους.

Ἤρα Λεωχάρους τοῦ Μυρλεανοῦ καὶ πρὸς τοὺς κωμάσαντας εἶπεν αὐτὸς μὲν θέλειν ἀνοῖξαι, ἐκεῖνον δὲ διακωλύειν. ⟨Παραιτούμενος⟩ τὰς ἐπικυλικίους ἐξηγήσεις **41** **42**
15 ⟨*⟩. Χίου νεανίσκου μὴ ἀρεσκομένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου, αὐτὸς ἀπαγαγὼν συνέστησε τῷ φιλοσόφῳ, παραινέσας εὐτακτεῖν. Πρὸς τὸν πυθόμενον διὰ τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὴν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε, ἔφη· "Ἐκ μὲν γὰρ ἀνδρῶν **43**
20 Γάλλοι γίνονται, ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται."

5 Eurip. Fr. 976 N². Cf. Plut. *De cup. divit.* 526 C **9–10** Sophocl. Fr. 477 Radt. Cf. Plut. *Qu. conviv.* 718 A; *Suda,* 932 Διέξοδοι; Zon. 517 14 cf. *Suda,* 2665 Κύλιξ **19–20** *Suda,* 41 Γάλλος

2 καὶ οὐκ **Φ** et BPF : κοὐκ G. Hermann, Lambros **4** ἀγενοῦς **Φ** **5** ἀκόλασθ' Matthiae, Lambros | γίνεται **Φ** et PF : γείνεται B : γίγνεται Plut., Lambros **6** ἄλλου **Φ** et BF : λάλου PV **9** πλήθουσι Plut. | κἀνέμων Plut., Lambros **12** λεωχάρους **Φ** et PF : λεοχάρους B : Κλεοχάρους Valckenaer **14** παραιτούμενος supplevi ex BPF | post ἐξηγήσεις lac. indicavi (cf. DL 4.42) **15** ἀρεσκομένου **Φ** : εὐαρεστουμένου BPF

44 Ἐτελεύτησε δὲ ἄκρατον ἐμφορηθεὶς πολὺν καὶ παρακόψας.

39. ΒΙΩΝ

46 Βίωνα τὸν Βορυσθενίτην ἐρωτήσαντος Ἀντιγόνου

Τίς πόθεν εἶς ἀνδρῶν; Πόθι τοι πόλις ἠδὲ τοκῆες; 5

αἰσθόμενος ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτόν· "Ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος (ἐδήλου δὲ τὸν ταριχέμπορον), γένος Βορυσθενίτης, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ὁ τοιοῦτος ἂν 10 γήμαι, ἀπ' οἰκήματος. Ἔπειτα ὁ πατὴρ παρατελωνησάμενός τι πανοίκιον ἐπράθη μεθ' ἡμῶν. Καί με ἀγοράζει τις | f. 60ʳ ῥήτωρ νεώτερον ὄντα καὶ εὔχαριν· ὃς καὶ ἀποθνήσκων 47 κατέλιπέ μοι πάντα. Κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγξύσας Ἀθήναζε ἦλθον καὶ ἐφι- 15 λοσόφησα.

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

Ταῦτά ἐστι τὰ κατ' ἐμέ, ὥστε παυσάσθωσαν οἱ ἱστοροῦντες αὐτά." Οὗτος ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηρᾶσαι μειράκιον, "Οὐχ οἷόν τε," εἶπεν, "ἁπαλὸν τυρὸν ἀγκίστρῳ 20 ἐπισπᾶσθαι."

48 Ἐρωτηθεὶς εἰ γαμητέον, ἔφη· "Ἂν μὲν γήμῃς αἰσχράν, ἕξεις ποινήν· ἂν δὲ καλήν, ἕξεις κοινήν." Τὸ γῆρας ἔλεγεν

1 *Suda,* 370 Παρακόψας **5** *Odyss.* 1.1.170; 10.325 **6–8** ταριχέμπορον : *Suda,* 249 Ἀγκώνη **8** ἔχων – **11** ἀπ' οἰκήματος : *Suda,* 1377 Σύμβολον **17** *Iliad.* 6.211 **22–23** cf. 6.3

6 αἰσθανόμενος F | ἐμοῦ **Φ** et BPF, *Suda* : ἐμοὶ Cobet **8** ἐδήλου : διεδήλου BPF et *Suda* **11** γήμαι **Φ** : γῆμαι BPF **12** πανοίκιον **Φ** : πανοίκιος BPF **18** ἐστι **Ψ** : incertum in **Φ** **19** post αὐτά pergunt BPF σκόπει δέ με ἐξ ἐμαυτοῦ **20** εἶπεν : εἰπεῖν BPF **22** γαμητέον : γήμαι B[1] : γῆμαι B[2]PF

ὅρμον εἶναι κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν.
Τὴν δόξαν †ἐτῶν† μητέρα εἶναι· τὸ κάλλος ἀλλότριον ἀ-
γαθόν· τὸν πλοῦτον νεῦρα πραγμάτων. Πρὸς τὸν τὰ χωρία
κατεδηδοκότα, "Τὸν μὲν Ἀμφιάραον," ἔφη, "ἡ γῆ κατέπιε,
5 σὺ δὲ τὴν γῆν." Κατεγίνωσκε τῶν κατακαιόντων μὲν τοὺς
ἀνθρώπους ὡς ἀναισθήτους, †παρακαιόντων† δὲ ὡς αἰσ-
θανομένους. Ἔλεγεν ὅτι αἱρετώτερόν ἐστι τὴν ὥραν **49**
ἄλλῳ χαρίζεσθαι ἢ ἀλλοτρίας ἀποδρέπεσθαι· καὶ γὰρ καὶ
εἰς σῶμα τὸν τοιοῦτον βλάπτεσθαι καὶ εἰς ψυχήν. Διέ-
10 βαλλε τὸν Σωκράτην, λέγων ὡς εἰ μὲν εἶχεν Ἀλκιβιάδου
χρείαν καὶ ἀπείχετο, μάταιος ἦν· εἰ δὲ μὴ εἶχεν, οὐδὲν
ἐποίει παράδοξον. Εὔκολον ἔφασκε τὴν εἰς ᾅδου ὁδόν·
καταμύοντας γοῦν ἀπιέναι. Τὸν Ἀλκιβιάδην μεμφόμενος
ἔλεγεν ὡς νέος μὲν ὢν τοὺς ἄνδρας ἀπάγοι τῶν γυναικῶν,
15 νεανίσκος δὲ γενόμενος τὰς γυναῖκας τῶν ἀνδρῶν. Ἐν
Ῥόδῳ τὰ ῥητορικὰ διασκούντων Ἀθηναίων τὰ φιλοσο-
φούμενα ἐδίδασκε· πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη·
"Πυροὺς ἐκόμισα καὶ κριθὰς πιπράσκω;"

Ἔλεγε | τοὺς ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι εἰ ὁλο- **50** f. 60v
20 κλήροις καὶ μὴ τετρημένοις ἀγγείοις ὑδροφόρουν. Πρὸς
τὸν ἀδολέσχην λιπαροῦντα συλλαβέσθαι αὐτῷ, "Τὸ ἱκα-
νόν σοι ποιήσω," φησίν, "ἐὰν παρακλήτους πέμψῃς καὶ
αὐτὸς μὴ ἔλθῃς." Πλέων μετὰ πονηρῶν λῃσταῖς περιέπε-
σε· τῶν δέ, "Ἀπολώλαμεν," εἰπόντων, "ἐὰν γνωσθῶμεν,"
25 "Ἐγὼ δέ," φησίν, "ἐὰν μὴ γνωσθῶμεν." Τὴν οἴησιν ἔλεγε
προκοπῆς ἐγκοπήν. Πρὸς τὸν σμικρολόγον πλούσιον, "Οὐχ
οὗτος," ἔφη, "τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον."
Ἔλεγε τοὺς σμικρολόγους τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων
ἐπιμελεῖσθαι, ὡς δὲ ἐξ ἀλλοτρίων μηδὲν ὠφελεῖσθαι.
30 Τοσοῦτον διαφέρειν τὴν φρόνησιν τῶν ἄλλων ἀρετῶν, **51**

25–26 Bionis Fr. 20 Kindstrand. Cf. 22 B 131 DK

1 κακὸν F **2** ἐτῶν Φ et BPF, corruptum **6** παρακα(ι)-
όντων Φ et BPF[2] : παρακαλούντων Menagius **9** τὸν τοιοῦ-
τον Φ : om. BPF | διέβαλε F

ὅσον τὴν ὅρασιν τῶν ἄλλων αἰσθήσεων. Μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὸ γῆρας, εἰς ὃ πάντες ἐλθεῖν εὐχόμεθα. Πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, "Ἢ σοὶ κακὸν γέγονεν," ἔφη, "ἢ ἄλλῳ ἀγαθόν." Τὴν †δυσσέβειαν† πονηρὸν ἔλεγεν εἶναι σύνοικον τῇ παρρησίᾳ· 5

δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομός τις ᾖ.

52 Διὰ τὸ παντὶ εἴδει λόγου τοῦτον κεκρᾶσθαί φασι λέγειν τὸν Ἐρατοσθένην ὡς πρῶτος Βίων φιλοσοφίαν ⟨ἀνθινὰ⟩ ἐνέδυσεν. Εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα· 10

Ὦ πέπον Ἀρχύτα, ψαλληγενές, ὀλβιότυφε,
τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρότατ(ε) ἀνδρῶν.

53 Ἦν δὲ πολυτελής· καὶ πόλιν ἐκ πόλεως ἤμειβεν, ἐνίοτε καὶ φαντασίαν ἐπιτεχνώμενος. Ἐν γοῦν Ῥόδῳ τοὺς ναύτας ἔπεισε σχολαστικὰς ἐσθῆτας ἀναλαβεῖν καὶ 15 ἀκολουθῆσαι αὐτῷ· σὺν οἷς εἰσβαλὼν εἰς τὸ γυμνάσιον περίβλεπτος ἦν. Εἰώθει τε νεανίσκων τινῶν υἱοθεσίας f. 61[r] ποιεῖσθαι εἰς τὸ ἀποχρῆσθαι αὐτοῖς ἔς τε τὰς | ἡδονὰς καὶ 54 ὥστε φυλάττεσθαι ὑπ' εὐνοίας αὐτῶν. Βιττίων, εἷς τῶν συνήθων αὐτῷ, λέγεται πρὸς Μενέδημον εἰπεῖν· "Ἐγώ 20 τοι, ὦ Μενέδημε, νύκτωρ συνδέομαι Βίωνι καὶ οὐδὲν ἄτοπον δοκῶ γε πεπονθέναι." Πολλὰ δὲ καὶ ἀθεώτερον

6 Eurip. *Hippol.* 424 **11–12** Bionis Fr. 7 Kindstrand **11** cf. *Iliad.* 3.182 Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον

3 ἐσκυθρωπακότα **Φ** et P : ἐσκυθρωπακέναι B : σκυθρωπάζοντα F **4** ἢ ss. Φ[1] | δυσσέβειαν **Φ** et BPF : δυσγένειαν Menag. **6** θρασύστομος **Φ** et BP : θρασύσπλαγχνος F et Eurip. **8** ἀνθινὰ supplevit Lambros ex BPF **9** ἐνέδυσεν **Φ** et F : ἐνδύσαι B[2]P[1] **13** δὲ : τε BPF **16** εἰσβαλὼν : εἰσβάλων B : εἰσβάλλων PF **19** βιττίων **Φ** et BP : βιτίων F : Βητίων *Frob.* **20** συνήθων ὑπάρχων αὐτῶ F

προσεφέρετο τοῖς ὁμιλοῦσιν αὐτῷ, Θεοδώρου κατακούσας τοῦ Ἀθέου. Καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον ἐν †Χαλδίᾳ† περίαπτα λαβεῖν ἐπείσθη καὶ μεταγινώσκειν ἐφ' οἷς ἐπλημμέλησεν εἰς τὸ θεῖον.

5 ## 40. ΛΑΚΥΔΗΣ

Λακύδης ὁ Κυρηναῖος, ἐπειδάν τι προέλοι τοῦ ταμείου, σφραγισάμενος πάλιν τὸν δακτύλιον εἴσω διὰ τῆς ὀπῆς ἐρρίπτει. Μαθόντα δὴ τοῦτο τὰ θεραπόντια ἀπεσφράγιζε καὶ ὅσα ἠβούλετο ἐβάσταζεν· ἔπειτα τὸν δακτύλιον (59)
10 τὸν αὐτὸν τρόπον ἐνίει εἰς τὴν στοάν. Ἀττάλου μεταπεμπομένου τοῦτόν φασιν εἰπεῖν τὰς εἰκόνας πόρρωθεν δεῖν θεωρεῖσθαι. Ἐτελεύτησε δὲ παραλυθεὶς ἐκ πολυποσίας. (60) (61)

41. ΚΑΡΝΕΑΔΗΣ

Καρνεάδης τὰ Χρυσίππου βιβλία ἀναγνούς, ἐπιεικῶς (62)
15 αὐτοῖς ἀντέλεγε καὶ εὐημέρει τοσοῦτον, ὥστε ἐκεῖνο ἐπιλέγειν·

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν ἐγώ.

Οὗτος ἦν μεγαλοφωνότατος, ὥστε τὸν γυμνασίαρχον (63) προσπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δὲ εἰπεῖν· "Καὶ δὸς
20 μέτρον φωνῆς." Τὸν δ' εὐστόχως ἀμείψασθαι· "Ἔχεις μέτρον τοὺς ἀκούοντας." Τούτου τὴν παλλακὴν ἐπείρα Μέντωρ ὁ Βιθυνός, μαθητὴς ὢν αὐτοῦ· ὁ δὲ μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν·

Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής, (64)
25 Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·

7–8 *Suda*, 174 Βασταχθείη **17** cf. DL 7.183 **24–25** cf. *Odyss.* 4.384 et 2.268 vel 401

1 προσεφέρετο **Φ** et BPF : προεφέρετο Cobet | αὐτῷ om. BPF **1–2** θεοδώρου κατακούσας τοῦ ἀθέου **Φ** : τοῦτο (δὲ F) θεοδώρειον ἀπολαύσας BPF **3** χαλδία **Φ** : χαλδὶ B : χάλδη P[1] : χαλκίδι FP[3] | μετεγίνωσκεν F **21** τὸν δ' εὐστόχως : ὅθεν εὐστόχως ἑλόντα BPF

τοῦτον σχολῆς τῆσδ(ε) ἐκκεκηρῦχθαι λέγω.

Καὶ ὃς ἀναστὰς ἔφη·

Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.

f. 61ᵛ Ἔλεγε συνεχῶς· | "Ἡ συστήσασα φύσις καὶ διαλύσει." Μαθὼν Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρ- 5 ωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς καί φησι· "Δότε οὖν κἀμοί·" εἰπόντων δέ, "Τί;", "Οἰνόμελι," εἶπε. Τελευτῶντος δ' αὐτοῦ ἔκλειψις ἐγένετο σελήνης, συμπάθειαν, ὡς ἂν εἴποι τις, αἰνιττομένης, τοῦ μεθ' ἥλιον καλλίστου 66 τῶν ἄστρων. Λέγεται νυκτὸς καὶ τὰς ὄψεις ὑποχυθῆναι 10 καὶ ἀγνοεῖν· κελεῦσαί τε τὸν παῖδα λύχνον ἅψαι· εἰσκομίσαντος δὲ καὶ εἰπόντος, "Κεκόμικα," "Οὐκοῦν," εἰπεῖν, "σὺ ἀναγίνωσκε."

ΤΟΜΟΣ Ε´

42. ΑΡΙΣΤΟΤΕΛΗΣ 15

5.2 Ἀριστοτέλης ἔτι περιόντος Πλάτωνος ἀπέστη· ὥστε φασὶν ἐκεῖνον εἰπεῖν· "Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε 4 καθάπερ τὰ γεννηθέντα πωλάρια τὴν μητέρα." Ἀριστοτέλης συστήσας Ἀλεξάνδρῳ τῷ Μακεδόνι τὸν συγγενῆ Καλλισθένη καὶ ἰδὼν αὐτὸν παρρησιαστικώτερον λα- 20 λοῦντα τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ, ἐπιπλήξας εἶπεν·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις.

Καὶ δὴ καὶ ἐγένετο. Δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρᾷ περιήγετο 25 γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι 9 παραβληθεὶς κατέστρεψεν. Ἔλεγεν ὡς Ἀθήνησιν

3 cf. *Iliad.* 2.52 **23** *Iliad.* 18.95

4 συνεχὲς BPF **5** ἀντίπατρον Ψ, in Φ legi non potest **9** αἰνιττομένης Φ BF : αἰνιτομένου V, *Frob.* **20** καλλισθένη Φ et BP : καλλισθένην F

ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ †νίκῃ.†

Διατιθέμενος οὕτως ἔγραψεν· "Ἔσται μὲν εὖ· εἰ δέ τι 11
συμβαίῃ, τάδε διέθετο Ἀριστοτέλης." Τοῦτον ἀσκίον 16
θερμοῦ ἐλαίου ἐπιτιθέναι τῷ στομάχῳ φασί· καὶ ὁπότε
5 κοιμῷτο, σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα
λεκάνης ὑποκειμένης, ἵν' ἐκπιπτούσης τῆς σφαίρας εἰς
τὴν λεκάνην ὑπὸ τοῦ ψόφου ἐξεγείροιτο.

Ἐρωτηθεὶς τί περιγίνεται κέρδος τοῖς | ψευδομένοις, 17 f. 62r
""Οταν," ἔφη, "λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι." Ὀ-
10 νειδιζόμενος ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν,
"Οὐ τὸν τρόπον," εἶπεν, "ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα."
Εἰώθει λέγειν πρὸς τοὺς φοιτῶντας ὡς ἡ μὲν ὅρασις ἀπὸ
τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ
τῶν μαθημάτων. Τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι
15 πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ
οὔ. Ἐρωτηθεὶς τί γηράσκει ταχύ, "Χάρις," ἔφη. Ἐρωτη- 18
θεὶς τί ἐστιν ἐλπίς, "Ἐγρηγορότος," ἔφη, "ἐνύπνιον." Διο-
γένους ἰσχάδα αὐτῷ διδόντος νοήσας ὡς, εἰ μὴ λάβῃ,
χρείαν ἐκεῖνος εἴη μεμελετηκώς, λαβὼν ἔφη Διογένη μετὰ
20 τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι. Πάλιν τε
διδόντος λαβὼν καὶ μετεωρίσας ὡς τὰ παιδία εἰπών τε,
"Μέγας Διογένης," ἀπέδωκεν αὐτῷ. Τριῶν ἔφη δεῖ⟨ν⟩ παι-
δείᾳ· φύσεως, μαθήσεως, ἀσκήσεως. Ἀκούσας ὑπό τινος
λοιδορεῖσθαι, "Ἀπόντα με," ἔφη, "καὶ μαστιγούτω."

1 *Odyss.* 7.120–121

1 ὄχνη bis **Φ** et P[1]FD : ὄγχνη bis BP[2] | νίκη **Φ** et BP[1] : σύκω FP[4] **2** ἔσται **Φ** in mg et BPF : εἴη **Φ** in textu **2–3** εἰ δέ τι συμβαίη **Φ Ψ** : ἐὰν δέ τι συμβαίνη BPF **3** διέθετο **Φ** et BP : διετίθετο F **6** ἐκπιπτούσης : ἐκπεσούσης BPF **7** ἐξεγείροιτο : ἐξέγροιτο BPF **13** ἀέρος **Φ** et BP : om. F : secl. Cobet **16** οὔ : μὴ BPF **18** λάβη : λάβοι **ΔΠ** et BPF **19** ἐκεῖνος om. BPF | διογένη **Φ** et BP : διο-γένην F **20** τε **Φ** et BP : δὲ P **22** δεῖ⟨ν⟩ scripsi ex BPF : δεῖ **Φ**

19 Τὸ κάλλος ἔλεγε †δῶρον εὐμορφίας·† Σωκράτης δὲ ὀλιγοχρόνιον τυραννίδα· Πλάτων προτέρημα φύσεως· Θεόφραστος σιωπῶσαν ἀπάτην· Θεόκριτος ἐλεφαντίνην ζημίαν· Καρνεάδης ἀδορυφόρητον βασιλείαν. Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, 5 ἔφη· "Ὅσῳ οἱ ζῶντες τῶν τεθνεώτων." Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων· τοὺς μὲν γὰρ τὸ f. 62ᵛ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι. | Πρὸς τὸν 10 καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, "Οὐ τοῦτο," ἔφη, "δεῖ σκοπεῖν, ἀλλ' ὅστις μεγάλης πατρίδος ἄξιός ἐστιν."

20 Ἐρωτηθεὶς τί ἐστι φίλος, ἔφη· "Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα." Τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δ' οὕτως ἀναλίσκειν ὡς αὐ- 15 τίκα τεθνηξομένους. Πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν, "Τυφλοῦ," ἔφη, "τὸ ἐρώτημα." Ἐρωτηθεὶς τί ποτ' αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν." Ἐρωτηθεὶς πῶς ἂν προκόπ- 20 τοιεν οἱ μαθηταί, ἔφη· "Ἐὰν τοὺς προέχοντας διώκοντες **21** τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν." Ἔλεγεν ἑκάστοτε· "Ὦ φίλοι, οὐδεὶς φίλος."

43. ΘΕΟΦΡΑΣΤΟΣ

37 Θεόφραστος τοσοῦτον ἀποδοχῆς ἠξιοῦτο παρ' Ἀθη- 25 ναίοις, ὥστε Ἁγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γρά- **39** ψασθαι, μικροῦ καὶ προσῶφλεν. Οὗτος ἔφη θᾶττον δεῖν

4–6 cf. 1.69; 2.69 **18–20** cf. Cic. *De re publica* 1.3 (De Xenocrate)

1 δῶρον εὐμορφίας Φ et BP : τοῦτο δῶρον εὐμορφίας F : ⟨θεοῦ⟩ (add. Cobet) δῶρον εὐμορφίαν Mericus Casaubon : ⟨φύσεως⟩ δῶρον ⟨τὴν⟩ εὐμορφίαν scripsi **18** περιγέγονεν Φ et B P : περιεγένετο F

πιστεύειν ἵππῳ ἀχαλινώτῳ ἢ λόγῳ ἀσυντάκτῳ. Πρὸς τὸν ἐν συμποσίῳ σιωπῶντα ἔφη· "Εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως." Ἐτελεύτησε δὲ ἐπειδὴ ὀλίγον ἀνῆκε τῶν πόνων. Καὶ ἔστιν ἐπίγραμμα εἰς 5 αὐτόν· **40**

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον·
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

10 Φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν εἴ τι ἐπισκήπτει, εἰπεῖν· "Ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ⟨ὅτι⟩ πολλὰ τῶν ἡδέων ὁ | βίος διὰ τὴν δόξαν καταλαζονεύεται. Ἡμεῖς γὰρ ὁπότ' ἠρχόμεθα ζῆν, τότ' ἀποθνῄσκομεν. Οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. Ἀλλ' 15 εὐτυχεῖτε καὶ ἤτοι τὸν λόγον ἄφετε (πολὺς γὰρ ὁ πόνος), ἢ καλῶς αὐτοῦ πρόστητε· μεγάλη γὰρ ἡ δόξα. Τὸ δὲ κενὸν τοῦ βίου πλεῖον τοῦ συμφέροντος. Ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον, ὑμεῖς δ' ἐπισκέψασθε τί ποιητέον." Ταῦτα εἰπὼν ἀπέπνευσε, διαθέμενος μηδὲν 20 περίεργον μήτε περὶ τὴν ταφὴν μήτε περὶ τὸ μνημεῖον γενέσθαι. Καὶ αὐτὸν Ἀθηναῖοι πανδημεὶ παρέπεμψαν ποσί, τὸν ἄνδρα τιμήσαντες. f. 63r **41** **53** **41**

44. ΣΤΡΑΤΩΝ

Στράτωνα τὸν Λαμψακηνὸν τοσοῦτον φασὶ λεπτὸν γε- 25 νέσθαι, ὡς ἀναισθήτως τελευτῆσαι. **60**

45. ΛΥΚΩΝ

Λύκων ὁ Τρωαδεὺς ἔλεγε δεῖν παρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ καὶ τὴν φιλοτιμίαν ὡς τοῖς ἵπποις μύωπα καὶ **65**

6–9 *Anth. Pal.* 7.110 **8–9** *Suda,* 199 Θεόφραστος

1 ἀχαλινώτω : ἀχαλίνω BPF **11** ὅτι add. Lambros ex BPF **13** ἠρχόμεθα **Φ** et BPF : ἀρχόμεθα Stephanus

χαλινόν. Τούτου τὸ ἐκφραστικὸν καὶ †περιγεγονὸς† ἐν τῇ ἑρμηνείᾳ φαίνεται κἀνταῦθα· φησὶ γὰρ τοῦτον τὸν τρόπον ἐπὶ παρθένου πενιχρᾶς· "Βαρὺ φορτίον πατρὶ κόρη διὰ σπάνιν προικὸς ἐκτρέχουσα τὸν ἀκμαῖον τῆς ἡλικίας
67 καιρόν." Ἦν δὲ γυμναστικώτατος τήν τε πᾶσαν σχέσιν 5
ἀθλητικὴν ἔφαινεν, ὠτοθλαδίας καὶ ἐμπινὴς ὤν.

46. ΔΗΜΗΤΡΙΟΣ

75 Δημήτριος ὁ Φαληρεὺς εἰκόνων ἠξιώθη χαλκῶν ξʹ
76 πρὸς ταῖς τʹ ἐν Ἀθήναις. Ὕστερον δὲ καὶ αὐτὸς ἐπεσκο-
77 τήθη ὑπὸ τοῦ φθόνου. Ἐπιβουλευθεὶς γὰρ ὑπό τινων 10
δίκην θανάτου οὐ παρὼν ὦφλεν. Οὐ μὴν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ, ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκόν, κατασπάσαντες αὐτοῦ τὰς εἰκόνας καὶ τὰς μὲν ἀποδόμε-
f. 63ᵛ νοι, | τὰς δὲ βυθίσαντες, τὰς δὲ κατακόψαντες εἰς ἀμίδας.
76 Τοῦτον λέγεται τὰς ὄψεις ἀποβαλόντα ἐν Ἀλεξανδρείᾳ 15
78 κομίσασθαι αὖθις παρὰ τοῦ Σαράπιδος. Ὑπνώττων δὲ ὑπ' ἀσπίδος ἐδήχθη καὶ οὕτω τὸν βίον μετέθηκεν.
82 Ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ Ἀθηναῖοι κατέστρεψαν, "Ἀλλ' οὐ τὴν ἀρετήν," ἔφη, "δι' ἣν ἐκείνας ἀνέστησαν." Ἔλεγε μὴ μικρὸν εἶναι μέρος τὰς ὀφρῦς· ὅλῳ γοῦν 20
ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ. Οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλόν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν αὐτὸν Τύχην. Ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἐν πολιτείᾳ λόγον.

6 *Suda,* 265 Ὠτοκάταξις **9 – 11** ὦφλεν : *Suda,* 510 Φθόνος

1 περιγεγονὸς **Φ** et BPF : περιγεγωνὸς Casaubon **2** κἀνταῦθα : κἀνθάδε BPF **6** ἔφαινεν : ἐπιφαίνων BPF **9** ἐπεσκοτήθη **Φ** et B²PF : ἐπεσκοτήσθη B¹ : ἐσκοτίσθη *Suda* **13** ἀπολόμενοι B **17** ἐδήχθη : τὴν χεῖρα δηχθεὶς BPF | οὕτω **Φ** : om. BPF **23** ἐν πολιτεία **Φ** : ἐν πολιτείαις BP : ἐν πολίταις F | λόγον : ἰσχύειν λόγον P F : ἰσχύειν δῶρον B

Ἰδὼν νεανίσκον ἄσωτον, "Ἰδού," ἔφη, "τετράγωνος Ἑρμῆς, ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα." Τῶν τετυφωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν, τὸ δὲ φρόνημα καταλείπειν. Τοὺς νέους ἔφη δεῖν ἐπὶ μὲν τῆς
5 οἰκίας τοὺς γονέας αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς. Τοὺς φίλους ἐπὶ μὲν **83** τὰ ἀγαθὰ παρακαλουμένους ἰέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους.

47. ΗΡΑΚΛΕΙΔΗΣ

10 Ἡρακλείδης ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου ἐσθῆτί τε **86** μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν ἀλλὰ Πομπικὸν καλεῖσθαι. Οὗτος ἔθρεψε δράκοντα ἐκ νέου καὶ αὐξηθέντος· **89** ἐπειδὴ τελευτᾶν ἔμελλεν, ἐκέλευσέ τινι τῶν πιστῶν
15 αὐτοῦ τὸ σῶμα κατακρύψαι, τὸν δὲ δράκοντα | ἐπὶ τῆς f. 64r κλίνης θεῖναι, ἵνα δόξειεν εἰς θεοὺς μεταβεβηκέναι. Ἐγένετο δὲ πάντα· καὶ μεταξὺ παραπεμπόντων τὸν Ἡρα- **90** κλείδην τῶν πολιτῶν καὶ εὐφημούντων, ὁ δράκων ἀκούσας τῆς ἐπιβοῆς ἐξέδυ τῶν ἱματίων καὶ διετάραξε τοὺς
20 πλείους. Ὕστερον μέντοι ἐξεκαλύφθη πάντα καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν.

Τινὲς δέ φασιν ὡς λιμοῦ τοὺς Ἡρακλεώτας κατασχόν- **91** τας ὁ Ἡρακλείδης χρήμασι διαφθείρας τήν τε Πυθίαν καὶ τοὺς θεωροὺς ἔπεισεν εἰπεῖν ἀπαλλαγήσεσθαι τῶν κα-
25 κῶν, εἰ ζῶν μὲν Ἡρακλείδης χρυσῷ στεφάνῳ στεφανωθείῃ πρὸς αὐτῶν, ἀποθανὼν δὲ ὡς ἥρως τιμῷτο. Ἐκομίσθη ὁ δῆθεν χρησμός, καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐ-

4 καταλείπειν **Φ** et F : καταλιπεῖν BP **7** ἰέναι **Φ** : ἀπιέναι BPF **13** αὐξηθέντα BPF **17** πάντα **Φ** et BP : ταῦτα F **19** ἐτάραξε F **20** πλείους : πλείστους BPF **22** λιμοῦ **Φ** et PF : λοιμοῦ B **24** εἰπεῖν : ἀνειπεῖν BP F | τῶν κακῶν **Φ** et BP : τοῦ κακοῦ F **25** στεφανωθείη **Φ** et P : στεφανωθῇ BF

τόν. Ἀυτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης ἀπόπληκτος ἐγένετο, οἵ τε θεωροὶ κατακυλισθέντες ἐφθάρησαν. Ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ὥραν κατιοῦσα ἐς τὸ ἄδυτον καὶ ἑνὶ τῶν δρακόντων δηχθεῖσα παραχρῆμα ἀπέπνευσε. 5

92 Διονύσιος (ἢ Σπίνθαρος, ὡς ἔνιοι) γράψας τὸ Παρθενοπαῖον ἐπέγραψε Σοφοκλέους. Ὁ δ' Ἡρακλείδης πιστεύσας εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς **93** Σοφοκλέους. Αἰσθόμενος δὴ ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός· τοῦ δ' ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλος· οὗτος δ' ἦν ἐρώμενος Διονυσίου. Ὡς δ' ἔτι ἀπιστῶν ἔλεγε κατὰ τύχην ἐνδέχεσθαι οὕτως ἔχειν, πάλιν ἀντεπέστειλεν ὁ f. 64ᵛ Διονύσιος ὅτι "Καὶ ταῦτα | εὑρήσεις· 10

— Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ. 15
— Ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται."

Καὶ πρὸς τούτοις· "Ἡρακλείδης γράμματα οὐκ ἐπίσταται καὶ ἐπὶ τούτοις οὐκ ᾐσχύνθη."

ΤΟΜΟΣ ϛ´

48. ΑΝΤΙΣΘΕΝΗΣ 20

6.1 Ἀντισθένης ὀνειδιζόμενος ὡς οὐκ ἰθαγενής, "Καὶ ἡ μήτηρ τῶν θεῶν," εἶπε, "Φρυγία ἐστίν." Ἐδόκει γὰρ εἶναι Θράττης μητρός. Οὗτος τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχ- **2** λιῶν καὶ ἀττελέβων εὐγενεστέρους. Παραβαλὼν Σωκράτει τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς 25

7–12 *Suda*, 449 Παραστιχίς

2 κατακυλισθέντες Φ et BPF : καταλευσθέντες Kuehn | διεφθάρησαν BPF **4** καὶ ἐπιστᾶσα ἑνὶ BPF **9** δὴ Φ et B : δὲ P et *Suda* : om. F **16** δ' Φ et F : θ' BP **18** καὶ ἐπὶ τούτοις οὐκ Φ : οὐδ' BPF

γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. Οἰκῶν τε ἐν Πειραιεῖ καθ' ἑκάστην ἡμέραν ἀνιὼν τοὺς μ´ σταδίους ἤκουε Σωκράτους.

Οὗτος πρῶτος ὡρίσατο λόγον εἰπών· "Λόγος ἐστὶν ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν." Ἔλεγέ τε συνεχῶς· "Μανείην μᾶλλον ἢ ἡσθείην·" καί· "Χρὴ τοιαύταις πλησιάζειν γυναιξὶν αἳ χάριν εἴσονται." Πρὸς τὸ Ποντικὸν μειράκιον μέλλον φοιτᾶν αὐτῷ καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, ἔφη· "Βιβλαρίου καινοῦ καὶ γραφείου καινοῦ καὶ πινακίου καινοῦ," τὸν νοῦν παρεμφαίνων. Ἀκούσας ὅτι Πλάτων κακῶς αὐτὸν λέγει, "Βασιλικόν," ἔφη, "καλῶς ποιοῦντα κακῶς ἀκούειν." Μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι, "Τί οὖν," ἔφη, "οὐκ ἀποθνῄσκεις;" Ὀνειδιζόμενος ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, "Οὐδὲ γὰρ ἐκ δύο," ἔφη, "παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι." Ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς, ἔφη· "Ὅτι ἀργυρέᾳ | αὐτοὺς ἐκβάλλω ῥάβδῳ." Ἐρωτηθεὶς διὰ τί τοῖς μαθηταῖς ἐπιπλήττει πικρῶς, "Καὶ οἱ ἰατροί," φησί, "τοῖς κάμνουσιν." Ἰδών ποτε μοιχὸν φεύγοντα, "Ὡς δυστυχής·" εἶπε, "πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἠδύνασο." Κρεῖττον ἔλεγε εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ νεκρούς, οἱ δὲ ζῶντας ἐσθίουσιν.

Ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη· "Εὐτυχοῦντα ἀποθανεῖν." Γνωρίμου πρὸς αὐτὸν ἀποδυρομένου ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, "Ἔδει γάρ," ἔφη, "ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χάρταις καταγράφειν." Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίσεθαι. Τοὺς βουλομέ-

[margin: line numbers 5, 10, 15, 20, 25; section numbers 3, 4, 5; f. 65r]

3 ἤκουε **Φ** et P : ἤκουσε BF **5** συνεχῶς **Φ** et F : συνεχὲς BP | μανείην ἂν F **9** καινοῦ ter F : καὶ νοῦ ter **Φ** et BP **21** ἐδύνασο **Φ** et BP : ἴσχυες F **24** μακαριώτερον **Φ** et BPF : μακαριώτατον Lambros **25** ἀποδυρομένου **Φ** et F : ἀποδυραμένου BP **26** ἀπολωλεκὼς **Φ** et BP : ἀπολέσας F **27** χάρταις **Φ** et BP : χαρτίοις F | γράφειν F

νους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως. Τοτ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. Ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν ἔφη· "Ἀγωνιῶ μή τι κακὸν εἴργασμαι."

6 Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους 5 ἰσχυροτέραν εἶναι. Τοιαῦτα ἔφη δεῖν ἐφόδια ποιεῖσθαι, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει. Ὀνειδιζόμενος ἐπὶ τῷ πονηροῖς συγγενέσθαι, "Καὶ οἱ ἰατροί," φησί, "μετὰ τῶν νοσούντων εἰσίν, ἀλλ' οὐ πυρέττουσιν." Ἄτοπον ἔφη τοῦ μὲν σίτου τὰς αἴρας ἐκλέγειν καὶ ἐν τῷ πολέμῳ τοὺς 10 ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Τὸ f. 65ᵛ δύνασθαι ἑαυτῷ ὁμιλεῖν." Εἰπόντος αὐτῷ τινος | παρὰ πότον "Ἆισον," "Σύ μοι," φησίν, "αὔλησον." Διογένει

7 χιτῶνα αἰτοῦντι πτύξαι προσέταξε θοἰμάτιον. Παρεκε- 15 λεύετο κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο.

Ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον. Πομπῆς οὖν γινομένης ἵππον θεασάμενος φρυακτήν φησι πρὸς τὸν Πλάτωνα· "Ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής·" 20 τοῦτο δ' εἶπεν ἐπεὶ καὶ Πλάτων συνεχῶς ἵππον ἐπῄνει. Καί ποτ' ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα καὶ θεασάμενος λεκάνην ἔνθα ὁ Πλάτων ἐμημέκει, ἔφη· "Χολὴν μὲν ὁρῶ

8 ἐνταῦθα, τῦφον δὲ οὐχ ὁρῶ." Συνεβούλευεν Ἀθηναίοις τοὺς ὄνους ἵππους ψηφίσασθαι· ἄλογον δὲ ἡγουμένων, 25 "Ἀλλὰ μὴν καὶ στρατηγοί," φησί, "γίνονταί ποθ' ὑμῖν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες." Πρὸς τὸν εἰπόντα· "Πολλοί σε ἐπαινοῦσι," "Τί γάρ," ἔφη, "κακὸν πεποίηκα;" Πρὸς τὸν ἐπαινοῦντα τρυφήν, "Ἐχθρῶν παῖδες," ἔφη, "τρυφήσειαν." 30

11 πονηροὺς **Φ** et BF : φθονεροὺς P **12** περιγέγονεν **Φ** et BP : περιεγένετο F **18** οὖν **Φ** et BP : γοῦν F **19** φρυακτὸν **Φ** **21** εἶπεν om. BPF | συνεχῶς : συνεχὲς BPF **26** γίνονται **Φ** et BP : φαίνονται F | ποθ' **Φ** : ποτ(ὲ) BP[1] : παρ' P[2]F

Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλο- 9
μένου εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν
καὶ θύλακον †καινὸν† πρὸς ἀλφιτόπωλιν ἧκε καὶ σαξά-
μενος ἀπῄει· τῆς δὲ αἰτούσης τὸ διάφορον, "Ὁ νεανίσ-
5 κος," ἔφη, "δώσει, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφί-
κηται." Εἴ ποτε θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει 10
ἐπὶ τὴν οἰκίαν καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ
ὅπλα, ὥστε εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· | ἀμύνεσθαι f. 66r
γὰρ τούτοις· εἰ δὲ μή, περιαιρεῖν τὸν κόσμον. Πρὸς τὸ 9
10 παρασχηματίζον †αὐτοῦ† τῷ πλάστῃ μειράκιον, "Εἰπέ
μοι," φησίν, "εἰ φωνὴν λάβοι ὁ χαλκός, ἐπὶ τίνι ἂν σεμ-
νυνθῆναι;" Τοῦ δ' εἰπόντος· "Ἐπὶ κάλλει," "Οὐκ αἰσχύνῃ
οὖν," ἔφη, "τὰ ὅμοια γεγηθὼς ἀψύχῳ;"

Ἐρωτηθεὶς τί ποιῶν τις καλὸς κἀγαθὸς ἔσοιτο, "Εἰ τὰ 8
15 κακά," φησί, "ἃ ἔχει, ὅτι φευκτά ἐστι μάθοι παρὰ τῶν
εἰδότων." Ποντικοῖς νεανίσκοις περιτυχὼν κατὰ κλέος 10
Σωκράτους ἀφιγμένοις, ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυ-
τον, εἰπὼν ἐν ἤθει σοφώτερον εἶναι τοῦ Σωκράτους· ἐφ' ᾧ
δὴ ἀγανακτήσαντες οἱ περιεστῶτες ἐδίωξαν Ἄνυτον.
20 Τοὺς αὐτοὺς ἔλεγεν εὐγενεῖς τοὺς καὶ ἐναρέτους· αὐτάρ- 11
κη τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην
ὅτι μὴ Σωκρατικῆς ἰσχύος. Διὰ τὸ πλῆθος ὧν συνέγραψεν 18
ἐπιτιμῶν αὐτῷ ὁ Τίμων "παντοφυῆ φλέδονά" φησιν
αὐτόν. Ἐτελεύτησε δὲ ἀρρωστίᾳ· ὅτε καὶ Διογένης εἰσιὼν

22–24 *Suda,* 532 Φλέδων **23** *PPF* Timon. B 37 = *Suppl. Hell.* 811

3 καινὸν **Φ** et P^1B^1 : κενὸν ΔΠ et B^2F | ἀλφιτόπωλιν Φ^2 (ἀλφιτοπῶλιν Φ^1) et B : ἀλφιτοπώλην P^1F | σαξάμενος **Φ** et B^2P^1 : ἀράμενος F **6** ποτε **Φ** : ποθι BPF **7** οἰκίαν **Φ** et BP^1 : οἰκίαν αὐτῆς P^2F^2 **10** αὐτοῦ **Φ** et BPF : αὐτὸ Casaubon **11** ἂν ⟨οἴει⟩ Casaubon **19** δὴ ἀγανακτήσαντες : διαγανακτήσαντας BPF | ἐδίωξαν : διώξαι F : ἐκδιῶξαι BP | Ἄνυτον **Φ** : αὐτόν BPF **22** ὧν συνέγραψεν **Φ** : om. BPF et *Suda* **23** αὐτῷ **Φ** et FP^3 : om. BP^1 et *Suda*

πρὸς αὐτὸν ἔφη· "Μήτι χρεία φίλου;" Καί ποτε παρ' αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε. Τοῦ δ' εἰπόντος· "Τίς ἂν ἀπολύσῃ με τῶν πόνων;" δείξας τὸ ξιφίδιον ἔφη· "Τοῦτο·" καὶ ὅς· "Τῶν πόνων," ἔφη, "εἶπον, οὐ τοῦ ζῆν." Ἐδόκει γάρ πως μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωΐας. 5

49. ΔΙΟΓΕΝΗΣ

20 Διογένης ὁ Σινωπεύς, τοῦ πατρὸς αὐτοῦ τὸ νόμισμα
21 παραχαράξαντος, ἔφυγε μετ' αὐτοῦ. Καὶ γενόμενος Ἀθήνησιν Ἀντισθένει παρέβαλε. Τοῦ δὲ διωθουμένου διὰ τὸ
f. 66v μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ | προσεδρείᾳ. Καί ποτε 10 τὴν βακτηρίαν ἐπανατειναμένου αὐτῷ τὴν κεφαλὴν ὑποσχών, "Παῖε," εἶπεν· "οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις ἕως ἄν τι φαίνῃ λέγων." Τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτε-
22, 23 λῆ βίον. Μῦν θεασάμενος διατρέχοντα *. Ἐπιστείλας δέ 15 τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰκίαν. Καὶ θέρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δὲ ἀνδριάντας κεχιονισμένους περιελάμβανε, πανταχόθεν ἑαυτὸν συνασκῶν.
24 Δεινός τε ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων· καὶ τὴν 20 μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ τοῦ Πλάτωνος διατριβὴν κατατριβήν· καὶ τοὺς δημαγωγοὺς ὄχλου διακόνους. Ἔλεγε δὲ καὶ ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον τῶν ζῴων νομίζειν τὸν ἄνθρωπον· ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ 25 μάντεις καὶ τοὺς προσέχοντας τούτοις, ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου. Ἔλεγε συνεχῶς δεῖν εἰς τὸν βίον παρεσκευάσ-

2 εἰσῆλθε Φ et BP : εἰσήει F **15** post διατρέχοντα lac. in Φ, quam indicavit Lambros **16** βραδύνοντος Φ et F : καὶ βραδύνοντος BP **18** ἐκυλινδοῦτο B **24** καί[1] Φ et BP : ἢ F **25** νομίζειν Φ (cf. v. 27) : om. BPF | πάλιν om. F **26–27** καὶ πλούτῳ om. F **28** συνεχῶς Φ : συνεχέστερον νομίζειν B[1]PF : συνεχέστερον B[2] : συνεχές τε Cobet

θαι λόγον ἢ βρόχον.

Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλαίας **25**
ὀψώμενον, "Τί," φησίν, "ὁ σοφὸς εἰς Σικελίαν πλεύσας
τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπο-
5 λαύεις;" Καὶ ὅς· "Ἀλλὰ νὴ τοὺς θεούς," φησί, "Διόγενες,
κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην." Ὁ
δέ· "Τί οὖν ἔδει πλεῖν εἰς Συρρακούσας; Ἢ τότε ἡ
Ἀττικὴ οὐκ ἔφερεν ἐλαίας;" Καὶ ἄλλοτε ἰσχάδας ἐσθίων
ἀπήντετο αὐτῷ ἔφησέ τε· "Ἔξεστί σοι μετασχεῖν·" τοῦ δὲ f. 67r
10 λαβόντος καὶ φαγόντος, ἔφη· "Μετασχεῖν εἶπον, οὐ κατα-
φαγεῖν." Πατῶν αὐτοῦ ποτε τὰ στρώματα κεκληκότος **26**
φίλους, ἔφη· "Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν." Πρὸς
ὃν ὁ Πλάτων· "Ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις,
δοκῶν μὴ τετυφῶσθαι." Οἱ δέ φασι τὸν Διογένην εἰπεῖν·
15 "Πατῶ τὸν Πλάτωνος τῦφον·" τὸν δὲ φάναι· "Ἑτέρῳ γε
τύφῳ, Διόγενες." Ἤιτησεν αὐτὸν δέκα ἰσχάδας· ὁ δὲ
κεράμιον ὅλον ἔπεμψεν αὐτῷ. Καὶ ὅς· "Σύ," φησί, "κἂν
ἐρωτηθῇς δύο καὶ δύο πόσα ἐστίν, Εἴκοσιν ἀποκρινῇ;
Οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ
20 ἐρωτώμενα ἀποκρίνῃ." Ἔσκωψε δὴ ὡς ἀπεραντολόγον.

Ἐρωτηθεὶς ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, **27**
"Ἄνδρας μέν," εἶπεν, "οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαί-
μονι." Σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς προσῄει, ἐπέ-
βαλε τερεττίζειν· ἀθροισθέντων δέ, ὠνείδισεν ὡς ἐπὶ μὲν
25 τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ
σπουδαῖα βραδυνόντων ὀλιγώρως. Τοὺς γραμματικοὺς
ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ
δὲ ἴδια ἀγνοοῦντας. Καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ
λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς
30 τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν **28**

3 ὀψώμενον **Φ** et B : ἀψάμενον PF **5** ἀλλὰ om. F **9** ἔφησέ τε : φησί τε BPF **10** ἔφη om. F **18** ἀποκρινῇ **Φ** et P : ἀποκρίνει B, ἀποκρίνῃ F **23** ὡς **Φ** et FP[4] : om. BP[1] **24** τερεττίζειν **Φ** et F : τερετίζειν BP **26** ὀλιγώρως om. F

ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ μηδαμῶς· ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. Κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω 5 εἶεν, ζηλούντων δὲ τοὺς πολυχρηματίας. Ἐκίνει δ' αὐτὸν f. 67^v καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγείας, ἐν αὐτῇ δὲ | τῇ θυσίᾳ κατὰ τῆς ὑγείας δειπνούντων. Ἄγασθαι δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας **29** μηθὲν ἁρπάζοιεν τῶν ἐσθιομένων. Ἔλεγε δεῖν τὰς χεῖρας 10 ἐπὶ τοὺς φίλους ἐκτείνειν μὴ συγκεκαμμένοις τοῖς δακτύλοις.

Ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν. Ἀπεκρίνατο· "Ἀνδρῶν ἄρχειν." Καὶ πρὸς τὸν κήρυκα ἔφη· "Κήρυσσε εἴ τις ἐθέλει δεσπότην ἑαυτῷ πρίασθαι." 15 Κωλυθεὶς καθέζεσθαι, "Οὐδέν," ἔφη, "διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι." Θαυμάζειν τε ἔφη εἰ χύτραν μὲν καὶ λοπάδα ὠνούμενοι κομποῦμεν, **74** ἄνθρωπον δὲ μόνῃ τῇ ὄψει ἀρκούμεθα. Τότε δείξας τινὰ Κορίνθιον εὐπάρυφον Ξενιάδην ἔφη· "Τούτῳ με πώλει· 20 οὗτος δεσπότου χρῄζει." Ὠνεῖται δὴ αὐτὸν Ξενιάδης καὶ ἀπαγαγὼν εἰς Κόρινθον ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιϊών, "Ἀγαθός," ἔλεγε, **75** "δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε." Λέγεται μέντοι 25 τοὺς γνωρίμους θέλειν λυτρώσασθαι αὐτόν, τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων.

13–15 Stob. *Flor.* 3.3.52; *Suda*, 1143 Διογένης **19–21** *Suda*, 3640 Εὐπάρυφα

6 πολυχρηματίας **Φ** et BP : πολυχρημάτους **ΔΠ** et F **8** δειπνούντων **Φ** et BP[1] : δειπνεῖν FP[4] **14** ἀνδρῶν **Φ** et BPF, *Suda* : ἀνθρώπων *Stob.* et DL 6.74 **16** καθίζεσθαι B PF **19** ἀρκούμεθα : ἀρκεῖσθαι BPF **23** αὐτὴν **Φ** : αὐτὸν BPF **26** θέλειν : θελῆσαι BPF

Δούλου γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι.

Ἔλεγε δὴ τῷ πριαμένῳ αὐτὸν δεῖν πείθεσθαι αὐτῷ, εἰ **30** καὶ δοῦλός ἐστι· καὶ γὰρ εἰ ἰατρὸς ἢ κυβερνήτης ἦν 5 δοῦλος, πεισθῆναι ἂν αὐτῷ. Ἐν τῷ ἀποθνῄσκειν αὐτὸν **31** πυθομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψει, "Ἐπὶ πρόσωπον," ἔφη· τοῦ δ' ἐρομένου "Διὰ τί;" "Ὅτι μετ' ὀλίγον," **32** εἶπε, "μέλλει τὰ κάτω ἀναστρέφεσθαι." Τοῦτο δὲ | διὰ τὸ f. 68r ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας ἢ ἐκ ταπεινῶν ὑψηλοὺς 10 γίνεσθαι. Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. Φωνήσας ποτέ· "Ἰὼ ἄνθρωποι," συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπών· "Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρ- 15 ματα." Φασὶν Ἀλέξανδρον εἰπεῖν ὡς "Εἴπερ Ἀλέξανδρος μὴ γεγόνειν, ἠθέλησα ἂν Διογένης γενέσθαι."

Ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ **33** τοὺς μὴ ἔχοντας πήραν. Εἰσελθών ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον, πληγὰς ἔλαβε· μετὰ δὲ ἐγγράψας εἰς 20 λεύκωμα τὰ ὀνόματα τῶν πληξάντων περιῄει ἐξημμένος, ἕως αὐτοὺς ὕβρει περιέθηκε καταγινωσκομένους καὶ ἐπιπληττομένους. Ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν. Πρὸς τὸν εἰπόντα· "Πύθια νικῶ ἄν- 25 δρας," "Ἐγὼ μὲν οὖν," εἶπεν, "ἄνδρας, σὺ δὲ ἀνδράποδα." **34** Πρὸς τοὺς εἰπόντας· "Γέρων εἶ καὶ λοιπὸν ἄνες," "Τί δέ," ἔφη, "εἰ δόλιχον ἔτρεχον, πρὸς τῷ τέλει ἔδει με ἀνιέναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι;" Κληθεὶς ἐπὶ δεῖπνον οὐκ ἔφη παρέσεσθαι· μηδὲ γὰρ πρώην αὐτῷ χάριν ἐγνωκέναι.

10–12 cf. 2.75

3 τῷ ξενιάδη τῷ πριαμένῳ BPF **4** ἐστί : εἴη BP : εἴη αὐτῷ F | ἦν : εἴη BPF **6** πυνθανομένου BPF | θάψει : θάψειεν BPF **16** γεγόνειν Φ et P : ἐγεγόνειν F : ἐγεγόνει B | ἠθέλησα : ἐθελῆσαι BPF **21** ἕως : ὡς BP F **27** δολιχὸν Φ et P | ἀνιέναι Φ et BP[1]F : ἀνεῖναι P[2]

Γυμνοῖς ποσὶ χιόνα ἐπάτει· καὶ ὠμὰ κρέα ἐπεχείρησε φαγεῖν, ἀλλ' οὐ διῴκησε. Κατέλαβε Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα· τοῦ δ' ἔσωθεν φεύγοντος, "Τοσοῦτον," ἔφη, "μᾶλλον γίνῃ ἐν τῷ πανδοκείῳ." Ξένων
f. 68ᵛ ποτὲ θεάσασθαι θελόντων τὸν Δημοσθένην, τὸν | μέσον 5
δάκτυλον ἐκτείνας, "Οὗτος ὑμῖν," ἔφη, "ἐστὶν ὁ Ἀθηναῖος δημαγωγός."

35 Ἐκβαλόντος δὲ ⟨*⟩ ἄρτον καὶ αἰσχυνομένου ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεράμου τράχηλον δήσας ἔσυρε διὰ τοῦ Κεραμεικοῦ. Τοὺς πλείστους ἔλεγε 10
παρὰ δάκτυλον μαίνεσθαι· ἐὰν οὖν τις τὸν μέσον προτείνας πορευθῇ, δόξει τῳ μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανόν, οὐκέτι. Τὰ πολλοῦ ἄξια τοῦ μηδενὸς ἔλεγε πιπράσκεσθαι
36 καὶ ἔμπαλιν· ἀνδριάντα γοῦν τρισχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων δύο χαλκῶν. Τῷ πριαμένῳ αὐτὸν 15
Ξενιάδῃ, "Ἄγε," φησίν, "ὅπως τὸ προσταττόμενον ποιήσῃς." Τοῦ δ' εἰπόντος·

Ἄνω ποταμῶν χωροῦσι πηγαί,

"Εἰ δὲ ἰατρὸν ἐπρίω," εἶπε, "νοσῶν, οὐκ ἂν αὐτῷ ἐπείθου, ἀλλ' εἶπες ὡς Ἄνω ποταμῶν χωροῦσι πηγαί;" Ἤθελέ τις 20
παρ' αὐτῷ φιλοσοφεῖν· ὁ δέ οἱ σαπέρδην δοὺς ἐκέλευσεν ἀκολουθεῖν. Ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει· "Τὴν σὴν καὶ
37 ἐμὴν φιλίαν σαπέρδης διέλυσε." Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, 25

18 Eurip. *Med.* 410

2 κατέλαβε : κατελάβετο BPF **3** ἔσωθεν φεύγοντος **Φ** : ὑποχωροῦντος BPF **4** τοσοῦτον : τοσούτω BPF | γίνῃ : ἔσῃ BPF **6** ἀθηναῖος : ἀθηναίων BPF **8** post δὲ lac. indicavi : τινὸς add. Stephanus **12** πορευθῇ, δόξει τῳ **Φ** : πορεύθιτο δόξει B : πορευθήτω δόξει P¹ : πορεύοιτο δόξει F : πορεύηται δόξει P⁴D **16** ποιήσῃς **Φ** et P F : ποιήσεις B **18** et **20** πηγαί : παγαί BPF et Eurip. **19** εἶπε **Φ** : om. BPF : ἔφη add. Arsenius et Stephanus **20** εἶπες ἂν ὡς BPF **21** ἐκέλευσεν **Φ** : ἐποίησεν BPF

εἰπών· "Παιδίον με νενίκηκεν εὐτελείᾳ." Ὁμοίως καὶ τὸ τρυβλίον ἐξέβαλε, παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ τοῦ ψωμίου τὴν φακὴν ὑποδεχόμενον ἤσθιε. Συνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ἐστι πάντα·
5 φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν. Θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς | προσπίπτουσαν, βουλόμενος f. 69r αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, προσελθὼν εἶπεν· "Οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος
10 (πάντα γάρ ἐστιν αὐτοῦ πλήρη) ἀσχημονήσῃς;"

Ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ἐπιστάς φησιν· "Αἴτησόν με ὃ θέλεις·" καὶ ὅς· "Ἀποσκότησόν μου," φησί. **38** Μακρά τινος ἀναγινώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, "Θαρρεῖτε," ἔφη, "ἄν-
15 δρες· γῆν ὁρῶ." Πρὸς τὸν συλλογισάμενον ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, "Ἐγὼ μέν," ἔφη, "οὐχ ὁρῶ." Ὁμοίως καὶ πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περιεπάτει. **39** Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, "Ποσταῖος," ἔφη, "πάρει ἀπὸ τοῦ οὐρανοῦ;" Εὐνούχου
20 μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν "Μηδὲν εἰσίτω κακόν," "Ὁ οὖν κύριος," ἔφη, "τῆς οἰκίας ποῦ εἰσέλθῃ;" Τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν. Ἀξιούντων Ἀθηναίων μυηθῆ-
25 ναι αὐτὸν καὶ λεγόντων ὡς ἐν ᾅδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι, "Γελοῖον," ἔφη, "εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται."

Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς, "Ἰδού," **40**
30 φησί, "καὶ Διογένης παρασίτους τρέφει." Ἐκ βαλανείου ἐξιὼν τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λοῦνται,

2 ἐπεὶ δὲ Φ, correxi ex BPF **3** ὑποδεχόμενος Φ, correxi ex BPF **4** ἤσθιε om. BPF **5** τῶν Φ et F et 6.72, Arsen. : om. BP **31** λοῦνται Φ et P : λούονται BF

ἠρνήσατο· τῷ δ' εἰ πολὺς ὄχλος, ὡμολόγησε. Πλάτωνος ὁρισαμένου" Ἄνθρωπός ἐστι ζῷον δίπουν, ἄπτερον" καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν καί φησιν· "Οὗτός ἐστιν ὁ Πλάτωνος ἄν-θρωπος." Ὅθεν τῷ ὅρῳ προσετέθη τὸ "πλατυώνυχον." | 5
f. 69ᵛ Ἰατρὸν ἰδὼν ἀφυῆ ἱπποιατρῷ ὁμιλοῦντα καὶ αὐτῷ ἀφυεῖ, ἔφη·

⟨Ἠὲ⟩ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσι⟨ν⟩ δ' ἐ⟨μ⟩οὶ ἵπποι.

40 Πρὸς τὸν πυθόμενον ποίαν ὥραν δεῖ ἀριστᾶν, "Εἰ μὲν **41** πλούσιος," εἶπεν, "ὅταν θέλῃ· εἰ δὲ πένης, ὅταν ἔχῃ." Ἐν 10 Μεγάροις ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασ-μένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνούς, ἔφη· "Λυσιτελέσ-τερόν ἐστι Μεγαρέως κριὸν εἶναι ἢ υἱόν." Πρὸς τὸν ἐντινάξαντα αὐτῷ τὴν δοκόν, εἶτα εἰπόντα· "Φύλαξαι," "Πάλιν γάρ με," ἔφη, "παίειν μέλλεις;" Λύχνον μεθ' ἡμέ- 15 ραν ἅψας περιῄει, λέγων· ""Ἄνθρωπον ζητῶ." Εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη· "Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπό-στητε," ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ. Ἐντρίψαντος αὐτῷ κόνδυλόν τινος, "'Ηράκλεις," ἔφη, "οἷον με χρῆμα 20 **42** ἐλάνθανε τὸ μετὰ περικεφαλαίας περιπατεῖν." Μειδίου κονδυλίσαντος αὐτὸν καὶ εἰπόντος· "Τρισχίλιαί σοι κεῖν-ται ἐπὶ τῇ τραπέζῃ," τῇ ἑξῆς πυκτικοὺς λαβὼν ἱμάντας καὶ καταλοήσας αὐτὸν ἔφη· "Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ." Ἐνεκάλει τοῖς ἀνθρώποις περὶ τῆς τύχης, αἰ- 25 τεῖσθαι λέγων ⟨αὐτοὺς⟩ ἀγαθὰ τὰ αὐτοῖς δοκοῦντα καὶ οὐ

2 et **5** Plat. *Defin.* 415 a 11 **8** *Iliad.* 10.481 **13–15** cf. 6.66

3 αὐτοῦ **Φ** et BPF : αὐτὸν Hicks **6** ἰατρὸν – **8** ἵπποι in mg sup. **Φ** (a **Φ**¹ minio addita), in textu **Ψ** : om. BPF **8** ἠὲ supplevi ex *Il.* | δ' ἐ⟨μ⟩οὶ scripsi ex *Il.* : δέ οἱ **Φ** **9** ποίαν ὥραν **Φ** et BPF : ποίᾳ ὥρᾳ *Frob.* **15** πάλιν **Φ** et B : πάλαι P : καὶ F **16** περιῄει λέγων **Φ** : φησί BPF **25** τύχης **Φ** et BPF : εὐχῆς Casaubon **26** αὐτοὺς addidi ex BPF

τὰ κατὰ ἀλήθειαν. Πρὸς δὲ τοὺς περὶ τὰ ὀνείρατα ἐπτο- **43**
ημένους ἔλεγεν ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ οὐκ
ἐπιστρέφονται, ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται
πολυπραγμονοῦσιν.

5 Ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων· μειρακίου γοῦν τὸν
πίθον αὐτοῦ συντρίψαντος, τῷ μὲν πληγὰς ἔδοσαν, ἐκεί-
νῳ δὲ ἄλλον παρέσχον. Μετὰ τὰ κατὰ Χαιρώνειαν ἐν τῷ
στρατοπέδῳ τοῦ Φιλίππου συλληφθεὶς ἀπήχθη πρὸς τὸν
βασιλέα· καὶ ἐρωτηθεὶς ὅστις εἴη, ἀπεκρίνατο· "Κατά-
10 σκοπος τῆς σῆς ἀπληστίας." Ὅθεν θαυμασθεὶς ἀφείθη.
Ἀλεξάνδρου πέμψαντος ἐπιστολὴν | πρὸς Ἀντίπατρον **44** f. 70r
εἰς Ἀθήνας διά τινος Ἀθλία, παρὼν ἔφη·

†Ἀθλίας† παρ' ἀθλίου δι' ἀθλίου πρὸς ἄθλιον.

Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτόν, ἀπο-
15 κτείνειν, ἔφη· "Οὐδὲν μέγα· καὶ γὰρ κάνθαρος καὶ φαλάγ-
γιον τοῦτ' ἂν πράξειεν·" ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἠξίου
ὡς "Εἰ καὶ χωρὶς ἐμοῦ ζήσοι, εὐδαιμόνως ζήσοι." Ἐβόα
πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν
θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτῶν ζητούντων
20 μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια. Πρὸς τὸν ὑπὸ
τοῦ οἰκέτου ὑποδούμενον, "Οὔπω," εἶπε, "μακάριος εἶ, ἂν
μή σε καὶ ἀπομύξῃ· τοῦτο δὲ ἔσται πηρωθέντι σοι τὰς
χεῖρας." Θεασάμενος τοὺς ἱερομνήμονας τῶν ταμείων **45**
ἄγοντάς τινα φιάλην ὑφῃρημένον, ἔφη· "Οἱ μεγάλοι κλέπ-
25 ται τὸν μικρὸν ἄγουσι." Θεασάμενος μειράκιον λίθους

7 μετὰ τὰ κατὰ χαιρώνειαν : μετὰ χαιρώνειαν BPF **7** ἐν τῶ στρατοπέδω – **8** πρὸς τὸν βασιλέα **Φ** : συλληφθεὶς ἀπήχθη πρὸς φίλιππον BPF **12** ἀθλία **Φ** et BPF : Ἀθλίου Menag. **13** ἀθλίας **Φ** et BPF : Ἄθλιος Cobet **14** ἀποκτείνειν **Φ** et P[1] : ἀποκτενεῖν FP[4] : ἀποκτεῖναι B **17** ζήσοι bis **Φ** : ζήσαι et ζήσοιτο BPF **19** κεκρύφθαι F | αὐτῶν **Φ** (et Casaubon) : αὐτὸν BPF **22** ἔσται **Φ** et P : ἔστι (σοι) B **23** ταμείων **ΦΔΠ** et PF : ταμίων B : ταμιῶν Lambros

βάλλον ἐπὶ σταυρόν, "Εὖγε," εἶπε· "τεύξῃ γὰρ τοῦ σκοποῦ." Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα· "Βλέπωμεν μὴ δάκῃ ἡμᾶς," "Θαρρεῖτε," ἔφη, "παιδία· κύων τευτλία οὐκ ἐσθίει." Πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον, "Παῦσαι," ἔφη, "τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων." 5 Πρὸς τὸν μακαρίζοντα Καλλισθένη καὶ λέγοντα ὡς πολυτελῶν παρὰ Ἀλεξάνδρῳ μετέχει, "Κακοδαίμων μὲν οὖν ἐστιν," εἶπεν, "ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δόξῃ."

46 Χρημάτων δεόμενος ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ 10 αἰτεῖν. Ἐπ' ἀγορᾶς ποτε χειρουργῶν, "Εἴθε," ἔφη, "καὶ τὴν κοιλίαν ἦν παρατρίψαντα μὴ πεινῆν." Μειράκιον θεασάμενος μετὰ σατραπῶν ἐπὶ δεῖπνον ἀπιόν, ἀποσπάσας | f. 70ᵛ πρὸς τοὺς οἰκείους ἀπήγαγε καὶ ἐκέλευσε τηρεῖν. Πρὸς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι ἔφη οὐ πρότερον 15 λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενος δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. Πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιον φησίν· " Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον." Ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τινες ὀστάρια ὡς κυνί· καὶ

47 ὃς ἀπαλλαττόμενος προσούρησεν αὐτοὺς ὡς κύων. Τοὺς 20 ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισανθρώπους ἀπεκάλει ἀντὶ τοῦ τρισαθλίους. Τὸν ἀμαθῆ πλούσιον πρόβατον εἶπε χρυσόμαλλον. Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον "Πράσιμος," "Ἤιδειν," εἶπεν, "ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὸν κύριον." Πρὸς τὸ 25

1 τεύξῃ Φ[1] in mg (γράφεται καὶ) et BPF : τεύξαιο Φ[1] in textu **2** βλέπωμεν Φ et F : βλέπομεν BP **6** μακαρίζοντα Φ : μακαριζόμενον BPF | καλλισθένην ΔΠ et F **10–11** οὐκ αἰτεῖν ΦP[4] : οὐ καὶ τεῖν P[1] : οὐ καὶ τὴν B : οἰκέτην F **13** ἀπιὸν Φ et P : προϊὸν F **14** ἀπήγαγε Φ et P : ἤγαγε F | ἐκέλευσε Φ et F : ἐκέλευε P **16** ἀνασυράμενος Φ et P : ἀνασυρόμενον Δ, ἀνασυρόμενος F **20** αὐτοὺς : αὐτοῖς Lam-bros ex BPF **25** κραιπαλῶσα Φ et B[1] (κρεπαλῶσα) F[1]P[4] : κραιπαλῶν P[1]F[2] | ἐξεμέσεις Φ et BF : ἐξεμέσοις Lambros ex P

καταιτιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, "Παῦσαι γάρ," ἔφη, "καὶ σὺ τὰ δείγματα τοῦ πασχητιῶντος περιφέρων." Πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, "Οἱ ἐνθάδε," ἔφη, "λουόμενοι ποῦ λούονται;" Παχέος κιθαρῳδοῦ
5 πρὸς πάντων μεμφομένου αὐτὸς μόνος ἐπῄνει· ἐρωτηθεὶς δὲ διὰ τί, ἔφη· "Ὅτι τηλικοῦτος ὢν κιθαρῳδεῖ καὶ οὐ λῃστεύει."

Τὸν κιθαρῳδὸν ἀεὶ καταλιμπανόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο· "Χαῖρε ἀλέκτορ·" τοῦ δ' εἰπόντος· "Διὰ **48**
10 τί;" "Ὅτι," ἔφη, "ᾄδων πάντας ἐγείρεις." Μειρακίου ἐπιδεικνυμένου πληρώσας τὸ προκόλπιον θέρμων ἀντικρὺ ἔκαμπτε· τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορῶντος, θαυμάζειν ἔφη πῶς ἐκείνου ἀφέντες αὐτὸν ὁρῶσι. Λέγοντος αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος· "Μιᾷ πληγῇ τὴν
15 κεφαλήν σου διαρρήξω." "Ἐγὼ δέ," εἶπε, "πταρὼν | ἐξ f. 71r ἀριστερῶν τρέμειν σε ποιήσω." Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, "Μάταιος," ἔφη, "τυγχάνεις, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς, ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν
20 γεγραμμένην ὁρμᾷς." Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ τὴν **49** φυγήν, "Ἀλλὰ τούτου ἕνεκεν," εἶπεν, "ὦ κακόδαιμον, ἐφιλοσόφησα." Εἰπόντος τινός· "Σινωπεῖς σου φυγὴν κατέγνωσαν," "Ἔγωγε," εἶπεν, "ἐκείνων μονήν." Ἰδὼν Ὀλυμπιονίκην πρόβατα νέμοντα, "Ταχέως," εἶπεν, "ὦ
25 βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα." Ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη· "Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται." Ἤιτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, "Μελετῶ," εἶπεν, "ἀποτυγχάνειν." Αἰτῶν τινα (καὶ γὰρ τοῦτο πρῶτον
30 ἐποίει διὰ τὴν ἀπορίαν) ἔφη· "Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι."

6 τηλικοῦτος Φ et BP : τοιοῦτος F **8** καταλειπόμενον BPF **10** ἐπιδεικνυμένου Φ : διαδεικνυμένου BP : διαδιδομένου F **11** ἀντικρὺς θέρμων BPF **13** αὐτὸν Φ et B P : εἰς αὐτὸν F **28** ποιεῖ Φ et B[2]F : ποιοῖ B[1]P **30** ἐποίησε BPF **31** μηδενὶ Φ et BP : μὴ F

50 Ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη· "Ὡς θυλάκοις, τοὺς μὲν πλήρεις κρεμῶν, τοὺς δὲ κενοὺς ῥίπτων." Νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν·

> Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς
> ἐνθάδε κατοικεῖ· μηδὲν εἰσίτω κακόν, 5

ἐπέγραψε· "Μετὰ τὸν πόλεμον ἡ συμμαχία." Τὴν φιλαργυρίαν εἶπε μητρόπολιν εἶναι τῶν κακῶν. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλαίας ἐσθίοντα ἔφη· "Εἰ οὕτως **51** ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις." Τοὺς ἀγαθοὺς ἄνδρας ἔλεγε θεῶν εἰκόνας εἶναι· τὸν ἔρωτα σχολαζόντων ἀσχο- 10 λίαν. Ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη· "Γέρων ἄπορος." Ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη· "Τῶν μὲν f. 71ᵛ ἀγρίων | συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ." Ἰδών ποτε δύο κενταύρους κάκιστα ἐζωγραφημένους ἔφη· "Πότερος τούτων Χείρων ἐστί;" Τὸν πρὸς χάριν λόγον ἔφη μελιτί- 15 νην ἀγχόνην εἶναι· τὴν γαστέρα Χάρυβδιν εἶναι τοῦ βίου. Ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ αὐλητὴς μοιχὸς ἑάλω, "Ἄξιος," ἔφη, "ἐκ τοῦ ὀνόματος κρέμασθαι." Ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη· "Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας." Ἰδὼν γυναῖκα ἐν φορείῳ, "Οὐ 20 κατὰ τὸ θηρίον," ἔφη, "ἡ γαλεάγρα."

52 Ἰδὼν δραπέτην ἐπὶ φρέατι καθήμενον ἔφη· "Μειράκιον, βλέπε μὴ ἐμπέσῃς." Ἰδὼν †κυλλιον† ἱματιοκλέπτην ἐν βαλανείῳ ἔφη· "†Παλιμάτιον† ἢ ἐπ' ἄλλο ἱμάτιον;" Ἰδών ποτε γυναῖκας ἐπ' ἐλαίας ἀπηγχονισμένας, "Εἴθε," 25 ἔφη, "πάντα τὰ δένδρα τοιοῦτον ἐνέγκοι καρπόν." Ἀξιόπιστον ἰδὼν λωποδύτην ἔφη·

2 κρεμῶν **Φ** : κρημνῶν BPF **7** εἶναι **Φ** et B : om. PF **10** ἔλεγε om. BPF **16** εἶναι **Φ** : ἔλεγε BPF **17** ὁ αὐλητὴς μοιχὸς **Φ** : ὁ μοιχὸς BPF (cf. 6.68) | ἑάλω **Φ** : συνελήφθη PF, συνελήμφθη B **23** κυλλιον **Φ** : κύλλιον BP[1] : om. FP[4] : ⟨μειρα⟩κύλλιον Meibom. **24** παλιμάτιον **Φ** : παλιμμάτιον B : ἐπ' ἀλειμμάτιον PF[2] | ἄλλο scripsi ex BP : ἄλλω **Φ** **25** ἐπ' **Φ** : ἀπ' ΔΠ et BPF **26** ἐνέγκοι **Φ** : ἤνεγκεν BP : ἤνεγκαν F

Τίπτε σὺ ὧδε, φέριστε;
Ἤ τινα συλήσων νεκύων κατατεθνειώτων
εἰλήλουθας;

Ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη· "Οὔ·"
5 τοῦ δὲ εἰπόντος· "Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει;"
ἔφη· "Ὁ χρῄζων τῆς οἰκίας." Μειράκιον εὔμορφον ἀφυ- 53
λάκτως ἰδὼν κοιμώμενον, νύξας, "Ἐπέγειραι," ἔφη,

Μή τίς τοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.

Πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα ἔφη·

10 Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγοράζεις.

Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος
τραπεζότητα καὶ κυαθότητα, "Ἐγώ," εἶπε, "ὦ Πλάτων,
τράπεζαν μὲν καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ καὶ κυα-
θότητα οὐδαμῶς." Καὶ ὅς· "Κατὰ λόγον," | ἔφη· "οἷς μὲν f. 72r
15 γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις· ᾧ
δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις."
Ἐρωτηθεὶς ποίῳ καιρῷ δεῖ γαμεῖν, ἔφη· "Τοὺς μὲν 54
νέους †μηδέποτε,† τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε."
Ἐρωτηθεὶς τί θέλοι κυνδύλου λαβεῖν, "Περικεφαλαίαν,"
20 ἔφη. Μειράκιον ἰδὼν καλλωπιζόμενον, ἔφη· "Εἰ μὲν πρὸς
ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς." Ἰδὼν μει-
ράκιον ἐρυθριῶν, "Θάρρει," ἔφη· "τοιοῦτόν ἐστι τῆς
ἀρετῆς τὸ χρῶμα." Δυοῖν ποτὲ νομικοῖν ἀκούσας ⟨τοὺς
δύο⟩ κατέκρινεν, εἰπὼν τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ

2 *Iliad.* 10.343 = 387 **8** cf. *Iliad.* 8.95 **10** cf. *Iliad.* 18.95. Cf. DL 5.5

2 ἤ Φ et P : η B : εἴ F | κατατεθνειώτων Φ et BPF : κατατεθνηώτων *Iliad.* **3** εἰλήλουθας om. BPF **8** τοι : σοι BPF **9** ἔφη om. BPF **16** βλέπεται Φ et BP : φαίνεται F **18** μηδέποτε Φ et BPF : μηδέπω ΔΠ et Menagius (cf. 1.26) **19** θέλοι Φ et BP : θέλει F **23–24** τοὺς δύο supplevi ex BPF

ἀπολωλεκέναι. Ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη· "Τὸν ἀλλότριον." Πρὸς τὸν εἰπόντα· "Πολλοί σου κατα-
55 γελῶσιν," "Ἀλλ' ἐγώ," ἔφη, "οὐ καταγελῶμαι." Πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν, "Οὐ τὸ ζῆν," εἶπεν, "ἀλλὰ τὸ κακῶς ζῆν." Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα 5 αὐτοῦ δοῦλον ζητεῖν, "Γελοῖον," ἔφη, "εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δυνήσεται." Ἀριστῶν ἐλάας, πλακοῦντος εἰσενεχθέντος, ῥίψας φησίν·

Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο· 10

καὶ ἄλλοτε·

Μάστιξε δ' ἐλάαν.

Ἐρωτηθεὶς ποταπὸς εἴη κύων, ἔφη· "Πεινῶν Μελιταῖος, χορτασθεὶς δὲ Μολοττικός, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ 15 τὴν θήραν."

56 Ἐρωτηθεὶς εἰ οἱ σοφοὶ πλακοῦντα ἐσθίουσι, "Πάντα," εἶπεν, "ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι." Ἐρωτηθεὶς διὰ τί προσαίταις μὲν ἐπιδιδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη· "Ὅτι
f. 72v χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι | ἐλπίζουσι, φιλοσοφῆσαι 20 δὲ οὐδέποτε." Φιλάργυρον ᾔτει· τοῦ δὲ βράδυνοντος, "Ἄνθρωπε," εἶπεν, "εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν." Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· "Ἦν ποτε χρόνος ἐκεῖνος ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἔγωγε νῦν, σὺ οὐδέποτε." Καὶ πρὸς 25

10 Eurip. *Phoen.* 40. Cf. Stob. *Flor.* 3.17.15 **12** cf. *Iliad.* 5.366 et al.; Eustath. *in Iliad.* 860 et 949

7 δυνήσεται Φ : δύναται BPF **12** μάστιξε δ' Φ et P : ἐμάστιξεν B : ἐμάστιξε δ' F : μάστιξεν δ' ex *Iliade* *Frob.* **13** ποταπὸς Φ : ποδαπὸς BPF | εἴη Φ et P : εἶ B F **17** πάντα scripsi ex BF : πάντες Φ : πάντ' P **25** ἔγωγε : ἐγὼ BPF

ἄλλον τὸ αὐτὸ ὀνειδίσαντα, "Καὶ γὰρ ἐνούρουν θᾶττον,"
εἶπεν, "ἀλλὰ νῦν οὔ." Εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος **57**
μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, ἔφη· "Ἄνδρες
Μύνδιοι, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ."
5 Θεασάμενος πορφυροκλέπτην πεφωραμένον ἔφη·

Ἔλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Κρατεροῦ ἀξιοῦντες πρὸς αὐτὸν ἀπιέναι, "Ἀλλὰ βούλο-
μαι," ἔφη, "ἐν Ἀθήναις ἅλα λείχειν ἢ παρὰ Κρατερῷ τῆς
πολυτελοῦς τραπέζης ἀπολαύειν." Ἀναξιμένει τῷ ῥήτορι
10 παχεῖ ὄντι προσελθών, "Ἐπίδος καὶ ἡμῖν," ἔφη, "τοῖς
πτωχοῖς τῆς γαστρός· καὶ γὰρ καὶ αὐτὸς κουφισθήσῃ, καὶ
ἡμᾶς ὠφελήσεις." Τοῦ αὐτοῦ ῥήτορος διαλεγομένου ποτέ,
τάριχος προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακ-
τοῦντος δέ, "Τὴν Ἀναξιμένους," ἔφη, "διάλεξιν ὀβολοῦ
15 τάριχος διαλέλυκεν."
Ὀνειδιζόμενος ὅτι ἐν ἀγορᾷ ἔφαγεν, "Ἐν ἀγορᾷ γάρ," **58**
ἔφη, "καὶ ἐπείνησα." Πρὸς τὸν εἰπόντα ὅτι "Οἱ πλείους
σου καταγελῶσι," "Κἀκείνων τυχόν," εἶπεν, "οἱ ὄνοι·
ἀλλ' οὔτε ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτε ἐγὼ ἐκεί-
20 νων." Θεασάμενος μειράκιον φιλοσοφοῦν, "Εὖγε," εἶπεν,
"ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος
μετάγεις." Θαυμάζοντός τινος τὰ ἐν Σαμοθρᾴκῃ ἀναθή- **59**
ματα, | ἔφη· "Πολλῷ ἂν ἦν πλείω εἰ καὶ οἱ μὴ σωθέντες f. 73r
ἀνετίθεσαν." Εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον

6 *Iliad.* 5.83

1 τὸ αὐτὸ **Φ** : ἐπὶ τὸ αὐτὸ F : ἐπὶ τοῦ αὐτοῦ BP | ἐνούρουν **Φ** et B² in mg : ἐνεούρουν B¹PF **2** εἶπεν **Φ** : om. BPF **3** ἔφη **Φ** et BF : om. P **6** ἔλαβε **Φ** et P¹F : ἔλλαβε Lambros ex BP⁵ ex *Iliade* **7** κρατεροῦ **Φ** et BF : κρατέρου Lambros ex P **8** κρατερῷ **Φ** et BF : κρατέρω Lambros ex P **11** καὶ αὐτὸς **Φ** : αὐτὸς BPF **12** ῥήτορος **Φ** : om. BPF **13** τάριχος **Φ** et BP¹ : τάριχον FP⁴ | περιέσπασε **Φ** et PF : προσέσπασε B **23** ἦν **Φ** : εἴη BPF

ἔφη· "Χείρων ἐπανήξεις·" τοῦ δὲ ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος· "Καὶ ἀπῆλθον καὶ χείρων οὐκ ἐγενόμην," ἔφη· "Χείρων μὲν οὔ, Εὐρυτίων δέ." Δύσκολον ᾔτει· τοῦ δ' εἰπόντος· "Ἐάν με πείσῃς," ἔφη· "Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα ἄν σε ἀπάγξασθαι." Ἐπανήρχετο ἐκ 5 Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον· "Ποῖ καὶ πόθεν;" "Ἐκ τῆς ἀνδρωνίτιδος," εἶπεν, "εἰς τὴν γυναικωνῖτιν."

60 Ἐπανῄει ἀπὸ Ὀλυμπίων· πρὸς οὖν τὸν πυθόμενον εἰ ὄχλος ἦν ⟨πολύς⟩, "Πολὺς μέν," εἶπεν, "⟨ὁ⟩ ὄχλος, ὀλίγοι δ' 10 ἄνθρωποι." Τοὺς ἀσώτους ἔφη παραπλησίους εἶναι συκαῖς ἐπὶ κρημνῷ πεφυκυίαις, ὧν τοῦ καρποῦ ἄνθρωπος μὲν οὐκ ἀπογεύεται, κόρακες δὲ καὶ γῦπες ἐσθίουσι. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς ἐπέγραψεν· "Ἀπὸ τῆς τῶν Ἑλλήνων ἀκρασίας." Ἀλεξάν- 15 δρου ἐπιστάντος αὐτῷ καὶ εἰπόντος· "Ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς," "Κἀγώ," φησί, "Διογένης ὁ Κύων." Ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη· "Τοὺς **61** μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων." Ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυ- 20 λάττοντος εἰπόντος· "Αὐτόθι πρώην ἄνθρωπος ἀπήγξατο," "Ἐγὼ οὖν," φησίν, "αὐτὴν καθαρῶ." Ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, "Ἴδε," ἔφη, "κριὸν Ἀρειμάνιον ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται." Τὰς εὐπρεπεῖς ἑταίρας ἔλεγε θανασίμῳ μελικράτῳ 25 παραπλησίας εἶναι. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχῶς ἔλεγον· "Κύον·" ὁ δέ, "Ὑμεῖς ἐστε κύνες," ἔφη, "οἵ με ἀριστῶντα περιεστήκατε." Δύο μαλακῶν

28–p. 279.2 cf. 6.45

5 ἄν σε **Φ** : σε ἂν BP : ἂν F **10** ἦν **Φ** et BP : εἴη F | πολύς[1] addidi ex BPF | ὁ addidi ex BPF **11** ἄνθρωποι **Φ** et BP : οἱ ἄνθρωποι F | ἔφη **Φ** et BP : εἶπε F | εἶναι om. F **21** αὐτόθι **Φ** : αὐτόθεν BPF **22** καθάρω **Φ** et BPF **24** ἀριμάνιον **Φ** **27** συνεχὲς BPF | κύον **Φ** et PF : κύων B

περικρυπτομένων αὐτὸν ἔφη· | "Μὴ εὐλαβεῖσθε· κύων f. 73v
τευτλία οὐ τρώγει." Περὶ παιδὸς πεπορνευκότος ἐρωτηθεὶς
πόθεν εἴη, "Τεγεάτης," ἔφη.

Ἀφυῆ παλαιστὴν ἰδὼν ἰατρεύοντα ἔφη· "Τί τοῦτο; Ἦ 62
5 ἵνα τούς ποτέ σε νικήσαντας νῦν καταβάλῃς;" Υἱὸν
ἑταίρας ἰδὼν λίθον εἰς ὄχλον βάλλοντα, "Πρόσεχε," ἔφη,
"μὴ τὸν πατέρα πλήξῃς." Δείξαντος αὐτῷ παιδαρίου
μάχαιραν ἣν ἔλαβε παρὰ ἐραστοῦ, "Ἡ μὲν μάχαιρα,"
ἔφη, "καλή, ἡ δὲ λαβὴ αἰσχρά." Ἐπαινούντων τινῶν τὸν
10 ἐπιδόντα αὐτῷ ἔφη· "Ἐμὲ δὲ οὐκ ἐπαινεῖτε τὸν ἄξιον
λαβεῖν;" Ἀπαιτούμενος ὑπό τινος τρίβωνα ἔφη· "Εἰ μὲν
ἐχαρίσω, ἔχω· εἰ δὲ ἔχρησας, χρῶμαι." Ὑποβολιμαίου
τινὸς εἰπόντος αὐτῷ ὅτι χρυσὸν ἔχοι ἐν τῷ ἱματίῳ, "Ναί,"
ἔφη· "διὰ τοῦτο αὐτὸ ὑποβεβλημένος †κοιμῶμαι.†" Ἐρω- 63
15 τηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Εἰ μηδὲν
ἄλλο, τὸ γοῦν πρὸς πᾶσαν τύχην παρεσκευάσθαι." Ἐρω-
τηθεὶς πόθεν εἴη, "Κοσμοπολίτης," ἔφη. Θυόντων τινῶν
τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη· "Περὶ δὲ τοῦ ποδαπὸς
ἐκβῇ οὐ θύετε;" Ἔρανόν ποτε ἀπαιτούμενος πρὸς τὸν
20 ἐρανάρχην ἔφη·

Τοὺς ἄλλους ἐράνιζ᾽, ἀπὸ δ᾽ Ἕκτορος ἴσχεο χεῖρας.

Τὰς ἑταίρας ἔφη βασιλέων εἶναι βασιλίσσας· αἰτεῖν γὰρ
ὅ τι ἂν δόξῃ αὐταῖς. Ψηφισαμένων Ἀθηναίων Ἀλέξαν-
δρον Διόνυσον, "Κἀμέ," ἔφη, "Σάραπιν ποιήσατε." Πρὸς

22–23 Stob. *Flor.* 4.21.15

2 τευτλία **Φ** et BP[1] in mg : τεῦτλα P[1]F **4** ἰδὼν **Φ** : θεασάμενος BPF **5** καταβάλῃς scripsi ex BPF : καταβαλεῖς **Φ** **6** ἰδὼν **Φ** : θεασάμενος BPF **8** ἔλαβε **Φ** : εἴληφε B : εἰλήφει PF **14** κοιμῶμαι **Φ** et BPF : κοιμᾷ Cobet **19** ἀπαιτούμενος **Φ** : αἰτούμενος BPF **21** ἐράνιζ᾽ **Φ** (-ρ- ex corr.), Stephanus, Menag. : ἐνάριζ᾽ BPF **22** βασιλέων scripsi ex BPF : βασιλέως **Φ** | αἰτεῖν **Φ** et (B)PF : πράττειν Cobet

τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίοι, "Καὶ γὰρ ὁ ἥλιος," ἔφη, "εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται."

f. 74ʳ Ἐν ἱερῷ δειπνῶν, | μεταξὺ ῥυπαρῶν ἄρτων παρατε-
64 θέντων, ἄρας αὐτοὺς ἔρριψεν, εἰπὼν εἰς ἱερὸν μηδὲν δεῖν 5 ῥυπαρὸν εἰσιέναι. Πρὸς τὸν εἰπόντα· "Οὐδὲν εἰδὼς φιλοσοφεῖς," ἔφη· "Εἰ καὶ προσποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι." Πρὸς τὸν συνιστάντα τὸν παῖδα καὶ λέγοντα ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, "Τί οὖν," εἶπεν, "ἐμοῦ χρῄζει;" Τοὺς λέγοντας μὲν τὰ σπου- 10 δαῖα, μὴ ποιοῦντας δὲ ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. Εἰς θέατρον εἰσῄει ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διὰ
65 τί, "Τοῦτ'," ἔφη, "ἐν παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν." Ἰδών ποτε νεανίσκον θηλυνόμενον, "Οὐκ αἰσχύνῃ," ἔφη, "χεί- 15 ρονα τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος; Ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι." Ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, "Οὐκ αἰσχύνῃ," ἔφη, "τοὺς μὲν φθόγγους τῷ ξύλῳ προσαρμόττων, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων;" Πρὸς τὸν εἰπόντα· 20 "Ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν," "Τί οὖν," εἶπε, "ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι;" Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρός, "Οὐκ αἰσχύνῃ," ἔφη, "καταφρονῶν τούτου δι' ὃν μέγα φρονεῖς;" Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, "Οὐκ αἰσχύνῃ," ἔφη, "ἐξ ἐλεφαντίνου 25 κολεοῦ μολυβδίνην ἕλκων μάχαιραν;"

66 Ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, "Καὶ γὰρ ἐν κουρείῳ," ἔφη, "κείρομαι." Ὀνειδιζόμενος ὅτι παρὰ Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη·

1 ὀνειδίζοντα **Φ** et BP : ὀνειδίσαντα F | ὡς **Φ** et BP : ὅτι F | εἰσίοι **Φ** et P : εἰσίει B : εἰσῄει F **2** ὁ **Φ** et F : om. BP **5** αὐτοὺς **Φ** et BP : om. F | μηδὲν **Φ** : μηδένα BP : μὴ F **7** σοφίαν **Φ** et PF[2] : φιλοσοφίαν B **14** ἐν **Φ** : om. BPF[2] **21** εἶπε **Φ** : ἔφη BPF **22** μέλοι B **26** μολιβδίνην **Φ** **27** γὰρ **Φ** : om. BPF **28** ἔφη **Φ** : φησί BPF

Οὔ τι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

Πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα· "Φύλαξαι," πλήξας αὐτὸν τῇ βακτηρίᾳ ἔφη· "Φύλαξαι." Πρὸς τὸν λιπαροῦντα τὴν ἑταίραν [καὶ λέγοντα], "Τί θέλεις,"
5 ἔφη, "τυχεῖν, ὦ ταλαίπωρε, οὗ τὸ ἀποτυχεῖν ἄμεινόν ἐστι;" Πρὸς | τὸν μυριζόμενον, "Βλέπε," εἶπε, "μὴ ἡ τῆς f. 74v κεφαλῆς σου εὐωδία δυσωδίαν σου τῷ βίῳ παράσχῃ." Τοὺς μὲν οἰκέτας τοῖς δεσπόταις, τοὺς δὲ φαύλους ἐπιθυμίαις δουλεύειν ἔλεγεν. Ἐρωτηθεὶς διὰ τί ἀνδράποδα **67**
10 ἐκλήθη, "Ὅτι," φησί, "τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ νῦν ὁ ἐξετάζων." Ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν, "Ὅτι," εἶπε, "παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ 'θεῶν ἐν γούνασι κεῖται' εἰ πάλιν
15 λήψομαι." Ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, "Κἀκεῖνος," εἶπεν, "αἰτεῖ, ⟨ἀλλ'⟩

ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι."

Ἰδὼν τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών· "Ἵνα μὴ πληγῶ." Τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν.
20 Ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, "Πῶς," εἶπε, "κακός, **68** οὗ παρόντος οὐκ αἰσθανόμεθα;" Πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα· "Οὐ φοβῇ με;" "Τί γάρ," εἶπεν, "εἶ; Ἀγαθὸν ἢ κακόν;" Τοῦ δὲ εἰπόντος· "Ἀγαθόν," "Τίς οὖν;" εἶπε, "φοβεῖται τὸ ἀγαθόν;" Τὴν παιδείαν εἶπε τοῖς μὲν
25 νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν,

1 *Iliad.* 3.65 **11** Ἄσωτον – **15** λήψομαι : Stob. *Flor.* 3.15.9 **17** *Odyss.* 1.157; 4.70

1 οὔ τι **Φ** et F² : οὔ τοι Lambros ex BP, *Iliade* **4** τὴν ἑταίραν **Φ** : τῇ ἑταίρᾳ BPF | καὶ λέγοντα seclusi, om. BPF **8** ταῖς ἐπιθυμίαις F **9** ἔλεγεν **Φ** : om. BPF : εἶπε (post οἰκέτας) add. in mg P⁵ **12** αἰτεῖ **Φ** : ζητεῖ PF² et Stob. : om. B (spatio 5 litt. relicto) **16** ἀλλ' add. Lambros ex BPF **24** εἶπε² **Φ** et BP : ἔφη F

τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. Πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντα κόρης ὀφθαλμόν, "Ὅρα μὴ τὸν ὀφθαλμόν," φησί, "τῆς παρθένου θεραπεύων τὴν κόρην φθείρῃς." Εἰπόντος τινὸς ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, "Καὶ τί δεῖ πράττειν," ἔφη, "εἰ δεήσει τοῖς 5
69 φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι;" Ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη· "Παρρησία." Εἰσελθὼν εἰς διδασκάλου καὶ Μούσας μὲν ἰδὼν πολλάς, μαθητὰς δὲ ὀλίγους, "Σὺν θεοῖς," ἔφη, "διδάσκαλε, πολλοὺς μαθητὰς
f. 75ʳ ἔχεις." Εἰώθει δὲ πάντα ποιεῖν | ἐν τῷ μέσῳ, καὶ τὰ 10 Δήμητρος καὶ τὰ Ἀφροδίτης. Καὶ τοιούτοις τινὰς ἠρώτα λόγους· Εἰ τὸ ἀριστᾶν μηθὲν εἴη ἄτοπον, οὐδ' ἐν ἀγορᾷ ἐστιν ἄτοπον· οὐκ ἔστι δὲ ἄτοπον τὸ ἀριστᾶν· οὐδ' ἄρα ἐν ἀγορᾷ ἐστιν ἄτοπον.

0 Ἀγγελλομένου Φιλίππου ὡς μέλλοι τῇ Κορίνθῳ προσ- 15 βάλλειν καὶ πάντων πρὸς ἔργοις ὄντων καὶ περισπωμένων, οὗτος τὸν οἰκεῖον πίθον ἐκύλιεν· ἐρομένων δέ τινων· "Ὅτου χάριν, Διόγενες;" "Ὅτι," ἔφη, "πάντων ταλαιπωρουμένων ἐμὲ μηδὲν ποιεῖν ἄτοπον· κυλίω γοῦν τὸν πίθον, οὐδὲν ἄλλο διαπράττεσθαι ἔχων." Ὡραῖον 20 ἰδὼν μειράκιον ἀτάκτως ἄνω καὶ κάτω φερόμενον καὶ μεταπηδῶν συνεχῶς, ἔφη·

> Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
> ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ.

71 Ἔλεγε τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου διεξάγειν ὅν- 25
72 περ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων, | πάντα τῶν σοφῶν εἶναι λέγων. Εὐγενείας δὲ καὶ δόξας καὶ τὰ

15–20 ἔχων : cf. Luc. *Quomodo hist. conscribenda* 3
23–24 *Iliad.* 16.617–618

2 post ἰατρεύοντα addunt ποτὲ BP : om Φ et F **7** κάλλιστον scripsi ex BPF : καλόν ἐστιν Φ **10–11** καὶ τὰ δήμητρος καὶ τὰ ἀφροδίτης erasum in Φ **13** ἄρα Φ : om. BPF **15–24** Φ : om. BPF

τοιαῦτα πάντα διέπαιζε, προκοσμήματα κακίας εἶναι λέγων· μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ. Ἔλεγε δὲ καὶ κοινὰς δεῖν εἶναι τὰς γυναῖκας, γάμον μηδὲν ὀνομάζων, ἀλλὰ τὸν πείσαντα τῇ †πεισάσῃ†
5 συνεῖναι· κοινοὺς δὲ τοὺς υἱέας. Μηδέν τε ἄτοπον εἶναι **73** ἐξ ἱεροῦ τι λαβεῖν ἢ τῶν ζῴων τινὸς γεύσασθαι· μηδὲ ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπίνων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν. Ἔλεγε δὲ καὶ πάντα ἐν πᾶσιν εἶναι· ἐν τῷ ἄρτῳ κρέας καὶ ἐν τῷ λαχάνῳ ἄρτον.
10 Ἤνεγκε δὲ καὶ τὴν πρᾶσιν γενναιότατα· πλέων γὰρ εἰς **74** Αἴγιναν καὶ πειραταῖς ἁλοὺς ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην †ἀνεπαχθῶς† ἐπράθη τῷ προειρημένῳ Κορινθίῳ Ξενιάδῃ.

Θαυμαστὴ δέ τις ἦν περὶ τὸν ἄνδρα πειθώ, ὥστε πάνθ' **75**
15 ὁντινοῦν ῥᾳδίως αἱρεῖν τοῖς λόγοις. Λέγεται | γοῦν Ὀνη- f. 75ᵛ σίκριτόν τινα Αἰγινήτην πέμψαι εἰς τὰς Ἀθήνας δυοῖν ὄντοιν υἱοῖν τὸν ἕτερον Ἀνδροσθένη, ὃν ἀκούσαντα τοῦ Διογένους αὐτόθι προσμεῖναι· τὸν δ' ⟨ἐπ'⟩ αὐτῷ καὶ τὸν ἕτερον ἀποστεῖλαι, τὸν πρεσβύτερον Φιλίσκον· ὁμοίως δὲ
20 καὶ αὐτὸν κατασχεθῆναι. Τὸ τρίτον αὐτὸν ἀφ⟨ικ⟩όμενον **76** μηδὲν ἧττον συνεῖναι τοῖς παισὶ φιλοσοφοῦντα. Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφοροι λέγονται λόγοι· οἱ μὲν γὰρ φασι †βοὸς πόδα† φαγόντα ὠμὸν χολερικῇ ληφθῆναι καὶ ὧδε τελευτῆσαι· οἱ δὲ τὸ πνεῦμα συγκρατήσαντα, ὧν ἐστι

21–23 Athen. 8, 341 E

1 προκοσμήματα **Φ** et FP[4] : προσκοσμήματα BP[1] **2** ἐν τῷ κόσμῳ F **4** μηδὲν **Φ** et PF : μηδὲ B | πεισάσῃ **Φ** et B PF : πεισθείσῃ recte Stephanus **6** τινὰ F **7** ἀνθρωπίνων **Φ** : ἀνθρωπείων BPF **8** ἐθῶν om. F **11** Σκίρπαλος scripsi ex BPF : σκίπαρλος **Φ** **12** ἀνεπαχθῶς **Φ** : ἀπαχθεὶς BPF | ἐπράθη **Φ** et *Suda* : ἐπιπράσκετο BPF **17** ἀνδροσθένη **Φ** et B[2]P : ἀνδροσθένην B[1]F **18** ἐπ' αὐτῷ **Ψ** : αὐτῷ **Φ** : ἐπ' αὐτὸν BPF **20** ἀφικόμενον **Ψ** et BPF : ἀφόμενον **Φ** **22** αὐτοῦ **Φ** : om. BPF **23** φασι **Φ** : om. BPF | βοὸς πόδα **Φ** et BPF : πολύποδα Casaubon ex Athen. | χολερικῇ **Φ** : χολερικῶς BPF

καὶ Κερκίδας, λέγων ἐν τοῖς μελιάμβοις οὕτως·

Οὐ μὰν ὁ πάρος †γ' ἔα† Σινωπεὺς
τῆνος ὁ βακτροφόρος,
διπλοείματος, αἰθεριβόσκας·
77 ἀλλ' ἀνέβα ⟨*⟩ 5
χεῖλος †πάντ' ὀδόντ'† ἐρείσας
καὶ τὸ πνεῦμα συνδακών·
†ἧς γὰρ ἀλαθέως Διογένης, Ζανὸς γόνος†
οὐράνιός τε κύων.

Ἄλλοι φασὶ πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον 10 οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα καὶ καταστρέψαι. Οἱ μέντοι γνώριμοι αὐτοῦ καταλαμβάνουσιν αὐτὸν ἐγκεκαλυμμένον καὶ εἴκασαν αὐτὸν κοιμᾶσθαι· ἀποπετάσαντες δὲ τὸν τρίβωνα ἔκπνουν αὐτὸν εὑρίσκουσι καὶ ὑπέλαβον τοῦτο πρᾶξαι λοιπὸν ὑπεξελθεῖν βουλόμενον 15 τοῦ βίου.

78 Ἔνθα καὶ στάσις ἐγένετο τῶν γνωρίμων, τίνες αὐτὸν θάψουσιν· ἀλλὰ καὶ μέχρι χειρῶν ἦλθον. Ἀφικομένων δὲ τῶν ὑπερεχόντων, ὑπὸ τούτοις ἐτάφη παρὰ τῇ πύλῃ τῇ φερούσῃ εἰς τὸν Ἰσθμόν. Ἐπέστησαν δὲ αὐτῷ οὗτοι καὶ 20 κίονα καὶ ἐπ' αὐτῷ λίθου Παρίου κύνα. Ὕστερον δὲ καὶ

2–9 Powell, p. 202

2 γ' ἔα **Φ** et BPF : γα Bergk **3** βακτροφόρος **Φ** : βακτροφόρας BPF **4** διπλείματος ab Arnim | αἰθεριβόσκος F **5** post ἀνέβα lac. indic. ab Arnim **6** πάντ' ὀδόντ' **Φ** : ποτ' ὀδόντας BPF **7** secl. Cobet **8** ἧς γὰρ ἀλαθέως διογένης ζανὸς γόνος **Φ** et BPF (γόνος **Φ** et P^2 : τόνος BP^1 : τόκος F) : Ζανὸς γόνος ἧς γὰρ ἀλαθέως [Διογένης] ab Arnim, agn. Powell **13** καὶ **Φ** : οὐ δὴ BPF | κοιμᾶσθαι **Φ** : κοιμώμενον BPF **14** εὑρίσκουσι **Φ** : καταλαμβάνουσι B PF **18** θάψουσιν **Φ** et F : θάψωσιν BP **19** τῶν πατέρων καὶ τῶν ὑπερεχόντων BPF | ἐτάφη **Φ** : ταφῆναι τὸν ἄνδρα BPF **20** δὲ **Φ** : τε BPF | post αὐτῷ addit **Φ** οὗτοι καὶ : om. BPF

οἱ πολῖται αὐτοῦ χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν καὶ ἐπέγραψαν οὕτω·

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ·
5 μοῦνος †ἐπὶ† βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
θνητοῖς καὶ ζωῆς οἶμον ἐλαφροτάταν.

Ἕτερον εἰς αὐτὸν ἐπίγραμμα· | **79**

Διόγενες, ἄγε λέγε, τίς ἔλαβέ σε μόρος f. 76[r]
†εἰς Ἀΐδαο;†—Ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

10 Ἔνιοι δέ φασι τελευτῶντα αὐτὸν ἐντείλασθαι ἄταφον ῥῖψαι, ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι, ἢ εἰς βόθρον συνῶσαι καὶ ὀλίγην κόνιν ἐπαμῆσαι· οἱ δὲ εἰς τὸν Ἰλισσὸν ἐμβαλεῖν, ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται. Λέγεται δὲ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διο-
15 γένη δ' ἐν Κορίνθῳ τελευτῆσαι.

Οἱ Κυνικοὶ δὲ πάντες περιῄρουν τὸν λογικὸν καὶ ⟨τὸν⟩ **103** φυσικὸν τόπον, τῷ ἠθικῷ δὲ μόνῳ προσεῖχον. Ἔλεγε γοῦν Διογένης· "Δεῖ ζητεῖν

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται."

20 Παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα· γράμματα

3–6 *Anth. Pal.* 16.334; *Suda,* 362 Φιλίσκος Αἰγινήτης **8–9** *Anth. Pal.* 7.116; *Suda,* 180 Ἄγε δῆτα; 1141 Διογένης et 28 Ὀδάξ **19** *Odyss.* 4.392. Cf. DL 2.21

3 γηράσκει **Φ**, *Pal., Suda* : γηράσι B, γηράσει PF[2] mg, *Plan.* | χαλκὸς : χρυσὸς *Suda* **5** ἐπὶ **Φ** et BF, *Suda* : ἐπεὶ P, *Pal.*, Lambros : γὰρ *Plan.* | βιοτᾶς : βιοτᾷ *Suda* | αὐτάρκεα **Φ**[3] P, *Pal.* : αὐταρκέα **Φ**[1] et BF, *Suda* **6** καὶ ζωῆς οἶμον ἐλαφροτάταν **Φ** et BPF, *Pal.* : οἷς ζωῆς οἶμος ἐλαφροτάτη *Suda* **9** εἰς **Φ** et BPF : ἐς *Pal., Suda* | ἀΐδαο **Φ** et F : ἄϊδος BP, *Pal., Suda* | ἄγριον om. *Suda* A 180 et Δ 1141 **14** διογένη **Φ** et BP : διογένην **ΔΠ** et F **16** τὸν[2] addidi ex BPF **17** τόπον scripsi ex BPF : τρόπον **Φ**

104 γοῦν μὴ μαθάνειν ἔφασκεν Ἀντισθένης. Περιαιροῦσι δὲ καὶ γεωμετρίαν καὶ μουσικήν. Πρὸς γοῦν τὸν ἐπιδεικνύντα ⟨αὐτῷ⟩ ὡροσκοπεῖον, "Χρήσιμον," ἔφη, "τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δείπνου." Πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ μουσικὴν ἔφη· 5

> "Γνώμας γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
> εὖ δ' οἶκος, οὐ †ψαλμοῖς† καὶ τερετίσμασιν."

Ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν· ὅθεν τὸν Κυνισμὸν εἰρήκασι "σύντομον ἐπ' ἀρετὴν ὁδόν." Ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιοῦν, αὐτάρκεσι χρωμένοις 10 σιτίοις καὶ τρίβωσι μόνοις, πλούτου καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν· ἐνίοτε καὶ βοτάναις καὶ ὕδατι χρωμένοις ψυχρῷ, σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις. Ἔφασκε γοῦν Διογένης θεῶν μὲν ἴδιον εἶναι μηδενὸς δεῖσθαι, τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρῄζειν. Ἀρέσκει 15 δ' αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι καὶ ἀναπόβλητον ὑπάρχειν· τύχῃ τε μηδὲν ἐπιτρέπειν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγουσιν.

50. ΜΟΝΙΜΟΣ

82 Μονίμῳ τῷ Συρρακουσίῳ οἰκέτῃ ὄντι τραπεζίτου | 20 f. 76v τινὸς Κορινθίου διηγούμενος τὴν ἀρετὴν τῶν ἔργων καὶ λόγων Διογένους ὁ ἐκεῖνον ἐωνημένος Ξενιάδης, εἰς ἔρωτα τοῦ ἀνδρὸς αὐτὸν ἐνέβαλεν. Αὐτίκα γὰρ ἐκεῖνος μανίαν προσποιηθεὶς τό τε κέρμα διερρίπτει καὶ πᾶν τὸ ἐπὶ

6–7 Eurip. *Antiope*, Fr. 200 N[2] **8–16** ἀναπόβλητον : *Suda*, 2712 Κυνισμός

3 αὐτῷ addidi ex BPF (cf. v. 4) | ὡροσκοπεῖον **Φ** et F : ὡροσκόπιον BP **6** ἀνδρῶν **Φ** et BPF : ἀνδρὸς Eurip. **7** ψαλμοῖς **Φ** et BP : ψαλμοῖσι F | τερεττίσμασιν **Φ** **12** ἐνίοτε **Φ** (et coni. Reiske) : ἔνιοι τε BP : ἔνιοι F : ἔνιοι δὲ *Suda* **13** χρωμένοις **Φ** : χρῶνται BPF : ἐχρῶντο *Suda* **14** θεῶν : θεοῦ *Suda* | τὸ μηδενὸς *Suda* (cf. v. 15) **15** θεοῖς : θεῷ *Suda* **23** ἐκεῖνος om. F

τῆς τραπέζης ἀργύριον, ἕως αὐτὸν ὁ δεσπότης παρῃτή-
σατο· καὶ ὃς αὐτίκα Διογένους ἦν.

51. ΚΡΑΤΗΣ

Κράτητος τοῦ Θηβαίου, ἑνὸς τῶν ἐλλογίμων τοῦ **85**
5 Κυνὸς μαθητῶν, φέρονται παίγνια τάδε·

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
καλὴ καὶ πίειρα, περίρρυτος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις ⟨εἰσ⟩πλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·
10 ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους.
Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

Ἔστι καὶ ἐφημερὶς ἡ θρυλλουμένη οὕτως ἔχουσα· **86**

Τίθει μαγείρῳ μνᾶς δέκ(α), ἰατρῷ δραχμήν,
15 κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

Ἐκαλεῖτο δὲ ⟨καὶ⟩ Θυρεπανοίκτης διὰ τὸ εἰς πᾶσαν
εἰσιέναι οἰκίαν καὶ νουθετεῖν. Ἔλεγον ὡς ἐκ φιλοσοφίας
αὐτῷ περιγένοιτο

20 θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν.

Φέρεται τούτου κἀκεῖνο·

6–12 *Anth. Pal., App.* 5.13 Cougny; *PPF* 10 B 4; Suppl. Hell. 351 **6–7** cf. *Odyss.* 19.172–173 **14–16** *PPF* 10 B 13 **17–18** *Suda,* 2341 Κράτης **20** Stob. *Flor.* 4.33.31; *PPF* 10. B 18

2 αὐτίκα **Φ** (cf. p. 286, v. 23) : εὐθέως BPF **7** περίρρυτος **Φ** et PF (B) : περίρρυτον Wachsmuth : περίρρυπος Stephanus **8** ⟨εἰσ⟩πλεῖ Lambros ex BPF : πλεῖ **ΦΔΠ** **9** πόρνης : πόρνησ' Diels **10** σκόροδα **ΦΔΠ**, ex BPF corr. Lambros **12** οὐχ : οὐδ' Bergk **13** θρυλλουμένη **Φ** et P F : θρυλουμένη B, Lambros **17** καὶ add. Lambros ex BPF **19** περιγένοιντο B

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος·
ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος.

87 Τοῦτόν φασιν ἰδόντα ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἆλλα λυπρὸν ᾆξαι ἐπὶ τὴν Κυνικὴν φιλοσοφίαν· ἐξαργυρισάμενόν τε τὴν οὐσίαν καὶ ἀθροίσαντα πρὸς σ´ τάλαντα, τοῖς πολίταις δοῦναι ταῦτα, αὐτὸν δὲ καρτερῶς φιλοσοφεῖν· 5

⟨καὶ τοῦ⟩ θέρους μὲν [οὖν] εἶχεν ἱμάτιον δασύ,
f. 77ʳ ἵν' ἐγκρατὴς ᾖ, τοῦ δὲ χειμῶνος | ῥάκος.

Φασὶν ὅτι ἔπεισεν αὐτὸν Διογένης τὴν οὐσίαν μηλόβοτον 10 ἀνεῖναι καὶ εἴ τι ἀργύριον εἴη, εἰς θάλασσαν βαλεῖν.
88 Πολλάκις δὲ ⟨τῇ βακτηρίᾳ⟩ τῶν συγγενῶν τοὺς προσιόντας καὶ ἀποτρέποντας ἐδίωκεν. Ἔνιοι δέ φασι τραπεζίτῃ τινὶ παρακαταθέσθαι αὐτὸν τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, ἀποδοῦναι αὐτοῖς· εἰ 15 δὲ φιλόσοφοι, τῷ δήμῳ διανεῖμαι· φιλοσοφοῦντας γὰρ ἐκείνους μηδενὸς δεήσεσθαι.
89 Παρακαλῶν ποτε τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δὲ ἔφη· "Τί γάρ; Οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;" Ἔλεγέ τε ἀδύνατον 20 ⟨εἶναι⟩ ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾷ καὶ σα-

1–2 *Anth. Pal.* 9.497; *Suda*, l.c.; *PPF* 10 B14 **8–9** *PCG* Philemonis Fr. 134

2 $Φ^3$ in mg praebet (ex *A. Pal.* 9.497 : γρ(άφεται)

ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

3 ἰδόντα **Φ** : θεασάμενον BPF **6** σ´ **Φ** : ἑκατὸν (καὶ F) διακόσια BPF | δοῦναι **Φ** : ἀνεῖναι BPF (cf. v. 11) **7** δὲ **Φ** et PF : om. B **8** καὶ τοῦ addidi et οὖν delevi conl. BPF **9** ἐγκρατὴς : ὡς Κράτης Cobet **12** δὲ **Φ** : τε BPF | τῇ βακτηρίᾳ supplevi ex BPF **14** παρακαταθέσθαι **Φ** et F : παρακατατίθεσθαι BP | αὐτὸν om. BPF **15** γενηθεῖεν **Φ** et BP : γένωνται F **21** εἶναι addidi ex BPF | ante καὶ addit ἀεὶ Lambros

πρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῷ μετώπῳ ἐπέγραψε· "Νικόδρομος ἐποίησε." Τὰς πόρνας ἐπίτηδες **90** ἐλοιδόρει, συγγυμνάζων ἑαυτὸν πρὸς τὰς βλασφημίας.
5 Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον ὠνείδισεν εἰπών· "Εἴθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον." Δῆλον οὖν ὡς ὕδωρ ἔπινεν. Ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθεὶς ὅτι σινδόνα ἠμφίεστο, ἔφη· "Καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον."
10 Ἀπιστούντων δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον καὶ ἔδειξε κειρόμενον. Μενεδήμου τοῦ Ἐρετρικοῦ εὐπρεποῦς ὄντος καὶ **91** δοκοῦντος χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἁψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη· ""Ἔνδον Ἀσκληπιάδης;" Ἐφ' ᾧ δυχεράνας ὁ Μενέδημος εἷλκεν αὐτὸν τοῦ
15 ποδός· ὁ δ' ἐπέλεγεν·

ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Ἦν δὲ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγελᾶτο. Εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· "Θάρρει, Κράτης, ὑπὲρ †ὀφθαλμῶν† καὶ τοῦ λοιποῦ σώματος· | τούτους δὲ **92** f. 77v
20 ὄψει τοὺς καταγελῶντας ἤδη συνεσπασμένους ὑπὸ νόσου καί σε μὲν μακαρίζοντας, ἑαυτοὺς δὲ καταμεμφομένους ἐπὶ τῇ ἀργίᾳ." Ἔλεγε μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρις ἂν δόξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. Ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας, ὥσπερ τοὺς μόσχους
25 ἐπειδὰν μετὰ τῶν λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις ⟨συν⟩εἶναι τοὺς προσήκοντας οὔτε τούτοις, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. Συναισθόμενος ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτόν·

16 *Iliad.* 1.591

3 ἐποίησε **Φ** : ἐποίει BPF **10** ἐπήγαγεν B **12** ἀφαψάμενος B **14–16** differt DL **16** ἕλκε **Φ** : ῥῖψε *Iliad.* | διὰ : ἀπὸ *Iliad.* **17** δὲ καὶ τὴν BPF **19** ὀφθαλμῶν **Φ** et BPF : ὤμων conieci | δὲ : γὰρ BPF **20** ἤδη καὶ BPF **21** μὲν om. BPF **25** ⟨συν⟩εἶναι scripsi ex BPF : εἶναι **Φ** **27** συναισθανόμενος BPF

Στείχεις δή, φίλε ⟨*⟩,
βαίνεις εἰς Ἀΐδαο δόμους
κυφὸς ὥρην διὰ γῆρας.

93 Ἦν γὰρ κυφὸς ὑπὸ χρόνου. Ἔχειν ἔλεγε πατρίδα ἀδοξίαν, πενίαν, ἀνάλωτα τῇ τύχῃ, καὶ Διογένους εἶναι πολίτης 5 ἀνεπιβουλεύτου φθόνῳ.

52. ΜΗΤΡΟΚΛΗΣ

94 Μητροκλῆς ὁ Μαρωνείτης ἀκούων Θεοφράστου τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν. Μαθὼν 10 δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθείς, θέρμους ἐπίτηδες βεβρωκώς· ἔπειθε μὲν οὖν αὐτὸν διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν ἀνέρρωσεν αὐτόν, ἀφ' ὁμοιότητος τῶν ἔργων 15 ⟨*⟩. Τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ ἱκανὸς κατὰ φιλοσοφίαν.

53. ΙΠΠΑΡΧΙΑ

96 Ἱππαρχία, ἀδελφὴ Μητροκλέους, ἤρα τοῦ Κράτητος καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων 20 ἐπιστρεφομένη, οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ πάντα ἦν Κράτης αὐτῇ. Καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν ἑαυτήν, εἰ μὴ τούτῳ δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν γονέων αὐτῆς ἀποστρέ-
f. 78r ψαι τὴν παῖδα, πάντα ἐποίει· καὶ τέλος | μὴ πείθων, 25

1–3 *PPF* 10 B 9 **19–21** cf. *Suda*, 448 Ἥρα

1 post φίλε ex BPF κυρτὼν suppl. Lambros **5** πενίαν Φ et P : πένητα F : καὶ πενίαν B **11** καὶ θέρμους BPF **12** οὖν om. BPF | καὶ διὰ BPF **14** ἀπεκρίνατο F **15** post τῶν ἔργων lac. indicavi : παραμυθησάμενος BPF **17** κατὰ φιλοσοφίαν Φ : ἐν φιλοσοφίᾳ BPF **22** δὴ scripsi ex BPF : δὲ Φ **24** ἀποστρέψαι Φ et F : ἀποτρέψαι BP

ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρὺ αὐτῆς ἔφη· "Ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη, πρὸς ταῦτα βουλεύου· οὐδὲ γὰρ ἔσεσθαι κοινωνός, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων γενηθείης."

5 Εἵλετο ἡ παῖς καὶ ταὐτὸν ἀναλαβοῦσα σχῆμα συμπεριῄει τἀνδρὶ καὶ ἐν τῷ φανερῷ συνεγίνετο καὶ ἐπὶ τὰ δεῖπνα ἀπῄει. Ὅτε καὶ πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον ἦλθον, ἔνθα Θεόδωρον τὸν Ἄθεον ἤλεγξε, σόφισμα προτείνασα τοιοῦτο· Ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν 10 λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' ἄρα Ἱππαρχία τύπτουσα Θεόδωρον ἀδικεῖ. Ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς θοἰμάτιον. Ἀλλ' οὔτε κατεπλάγη Ἱππαρχία, οὔτε διεταράχθη ὡς 15 γυνή· ἀλλὰ καὶ εἰπόντος αὐτῇ· "Αὕτη 'στὶν **97** **98**

ἡ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας;"

"Ἐγώ," φησίν, "εἰμί, Θεόδωρε· ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ ἑαυτῆς, εἰ τὸν χρόνον ὃν ἔμελλον ἱστοῖς προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρη-20 σάμην;" Κράτης δέ, ὁ ἀνὴρ αὐτῆς, γέγραφε καὶ τραγῳδίας ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο·

7 Ὅτε – **13** θοἰμάτιον : *Suda*, 448 Ἥρα **16** Eurip. *Bacch.* 1236; *Suda*, 150 Θεόδωρος

1 ἀντικρὺ **Φ** et F : ἄντικρυς BP **3** ἔσεσθαι **ΦΠ** et BP F : ἔσῃ **Δ** **8** ἤλεγξε **Φ** et *Suda* : ἐπήλεγξε BPF **11** ἄρα **Φ** et BP : om. F et *Suda* **13** ἀνεσύρατο *Suda* | θοἰμάτιον : τὸ ῥημάτιον *Suda* **14** ἱππαρχία **Φ** et P : ἡ ἱππαρχία B : om. F **15** αὐτῇ **Φ** et B^2P^1F : om. B^1 : αὐτοῦ P^2 | αὕτη 'στιν **Φ** : αὕτη ἐστὶν **ΔΠ**, BF et *Suda* : αὐτῇ τίνι P^1 **16** post κερκίδας addit *Suda* καὶ τρίβωνα φοροῦσα (ex v. 5?) **19** τοῦτον Φ^1 et BPF : τούτῳ Φ^3

Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

54. ΜΕΝΕΔΗΜΟΣ

102 Μενέδημος ὁ φιλόσοφος εἰς τοσοῦτον τερατείας ἤλασεν, ὥστε Ἐριννύος ἀναλαβὼν σχῆμα περιῄει, λέγων ἐπίσκοπος ἀφῖχθει ἐξ ᾅδου τῶν ἁμαρτανομένων, ὅπως πάλιν κατιὼν ταῦτα ἀπαγγέλλοι τοῖς ἐκεῖ δαίμοσιν. Ἦν δὲ αὐτῷ ἡ ἐσθὴς αὕτη· χιτὼν φαιὸς ποδήρης, περὶ αὐτὸν ζώνη φοινικῆ· πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς ἔχων (f. 78ᵛ) ἐνυφασμένα τὰ δώδεκα στοιχεῖα· ἐμ|βάται τραγικοί· πώγων ὑπερμεγέθης· ῥάβδος ἐν τῇ χειρὶ μειλίνη.

ΤΟΜΟΣ Ζ´

55. ΖΗΝΩΝ

7.1 Ζήνων ὁ Κιττιεὺς ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρους· **2** ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα. Τούτου χρηστηριαζομένου τί πράττων ἄριστα βιώσεται, ἀπεκρίνατο ὁ θεός, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν. Πορφύραν ἐμπεπορευμένος ἀπὸ Φοινίκης πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν. Ἀνελθὼν δὲ εἰς Ἀθήνας ἤδη τριακοντούτης ἐκάθισε παρά τινα βιβλι-

1–3 *TrGF* 90 Fr. 1 Snell; cf. Trag. adesp. 392; *Suppl. Hell.* 364 **5–12** *Suda*, 180 Φαιός **15–19** ἀναγινώσκειν : *Suda*, 76 Αἰγυπτία κληματίς (cf. 79 Ζήνων et 1313 Συγχρωτίζεσθαι)

1 πάτρας Φ et BPF : πάτρα recte Grotius **5** μενέδημος : μένιππος *Suda* | εἰς : ἐπὶ *Suda* **6** ἀναλαβὼν σχῆμα περιῄει : ἀναλαβεῖν σχῆμα *Suda* **8** ἀπαγγέλλοι Φ et BP (ἀπαγγέλλειν *Suda*) : ἀναγγείλη F **9** αὐτὸν Φ et *Suda* : αὐτῷ BPF et *Suda* V **12** μειλίνη ss. $Φ^2$: μηλίνη $Φ^1$ **16** χρηστηριαζομένου Φ et PF, *Suda*, A 76 : χρηστηριασαμένου B **17** τί πράττων : πῶς *Suda* **20** τῆς φοινίκης BPF **21** ἀθήνας Φ et F : τὰς ἀθήνας BP

οπώλην. Ἀναγινώσκοντος δὲ ἐκείνου τὸ β′ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων, ἡσθεὶς ἐπύθετο ποῦ διατρίβοιεν οἱ τοιοῦτοι ἄνδρες. Εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης δείξας αὐτόν φησι· "Τούτῳ παρακολούθησον." Ἐντεῦθεν ἤκουε Κράτητος, ἄλλως μὲν εὔτονος πρὸς φιλοσοφίαν, αἰδήμων δὲ ὡς πρὸς τὴν Κυνικὴν ἀναισχυντίαν. Ὅθεν ὁ Κράτης βουλόμενος αὐτοῦ καὶ τοῦτο θεραπεῦσαι δίδωσι χύτραν φακῆς διὰ τοῦ Κεραμεικοῦ φέρειν. Ἐπειδὴ δὲ εἶδεν αὐτὸν αἰδούμενον καὶ περικαλύπτοντα, παίσας βακτηρίᾳ κατάγνυσι τὴν χύτραν· φεύγοντος δὲ αὐτοῦ καὶ τῆς φακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης· "Τί φεύγεις, Φοινικίδιον; Οὐδὲν δεινὸν πέπονθας." (3; 5; 10; 4)

Φασὶ τὸν Ζήνωνα εἰπεῖν· "Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα." Οἱ δέ φασι διατρίβοντα ἐν Ἀθήναις καὶ ἀκούσαντα τὴν ναυαγίαν εἰπεῖν· "Εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ." Ἕως μὲν οὖν τινος ἤκουε Κράτητος· ὅτε καὶ τὴν Πολιτείαν αὐτοῦ γράψαντός τινες ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ Κυνὸς οὐρᾶς αὐτὴν γεγραφέναι· μετὰ δὲ ἀπέστη πρὸς Στίλπνωνα· | ὅτε καὶ τοῦ Κράτητος ἕλκοντος αὐτὸν τοῦ ἱματίου ἀπὸ Στίλπνωνος εἶπεν· "Ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων· εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπνωνι." (5; 15; 4; 2; 24; 20; f. 79r; 6)

Ἐτίμων δὲ οὕτως αὐτὸν Ἀθηναῖοι, ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι καὶ χρυσῷ στεφάνῳ τιμῆσαι καὶ χαλκῇ εἰκόνι. Τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγουμένους τὴν τἀνδρὸς εἰκόνα. Ἀπεδέχετο δ' αὐτὸν καὶ Ἀντίγονος, καὶ εἴ ποτε Ἀθήναζε (25)

3–4 *Suda,* 3531 Εὐκαίρως **14–17** cf. *Suda,* N 604 **28** cf. Plin. *N.H.* 34.92

5 ἤκουε **Φ** et BP : ἤκουσε F **7** ἀναισχυντίαν **Φ** et B P : φιλοσοφίαν F | αὐτοῦ **Φ** et FP[1] : αὐτὸν BP[2] **8** τοῦτο **Φ** et FP[4] : τούτου BP[1] **9** ἐπεὶ δὲ BPF **25** ὡς **Φ** et B P : ὥστε F

ἥκοι, ἤκουεν αὐτοῦ. Ἔγραψε δὲ καὶ ἐπιστολὴν πρὸς αὐτὸν οὕτως ἔχουσαν·

7 "Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν.

Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τοῦ σοῦ βίου, λόγου δὲ καὶ παιδείας καθυστερεῖν καὶ τῆς τελείας 5 εὐδαιμονίας, ἣν σὺ κέκτησαι. Διόπερ ἔκρινα προσφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμέ, πεπεισμένος σε μὴ ἀντερεῖν πρὸς τὸ ἀξιούμενον. Σὺ οὖν πειράθητι ἐκ παντὸς τρόπου συμμῖξαι μοι, διειληφὼς τοῦτο ὅτι οὐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. Ὁ 10 γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ κατ' ἀρετὴν φανερός ἐστι καὶ τοὺς ὑποτεταγμένους παρασκευάζων πρὸς εὐανδρίαν. Οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι καὶ τοὺς ὑποτεταγμένους." 15

15 Λέγεται δὲ καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. Ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν, "Ὅτι," ἔφη, "πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ οὐδέποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη." Ὅθεν καὶ διὰ Θράσωνος πρεσβευτοῦ 20 ᾔτησεν αὐτῷ Ἀντίγονος τὴν ἐν Κεραμεικῷ ταφήν. |

f.79v **12** Οὗτος ὁ Ζήνων ποιήσας κοῖλον ἐπίθημα τῇ ληκύθῳ περιέφερε νόμισμα, λύσιν ἕτοιμον τῶν ἀναγκαίων ἵν' **13** ἔχοι Κράτης ὁ διδάσκαλος. Φασὶ δὲ δ' αὐτὸν ὑπὲρ χίλια τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦτα δανεί- 25 ζειν ναυτικῶς. Ἤσθιε δὲ ἀρτίδια καὶ μέλι καὶ ὀλίγον εὐώδους οἰναρίου ἔπινε. Παιδαρίοις τε ἐχρῆτο σπανίως, καὶ **14** ἅπαξ ἢ δίς που παιδισκαρίῳ τινί, ἵνα μὴ δοκοίη μισογύ-

22–24 ὁ διδάσκαλος : *Suda*, 438 Λήκυθον **24** Φασὶ – **26** ναυτικῶς : *Suda*, 82 Ναυτικῶς δανείζειν

9 ὅτι **Φ** : διότι BPF **16** καὶ om. F **19** οὐδέποτε **Φ**φ : οὐδεπώποτε BPF **19–20** οὐδὲ ταπεινὸς ὤφθη om. F **21** ἀντίγονος **Φ**, om. BPF **23** ἕτοιμον **Φ** et P[1], *Suda* : ἑτοίμην FP[4] **25** εἰσελθεῖν F **27** τε **Φ** et P : δὲ F | καὶ **Φ** : om. PF

νης εἶναι. Ἐξέκλινε δὲ καὶ τὸ πολυδημῶδες, ὡς ἐπ' ἄκρου 14
καθίζεσθαι τοῦ βάθρου, κερδαίνοντα τὸ γοῦν ἕτερον
μέρος τῆς ἐνοχλήσεως. Οὐ μὴν οὐδὲ μετὰ πλειόνων δύο ἢ
τριῶν περιεπάτει. Ἐνίους δὲ καὶ χαλκὸν εἰσέπραττε τῶν
5 περιϊσταμένων, ὥστε δεδιότας τὸ διδόναι μὴ ἐνοχλεῖν.
Πλειόνων τε περιστάντων αὐτόν, δείξας ἐν τῇ Στοᾷ κατ'
ἄκρου τὸ ξύλινον περιφερὲς τοῦ βωμοῦ ἔφη· "Τοῦτό ποτε
ἐν μέσῳ ἔκειτο, διὰ δὲ τὸ ἐμποδίζειν ἰδίᾳ ἐτέθη· καὶ ὑμεῖς
οὖν ἐκ τοῦ μέσου βαστάσαντες ἑαυτοὺς ἧττον ἡμῖν ἐνο-
10 χλήσετε."

Ἦν δὲ καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμε- 15
νος· ὅθεν ὁ Τίμων ἐν τοῖς Σίλλοις φησὶν οὕτω·

Καὶ Φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
πάντων ἱμείρουσαν· ὁ δ' ἔρρει γύργαθος αὐτῆς
15 μικρὸς †ἰών·† νοῦν δὲ εἶχεν ἐλάσσονα κινδαψοῖο.

Καλλωπιστοῦ τινος ὀχέτιόν τι ὀκνηρῶς ὑπερβαίνοντος, 17
"Δικαίως," εἶπεν, "ὑφορᾷ τὸν πηλόν· οὐ γὰρ ἔστιν ἐν αὐτῷ
κατοπτρίσασθαι." Ἐρωτικῶς διακείμενος Χρεμωνίδου,
παρακαθιζόντων | αὐτοῦ τε καὶ Κλεάνθους, ⟨ἀνέστη· θαυ- f. 80r
20 μάζοντος δὲ τοῦ Κλεάνθους⟩ ἔφη· "Καὶ τῶν ἰατρῶν ἀκούω
τῶν ἀγαθῶν, κράτιστον εἶναι φάρμακον πρὸς τὰ φλεγ-
μαίνοντα ἡσυχίαν." Δυοῖν δ' ὑπερανακειμένοιν ἐν πότῳ

13–15 *PPF* Timonis B 38 = *Suppl. Hell.* 812 **14** ὁ δ' ἔρρει – **15** *Suda,* 609 Σκινδαψός **22** Δυοῖν – **p. 296.3** ὑπὸ σοῦ *Suda,* 606 Σκιμαλίσω

4 ἐνίους **Φ** et BPF : ἐνίοτε Madvig, Wachsmuth **4–5** τῶν περιϊσταμένων **Φ** : τοὺς περιϊσταμένους BPF **5** ὥστε δεδιότας **Φ** : om. BPF **6** τε **Φ** et BP : δὲ F **13** ἴδον **Φ** et P[1] : ἰδὸν B[1] : εἶδον P[2]F **14–15** αὐτῆς μικρὸς **Φ** et DL : αὐτοῦ μικρὸς *Suda* : αὐτῇ σμικρὸς Diels **15** ἰὼν **Φ**, BP[2] et *Suda* : ἐὼν F et Menag. | σκινδαψοῖο *Suda* **16** καλλωπιστοῦ **Φ** : καλλωπιζομένου BPF **19–20** ἀνέστη· θαυμάζοντος δὲ τοῦ Κλεάνθους supplevi ex BPF (δὲ τοῦ P[1] : τε τοῦ BP[2] : om. F) **22** ὑπανακειμένοιν Menag.

καὶ τοῦ †ὑφ' αὐτὸν† τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ γόνατι· ἐπιστραφέντος δέ, "Τί οὖν οἴει," ἔφη, "τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;"

18 Ἔφασκε τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ· 5 εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας. Τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένοις καὶ σολοικικῶς, καθέλκειν μέντοι πολλάκις τὰς **19** κεκαλλιγραφημένας λέξεις. Πρὸς τὸν ὀψοφάγον μηδὲν 10 τοῖς συμβιώταις καταλιπόντα, παρατεθέντος ποτὲ μεγάλου ἰχθύος, ἄρας οἷός τε ἦν κατεσθίειν· ἐμβλέψαντος δέ· "Τί οὖν οἴει," ἔφη, "τοὺς συμβιώτας πάσχειν καθ' ἡμέραν, εἰ σὺ μὴ δύνασαι ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν;" Μειρακίου περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά 15 τι, προσήγαγεν εἰς κάτοπτρον καὶ ἐκέλευσεν ἐμβλέψαι· ἔπειτ' ἠρώτησεν εἰ δοκεῖ αὐτῷ †ἁρμόττον† εἶναι ὄψει τοιαύτῃ ⟨*⟩ ζητήματα. Πρὸς τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκοι, χρείαν Σοφοκλέους προενεγκάμενος ἠρώτησεν εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ 20 δοκεῖ· τοῦ δ' οὐκ εἰδέναι φήσαντος, "Εἶτ' οὐκ αἰσχύνῃ," ἔφη, "εἰ μέν τι κακὸν ἦν εἰρημένον ὑπ' Ἀντισθένους, τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι καλόν, οὐδ' ὑποβαλλόμενος κατέχειν;"

20 Εἰπόντος τινὸς ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν 25

10–14 ὀψοφαγίαν Athen. 8, 345 CD

1 ὑφ' αὐτὸν **Φ**, BP et *Suda* AV : ὑπ' αὐτὸν F et *Suda* GM **3** ἔφη **Φ** : om. BPF et *Suda* **5** ἀλεξανδρηνῷ **Φ**P **6** μὲν om. F **9** σολοικικῶς **Φ** : σολοίκως BPF **10** μηδὲν **Φ** et BP : βραχὺ F **11** καταλείποντα ΔΠ **12** ἐμβλέψαντος **Φ** et Athen. : ἐμβλέψαντι BPF **14** εἰ μὴ σὺ **Φ**, transposui coll. BPF : εἰ σὺ μίαν μὴ Athen. **16** εἰς **Φ** : πρὸς BPF **17** ἁρμόττον **Φ** et BPF : ἁρμόττοντα D **18** τοιαύτῃ **Φ** et BP : τοιαῦτα F : τοιαύτῃ τοιαῦτα ab Arnim **22** ἦν : εἴη ΔΠ **23** οὐδ' **Φ** et PF : οὐκ B **24** ἐπιβαλλόμενος BPF

φιλοσόφων, "Λέγεις," εἶπε, "τἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν εἶναι βραχείας." | Δεῖν ἔλεγε †τῷ νῷ† f. 80ᵛ διαλεγόμενον ὥσπερ τοὺς ὑποκριτὰς τὴν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν, τὸ μέντοι στόμα μὴ διέλκειν· ὃ
5 ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ. Νεανίσ- **21** κου πολλὰ λαλοῦντος ἔφη· "Τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνερρύηκε." Τῶν μαθητῶν αὐτοῦ τινος μεγάλα φυσῶντος, πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. Νεανίσκου τινὸς θρασύτερον
10 διαλεγομένου, "Οὐκ ἂν εἴποιμι," ἔφη, "μειράκιον, †δ'† ἐπέρχεταί μοι."

'Ροδίου τινὸς καλοῦ καὶ πλουσίου, ἄλλως δὲ μηδέν, **22** προσκειμένου αὐτῷ, μὴ βουλόμενος ἀνέχεσθαι, πρῶτον μὲν ἐπὶ τὰ †κεκομμένα† τῶν βάθρων ἐκάθιζεν αὐτόν, ἵνα
15 μολύνῃ τὴν χλανίδα, ἔπειτα εἰς τὸν τῶν πτωχῶν τόπον, ὥστε συναναπρίβεσθαι τοῖς ῥάκεσιν αὐτῶν· καὶ τέλος ἀπῆλθεν ὁ νεανίσκος. Συνεχῶς τε προεφέρετο τοὺς ἐπὶ τοῦ Καπανέως Εὐριπίδου στίχους, ὅτι βίος μὲν ἦν αὐτῷ

ἥκιστα δὲ ὄλβῳ γαῦρος ἦν, φρόνημα †δ'†
20 †οὔ† τι μεῖζον εἶχεν ἢ πένης ἀνήρ.

Δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου· τοῦ δ' εἰπόντος· "Εἵμαρ- **23** τό μοι κλέψαι," "Εἰ κλέψαι," ἔφη, "εἵμαρτο, καὶ δαρῆναι."

7–9 τὸ μέγα : *Suda,* 364 Μεγαλοδωρία; Athen. 14, 629 AB **19–20** Eurip. *Suppl.* 861–863

2 ἔλεγε **Φ** : ἔφη BPF | τῶ νῶ **ΦΠ** : τόνω BP[1] : τὸν νῶ F : τὸν P[2], Lambros **7** αὐτοῦ **Φ** : om. BPF (immo Καφισίου) **10** δ' **Φ** et BP[1]F : ἅ P[2] **14** κεκομμένα **Φ** et BPF : κεκονιμένα *Frob.* **15** χλανίδα **Φ** et BP : χλαμύδα F **17** συνεχῶς **Φ** : συνεχὲς BPF **19** δὲ[1] **Φ** et BPF | δ' **Φ** et P : δὲ BF **20** οὔ **Φ** et BPF : οὐ⟨δέν⟩ Casaubon ex Eurip. **22** εἰ κλέψαι ἔφη εἵμαρτο om. BPF

Τὸ κάλλος εἶπε τῆς †φωνῆς† ἄνθος εἶναι· οἱ δὲ τοῦ κάλλους τὴν †φωνήν.† Τῶν γνωρίμων τινὸς παιδάριον μεμωλωπισμένον θεασάμενος πρὸς αὐτὸν εἶπεν· "Ὁρῶ σου τοῦ θυμοῦ τὰ ἴχνη." Πρὸς τὸν κεχρισμένον τῷ μύρῳ, "Τίς ἐστιν," ἔφη, "ὁ γυναικὸς ὄζων;" Πρὸς τὸ φλυαροῦν 5 μειράκιον, "Διὰ τοῦτο," εἶπε, "δύο ὦτα ἔχομεν, στόμα δὲ **24** ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν." Ἐν f. 81[r] συμποσίῳ κατακείμενος σιγῇ, πρὸς τῶν παρὰ Πτολεμαίου σταλέντων πρέσβεων ἠρωτήθη· "Τί δεῖ περὶ σοῦ λέγειν πρὸς τὸν βασιλέα;" Ὁ δὲ εἶπεν· "Ἀπαγγείλατε ὅτι παρῆν 10 τις πρεσβύτης εἰδὼς σιωπᾶν."

26 Ἐρωτηθεὶς διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται, ἔφη· "Καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται." Ἔλεγε κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθαίνειν ἢ τῇ γλώττῃ. Ἦν δὲ καρτερικώτατος καὶ λιτότατος, ἀπύρῳ 15 τροφῇ χρώμενος καὶ τρίβωνι λεπτῷ, ὥστε λέγεσθαι ἐπ' αὐτοῦ·

27 Τὸν δ' οὔτ' ἂρ χειμὼν κρυόεις, οὐκ ὄμβρος ἀπείρων,
οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ νόσος αἰνή,
οὐκ ἔροτις δήμου ἐναρίθμιος· ἀλλ' ὅ γ' ἀτειρὴς 20
ἀμφὶ διδασκαλίῃ τέταται νύκτας τε καὶ ἦμαρ.

Οἵ γε μὴν κωμικοὶ ἐλάνθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων. Λέγει γὰρ Φιλήμων ἐν δράματι·

5 Πρὸς – **7** λέγωμεν : Stob. *Flor.* 3.36.19 **15–16** *Suda*, 3722 Ἄπυρα σῖτα

1–2 φωνῆς et φωνήν **Φ** et BPF : σωφροσύνης et σωφροσύνην Cobet cf. (7.130) **3** εἶπεν **Φ** : ἔφη BPF **7** πλείω **Φ** et BP : πλείονα F **9** σταλέντων **Φ** : ἀφικόμενοι BPF **10** εἶπεν **Φ** : ἔφη BPF **11** πρεσβύτης **Φ**, om. BPF | εἰδὼς **Φ** : ἐπιστά-μενος BPF **14** ὀλισθαίνειν **Φ** : ὀλισθεῖν BPF **18** οὐκ **Φ** et BP : οὔτ' F **20** ἐναρίθμιος **Φ** et BPF : ἀναρίθμιος Gigante **23** ἐν δράματι Φιλοσόφοις BPF

†Εἰς ἄρτον,† ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ·
φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ,
πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει.

Ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον **28**
5 περιέρρηξε· παίσας δὲ τὴν γῆν τῇ χειρὶ φησὶ τὸ ἐκ τῆς
Νιόβης·

Ἔρχομαι· τί μ' αὔεις; **29**

Καὶ παραχρῆμα ἐτελεύτησεν ἀποπνίξας ἑαυτόν. Καὶ Ἀντίπατρος ὁ Σιδόνιος ἐποίησεν οὕτως εἰς αὐτόν·

10 †Τῆμος† ὅδε Ζήνων †Κιττίῳ† φίλος, ὅς ποτ' Ὄλυμπον
ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος,
οὐδὲ τά γ' Ἡρακλῆος ἀέθλια· τὴν δέ ποτ' ἄστρα
†ἀτραπὸν μοῦνος† εὗρε σαοφροσύνας.

Ὤμνυε δὲ οὗτος καὶ κάππαριν, ὡς ὁ Σωκράτης [καὶ] **32**
15 τὸν κύνα. Κοινάς τε τὰς γυναῖκας ἐδογμάτιζε. Καὶ περὶ **33**
νομίσματος οὕτως εἶπε· "Νόμισμα δὲ οὔτε ἀλλαγῆς ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν, οὔτε ἀποδημίας." Καὶ ἐσθῆτι δὲ τῇ αὐτῇ ἐκέλευε χρῆσθαι ἄνδρας τε καὶ γυναῖκας καὶ μηθὲν μόριον ἀποκεκρύφθαι.

1–3 *PCG* Philemonis Fr. 88. Cf. Clem. *Strom.* 2.121.3 **4–8** ἑαυτόν : *Suda,* 4420 Αὔεις **10–13** *Anth. Pal., App.* 3.104 Cougny **14–15** *Suda,* 327 Κάππαρις

1 εἰς ἄρτον **Φ** et BPF : εἷς ἄρτος Casaubon ex Clem. **5** παίσας **Φ**, PF et *Suda* : πλήσας B **9** σιδώνιος BPF | εἰς αὐτόν **Φ**, om. BPF **10** τῆμος **Φ** et BP : τῆνος F et *Anth.* | κιττίω **Φ**¹Ψ et P¹F : κιτίω **Φ**³ et B **12** ἀέθλια **Φ** et BPF : ἀέθλεε Brunck et Toup | τὰν Meibom. **13** ἀτραπὸν **Φ** et BPF : ἀτραπ(ιτ)ὸν Stephanus | μοῦνος **Φ** et BPF : μούνας Meibom. **14** καί² **Φ**²Ψ : om. BPF **16** εἶπε **Φ** : γράφειν BPF **17** ἀποδημίας ἕνεκεν BPF **18** ἐκέλευε **Φ** : κελεύει BPF

f. 81v

| 56. ΑΡΙΣΤΩΝ

160 Ἀρίστων ὁ Χῖος τέλος ἔφησεν εἶναι τὸ ἀδιφόρως ἔχοντα ζῆν πρός τι μεταξὺ ἀρετῆς καὶ κακίας, μηδ' ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα. Εἶναι γὰρ ὅμοιον τὸν σοφὸν τῷ 5 ἀγαθῷ ὑποκριτῇ, ὃς ἄν τε Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρίνεται προσηκόντως.

161 Ἐοικέναι ἔλεγε τοῖς ἀραχνίοις τοὺς διαλεκτικοὺς λόγους, ἃ καίτοι δοκοῦντα τεχνικόν τι ἐμφαίνειν, ἄχρησ-**162** τά ἐστι. Προσεῖχε δὲ τῷ Στωϊκῷ δόγματι τῷ τὸν σοφὸν μὴ 10 δοξαστὸν εἶναι λέγοντι. Πρὸς ὃ Περσαῖος ἐναντιούμενος διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν· καὶ οὕτως ἀπορούμενον διήλεγξεν. Ἰδὼν ταῦρον τερατώδη μήτραν ἔχοντα, "Οἴμοι," ἔφη, "δέδοται Ἀρκεσιλάῳ ἐπιχείρημα 15 κατὰ τῆς ἐναργείας."

163 Πρὸς τὸν φάμενον μηδὲν καταλαμβάνειν, "Ἆρ' οὐδὲ τὸν πλησίον σου καθήμενον ὁρᾷς;" εἶπεν· ἀρνησαμένου δέ,

†Τίς σε† ἐτύφλωσεν—ἔφη,—τίς ἀφείλετο λαμπάδος αὐγάς; 20

164 Τοῦτον λόγος φαλακρὸν ὄντα ἐγκαυθῆναι ὑπὸ τοῦ ἡλίου καὶ τελευτῆσαι. Καὶ εἰσὶν εἰς αὐτὸν χωλίαμβοι·

2–6 ὑποκριτῇ : *Suda*, 282 Τέλος

3 τι **Φ**, *Suda* et BPF : τὰ *Frob.* **8** ἔλεγε om. BPF **10–11** μὴ δοξαστὸν **ΦΨ** (μὴ ss. add. **Φ**²) : δοξαστὸν BPF : ⟨ἀ⟩δόξαστον Scaliger **11** λέγοντι om. BPF **14** ἰδὼν **Φ** : θεασάμενος BPF **17** τὸν φάμηνον ἀκαδημαϊκὸν BPF **20** τίς σε **Φ** et B : τίς σ' P : τίς F : τίς ⟨δέ⟩ σ' Meibom. **23** καὶ ὧδε τελευτῆσαι BPF

Τί δὴ γέρων ὢν καὶ †φίλανθος, Ἀρίστων,†
τὸ †βρέχμα δῶκας† ἡλίῳ κατοπτῆσαι;
Τοιγὰρ τὸ θερμὸν πλεῖον ἢ δέον ζητῶν
τὸν ψυχρὸν ὄντως εὗρες οὐ θέλων Ἅιδην.

5 57. †ΓΡΙΛΛΟΣ†

†Γρίλλου† τοῦ Χαλκηδονίου ἐράσθησαν ἱκανοί, οὓς Ζήνων ἀποτρέψαι βουλόμενος ἠνάγκασεν αὐτὸν ξυρᾶσθαι, οἱ δὲ ἀπετράποντο. **166**

58. ΔΙΟΝΥΣΙΟΣ

10 Διονύσιος ὁ Ἡρακλειώτης ἀποστὰς Ζήνωνος πρὸς τοὺς Κυρηναϊκοὺς ἀπετράπη καὶ ἔς τε χαμαιτυπεῖα εἰσῄει καὶ τὰ ἄλλα ἀπαρακαλύπτως ἡδυπάθει. Τέλος δὲ ἔλεγε τὴν ἡδονὴν διὰ περίστασιν ὀφθαλμίας· ἀλγήσας γὰρ ἐπιπόνως | ὤκνησεν εἰπεῖν τὸν πόνον ἀδιάφορον. **167** **166** f. 82r

15 59. ΚΛΕΑΝΘΗΣ

Κλεάνθης πρῶτον μὲν ἦν πύκτης· ἀφικόμενος δὲ εἰς Ἀθήνας τέτταρας ἔχων δραχμὰς καὶ Ζήνωνι παραβαλὼν ἐφιλοσόφησε γενναιότατα. Ἀντίγονος ἀκροατὴς ὢν αὐτοῦ ἐπύθετο διὰ τί ἀντλεῖ· ὁ δ' εἶπεν· "Ἀντλῶ γὰρ μόνον; 20 Τί δ'; Οὐχὶ σκάπτω; Τί δ'; Οὐκ ἄρδω καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα;" Ὅθεν καὶ δεύτερος Ἡρακλῆς ἐκαλεῖτο διὰ τὸ πονικόν. Βραδὺς δὲ ἦν καὶ ἀφυής· διὸ καὶ Τίμων εἶπεν οὕτως περὶ αὐτοῦ· **168** **169** **170**

1–4 *Anth. Pal., App.* 5.38 Cougny

1 φίλανθος Φ et BP² : φιλάνθως P¹ : φάλανθος FP⁴ | ἀρίστων Φ et FP⁴ : ὠρίστων B, ὦ 'ρίστων P¹ **2** : βρέχμα (βρέγμα Φ³) δῶκας Φ¹ : βρέγμα δῶκας BPF : βρέγμ' ἔδωκας Cobet **5** ΓΡΙΛΛΟΣ Φ² (om. Ψ) **6** γρίλλου Φ (γ- in ras. Φ²) : ἠρίλλου recte BP | χαλκηδονίου Φ et BPF : Καρχηδονίου *Frob.* **11** εἰσῄει Φ et BP¹ : ὑπεισῄει FP⁴ **12** ἔλεγε Φ : εἶπε BPF **15** *tit.* Φ² Ψ **22** ἀφυής Φ : ἀφύσικος BPF

Τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν;
Μωλυτὴς ἐπέων, †φίλος Ἄσιος,† ὅλμος ἄτολμος.

Καὶ σκωπτόμενος ὑπὸ τῶν συμμαθητῶν καὶ ὄνος ἀκούων ἠνείχετο, λέγων αὐτὸς μόνος δύνασθαι τὸ Ζήνωνος φορ-
171 τίον βαστάζειν. Καί ποτε ὀνειδιζόμενος ὡς δειλός, "Διὰ 5 τοῦτο," εἶπεν, ὀλίγα ἁμαρτάνω." Ἐπέπληττεν ἑαυτῷ ποτε· ἀκούσας Ἀρίστων, "Τίνι," ἔφη, "ἐπιπλήττεις;" Καὶ ὃς γελάσας, "Πρεσβύτῃ," εἶπε, "πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή."

172 Λάκωνός ⟨τινος⟩ εἰπόντος ὅτι ὁ πόνος ἀγαθόν, διαχυ- 10 θείς φησιν·

Αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος.

Μειρακίῳ ποτὲ διαλεγόμενος ἐπύθετο εἰ αἰσθάνεται· τοῦ δ' ἐπινεύσαντος, "Διὰ τί οὖν," εἶπεν, "ἐγὼ οὐκ αἰσθάνο-
173 μαι ὅτι αἰσθάνῃ;" Σωσιθέου τοῦ ποιητοῦ εἰπόντος πρὸς 15 αὐτὸν παρόντα ἐν θεάτρῳ·

οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ,

ἔμεινεν ἐπὶ ταὐτοῦ σχήματος· ἐφ' ᾧ ἀγασθέντες οἱ ἀκροαταὶ τῷ μὲν ἐπεκρότησαν, ἐκεῖνον δὲ ἐξέβαλον. Μεταγινώσκοντα δ' αὐτὸν ἐπὶ τῇ λοιδορίᾳ προσήκατο. Ἔλεγε 20 τοὺς ἐκ τοῦ Περιπάτου ὅμοιόν τι πάσχειν ταῖς λύραις, αἳ καλῶς φθεγξάμεναι ἑαυτῶν οὐκ ἀκούουσι. Φάσκοντος αὐτοῦ καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκοι

1–2 *PPF* Timonis B 41 = *Anth. Pal. Plan.* 11.296; *Suppl. Hell.* 815. Cf. *Iliad.* 3.196 **12** *Odyss.* 4.611

1 ὣς Φ et BF : ὃς P | ἐπιπολεῖται BF **2** φίλος : λίθος (i.e. sarcophagus) Meineke | ἄσιος Φ et F : ἄσσιος B P | ὅλμος scripsi ex BPF : ὄλβιος Φ **3–4** ἠνείχετο καὶ ὄνος ἀκούων προσεδέχετο BPF **6** ποτε Φ : πολλάκις BPF **8** εἶπε Φ : φησὶ BPF **10** τινος addidi ex BPF **12** post τέκος addit *Od.* οἷ' ἀγορεύεις, om. Φ et BPF **17** οὓς Φ et P F : ὡς B **19** τῷ Φ et FQ : τὸ BP[1] : τὸν DP[4] | ἐκρότησαν BPF

τινὲς προσήγαγον πρὸς αὐτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγρῷ καὶ ἠξίουν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· ὁ δὲ διαπορούμενος ἐκέλευσεν ἀπιέναι τὸν ἄνθρωπον. Ὡς δ' ἀπιὼν ἐκεῖνος ἔπταρεν, "Ἔχω," εἶπεν, "αὐτόν," ὁ Κλε-
5 άνθης· "μαλακός ἐστι." Πρὸς τὸν | μονήρη καὶ ἑαυτῷ f. 82ᵛ
λαλοῦντα, "Οὐ φαύλῳ," ἔφη, "ἀνθρώπῳ λαλεῖς." Ἔγραφε δὲ εἰς ὄστρακα καὶ βοῶν ὠμοπλάτας ἅπερ ἤκουε παρὰ Ζήνωνος, ἀπορίᾳ τοῦ ἀγοράζειν χαρτία. 174

Διοιδήσαντος αὐτῷ τοῦ οὔλου καὶ τῶν ἰατρῶν ἀπαγο- 176
10 ρευσάντων, β´ ἡμέρας ἀπέσχετο τροφῆς. Καί πως ἔσχε καλῶς, ὥστε τοὺς ἰατροὺς πάντα τὰ συνήθη συγχωρεῖν αὐτῷ· ὁ δ' οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν ἤδη αὐτῷ προωδοιπορῆσθαι καὶ τὰς λοιπὰς †ἀνασχόμενος† ἐτελεύτησε. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

15 Αἰνῶ Κλεάνθην, ἀλλὰ μᾶλλον Ἀΐδην·
ἰδὼν γὰρ αὐτὸν πρέσβυν οὐκ ἠνέσχετο
†μὴ οὕτω† λοιπὸν ἄνεσιν ἐν φθιτοῖς ἔχειν
τοσοῦτον ἀντλήσαντα τοῦ βίου χρόνον.

60. ΣΦΑΙΡΟΣ

20 Σφαῖρος ὁ Βοσποριανὸς ἔλεγε παρὰ Πτολεμαίῳ ὅτι ὁ σοφὸς οὐ δοξάσει· βουλόμενος δὴ αὐτὸν ὁ βασιλεὺς ἐλέγξαι, προσέταξε κηρίνας ῥόας παρατεθῆναι· τοῦ δὲ 177

9–13 Stob. *Flor.* 3.7.54 **15–18** *Anth. Pal., App.* 5.36 Cougny **21–p. 304.5** *Suda,* 3569 Εὔλογον ἀξίωμα

1 προσήγαγον **Φ** : ἀγαγεῖν BPF **7** παρὰ **Φ** : παρὰ τοῦ BP[1] : ἀπ' αὐτοῦ FDP[4] **8** ἀπορία τοῦ ἀγοράζειν **Φ** : ἀπορία κερμάτων ὥστε ὠνήσασθαι BPF **11** πάντα **Φ**[2]Ψ et P[4] : πάντας **Φ**[1] et BP[1]F **12** προωδοιπορῆσθαι **Φ** : προοδοιπορεῖσθαι PF : προοδοποιεῖσθαι B : προωδοποιῆσθαι ab Arnim **13** ἀνασχόμενος **Φ** et BPF : ἀποσχόμενος Huebner **18** μὴ οὕτω **Φ** et P[1] : μὴ οὐ τὸ BF : ⟨τὸ⟩ μὴ οὐ τὸ Porson **21** δὴ om. BPF et *Suda* **22** προσέταξε **Φ** : ἐκέλευσε BPF et *Suda*

ἀπατηθέντος ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκαταθέσθαι αὐτὸν φαντασίᾳ. Πρὸς ὃν ὁ Σφαῖρος εὐστόχως ἀπεκρίνατο, εἰπὼν οὕτως συγκαταθέσθαι οὐχ ὅτι ῥόαι εἰσίν, ἀλλ' ὅτι εὔλογόν ἐστι ῥόας αὐτὰς εἶναι· διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου. 5

61. ΧΡΥΣΙΠΠΟΣ

179 Χρύσιππος μαθητὴς ὢν Κλεάνθους ἀπέστη αὐτοῦ καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα καὶ πρὸς αὐτὸν Κλεάνθην, ᾧ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρῄζειν, τὰς δ' ἀποδείξεις αὐτὸς εὑρήσειν. 10 Μετενόει μέντοι ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο ⟨λέγων⟩·

> Ἐγὼ δὲ τἆλλα μακάριος πέφυκ' ἀνὴρ
> πλὴν εἰς Κλεάνθην· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

180 Οὕτω δ' ἐπίδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο, ὥστε δοκεῖν τοὺς πλείους ὅτι εἰ παρὰ θεοῖς ἦν διαλεκτική, οὐκ 15 ἂν ἄλλη ἦν ἢ Χρυσίππειος. Πλείστῃ τε μαρτυριῶν παραθέσει ἐχρῆτο, ὥστε ἐπειδή ποτε ἔν τινι τῶν συγγραμμάτων πρὸς ὀλίγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρετίθετο καί τις μετὰ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν f. 83ʳ πυθόμενον τί ἄρα ἔχοι ἔφη· "Χρυσίππου Μήδειαν." | Ἡ δὲ 20 **181** παρεδρεύουσα πρεσβῦτις αὐτῷ ἔλεγεν ὡς πεντακοσίους **182** γράφοι στίχους ἡμερησίους. Ἦν δὲ τὸ σωμάτιον εὐτελής, ὡς δῆλον ἐκ τοῦ ἀνδριάντος τοῦ ἐν Κεραμεικῷ, ὃς σχεδόν τι ὑποκέκρυπται τῷ πλησίον ἱππεῖ· ὅθεν αὐτὸν ὁ Καρνεάδης Κρύψιππον ἔλεγεν. 25 Ὀνειδισθεὶς ὑπό τινος ὅτι οὐ παρὰ Ἀρίστωνι ⟨μετὰ πολλῶν⟩ σχολάζοι, "Εἰ τοῖς πολλοῖς,"

12–13 Cf. Eurip. *Orest.* 540–541

1 et 3 συγκαταθέσθαι Φ : συγκατατεθεῖσθαι BPF et *Suda* **8** αὐτὸν om. BPF **11** λέγων addidi : ὥστε συνεχὲς προφέρεσθαι ταῦτα BPF **18** πρὸς Φ : παρ' BPF **27** μετὰ πολλῶν supplevi ex BPF

εἶπε, "προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα." Πρὸς τὸν κατεπανιστάμενον Κλεάνθους διαλεκτικὸν καὶ προτείνοντα αὐτῷ σοφίσματα, "Πέπαυσο," εἶπε, "περιέλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων, ἡμῖν δὲ τὰ τοιαῦτα
5 πρότεινε τοῖς νέοις." Πάλιν δέ ποτ' †ἐπιζητῶν† καταμόνας †ἑαυτῷ† διελέγετο εὐσταθῶς, ἐπεὶ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη·

> Οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται·
> ταχὺς δὲ μετέθου λύσσαν ἀρτίως φρονῶν.

10 Ἐν μέντοι ταῖς οἰνώσεσιν ἡσύχαζε παραφερόμενος **183** τοῖς σκέλεσιν, ὥστ' εἰπεῖν τὴν δούλην· "Χρυσίππου μόνα τὰ σκέλη μεθύει." Οὕτω δ' ἦν φρονηματίας, ὥστε ἐρομένου τινός· "Τίνι συστήσω τὸν υἱόν;" εἰπεῖν· "Ἐμοί· καὶ γὰρ εἰ ὑπελάμβανον ⟨εἶναί⟩ τινα ἐμοῦ βελτίονα, παρ'
15 αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν." Ὅθεν ἐπ' αὐτοῦ ἐλέχθη·

> Οἶος [τοι] πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσι·

καί·

> Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν Στοά.

Κληθεὶς δὲ ὑπὸ τῶν μαθητῶν ἐπὶ θυσίαν καὶ γλυκέος **184**
20 ἀκράτου προσενεχθέντος ἐλιγγιάσας, πεμπταῖος ἐξ ἀνθρώπων ἀπῆλθε. Καὶ ἔστιν ἡμῶν παίγνιον εἰς αὐτόν·

> Ἰλιγγίασε Βάκχον ἐκπιὼν χανδὸν
> Χρύσιππος, οὐδὲ ἐφείσατο

8–9 Eurip. *Orest.* 253–254 **16** cf. *Odyss.* 10.495 **22–p. 306.2** *Anth. Pal.* 7.706

1 κατεξανιστάμενον BPF **3** περιέλκων **Φ** et BP[1] : παρέλκων FP[4] **5** ποτ' om. BPF | ἐπιζητῶν **Φ** : ἐπεί τις ζητῶν BP[1]F : ἐπί τι ζητῶν P[2]Q **6** ἑαυτῷ **Φ** : αὐτῷ BPF **10** ante παραφερόμενος addit **Φ**[3] in mg μόνον : om. **Φ**[1]**Ψ** et BPF **14** εἶναί addidi ex BPF **16** τοι[1] seclusi : om. BPF et *Odyss.* **21** παίγνιον **Φ** : om. BPF

οὐχ ἧς Στοᾶς, οὐδ' ἧς πάτρας, οὐ τῆς ψυχῆς,
ἀλλ' ἦλθε δῶμ' ἐς 'Αΐδαο.

Οἱ δέ φασι γέλωτι αὐτὸν συσχεθέντα τελευτῆσαι· ὄνου γὰρ τὰ σῦκα αὐτῷ φαγόντος, εἰπόντα τῇ γραΐδι· "Ἄκρατον δίδου νῦν ἐπιρροφῆσαι τῷ ὄνῳ," ὑπερκαγχάσαντα | 5
f. 83ᵛ τελευτῆσαι.

186 Ἠρώτα δὲ τοιούτους τινὰς λόγους· "Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει ⟨*⟩· ἀσεβεῖ ἄρα ὁ ἱεροφάντης." "Ἔστι τις κεφαλή· ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δέ γέ τις κεφαλὴ ⟨*⟩· 10
187 οὐκ ἄρα ἔχεις κεφαλήν." "Εἴ τίς ἐστιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις." "Εἴ τι λαλεῖς, τοῦτό σου διὰ τοῦ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξά σου ἄρα διὰ τοῦ στόματος διέρχεται." Καὶ πάλιν· 15
"Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις." Εἰσὶ δὲ οἳ κατατρέχουσι τοῦ Χρυσίππου ὡς αἰσχρῶς καὶ ἀρρήτως ἀναγεγραφότος τὰ
188 περὶ τὸν Δία καὶ τὴν Ἥραν, καὶ χαμαιτύπαις μᾶλλον πρεπόντως ἢ θεοῖς· καὶ ἀλλαχοῦ τοὺς ἀποθανόντας 20
κατεσθίειν κελεύοντος.

39 Οἱ δὲ Στωϊκοὶ πάντες τριμερῆ φασιν εἶναι τὸν κατὰ
40 φιλοσοφίαν λόγον· καὶ τὴν φιλοσοφίαν εἰκάζουσι ζῴῳ, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογικὸν προσομοιοῦντες, τοῖς δὲ σαρκωδεστέροις τὸ ἠθικόν, τῇ δὲ ψυχῇ τὸ φυσικόν. Ἢ 25
πάλιν ᾠῷ· τὰ μὲν γὰρ ἔξω εἶναι τὸ λογικόν, τὰ δὲ μετὰ ταῦτα τὸ ἠθικόν, τὰ δ' ἐσωτάτω τὸ φυσικόν. Ἢ ἀγρῷ παμφόρῳ· τὸν μὲν περιβεβλημένον φραγμὸν ⟨*⟩ τὸ λογι-

1 οὐχ ἧς **Φ** : οὐ τῆς BPF | οὐδ' **Φ** et FP[4] : οὐχ BP[1] | πάτρας **Φ** et *Pal.* : πάτρης BPF **2** ἀΐδαο **Φ** et P[1]F[2] : ἀΐδεω BF[1]P[4] et *Pal.* **9** λέγει **Φ**, BPF et *Suda* : λέγει ⟨αὐτά⟩ conieci conl. DL 2.101 : λέγει ⟨τὰ μυστήρια⟩ ab Arnim **10** κεφαλὴ[2] **Φ** et BPF : κεφαλὴ ⟨ἣν οὐκ ἔχεις⟩ Menagius e *Suda* **26** ἔξω **Φ**, F et P[5] (γράφεται) : ἐκτὸς P[3] : om. BP[1] **28** post φραγμὸν lac. indicavi : εἶναι suppleverim (cf. v. 26) : οὗ post παμφόρῳ addit ab Arnim

κόν, τὸν δὲ καρπὸν τὸ ἠθικόν, τὴν δὲ γῆν ἢ τὰ δένδρα τὸ φυσικόν. Ἢ πόλει καλῶς τετειχισμένῃ καὶ κατὰ λόγον διοικουμένῃ.

Θεὸν δὲ εἶναι ζῷον ἀθάνατον, λογικόν, τέλειον, **147**
5 νοερόν, ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. Εἶναι δὲ †τὸν μὲν† δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων, κοινῶς †δὲ† καὶ ⟨*⟩ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προση-
10 γο|ρίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ f. 84r φασι δι' ὃν τὰ πάντα· Ζῆνα ⟨δὲ⟩ παρ' ὅσον τοῦ ζῆν ἐστιν αἴτιος ἢ διὰ τοῦ ζῆν κεχώρηκεν· Ἀθηνᾶν δὲ κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ· Ἥραν ⟨δὲ⟩ κατὰ τὴν ἐς ἀέρα, καὶ Ἥφαιστον κατὰ τὴν ἐς τὸ τεχνικὸν πῦρ,
15 καὶ Ποσειδῶνα κατὰ τὴν ἐς τὸ ὑγρόν, καὶ Δήμητραν κατὰ τὴν εἰς γῆν. Εἶναι δὲ καί τινας δαίμονας ἀνθρώπων συμ- **151** πάθειαν ἔχοντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων· καὶ ἥρωας τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

Σπέρμα δὲ εἶναι πνεῦμα κατὰ τὴν οὐσίαν, ὡς δῆλον ἐκ **159**
20 τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλλαιωθέντα οὐκέτι φύεται, διαπεπνευκυίας αὐτῶν τῆς δυνάμεως. [Διὰ τοῦτο τοὺς γέροντας μὴ τεκνοποιεῖν.] Ἀφ' ὅλων δὲ τῶν σωμάτων αὐτὸ καταφέρεσθαι· πάντων γοῦν γεννητικὸν εἶναι τῶν τοῦ σώματος μερῶν. Τὸ δὲ τῆς
25 θηλείας ἄγονον ἀποφαίνονται· ἄτονόν τε γὰρ εἶναι καὶ ὀλίγον καὶ ὑδατῶδες.

4–10 τὰς δυνάμεις : *Suda*, 178 Θεός **16–17** ἔχοντας : *Suda*, 113 Δαίμονα

7 τὸν μὲν **Φ** et BPF, *Suda* : ⟨αὐ⟩τὸν μὴν conieci **8** δὲ **Φ** et BPF, *Suda* : τε *Frob.* | καὶ ⟨κατὰ⟩ τὸ μέρος conieci **11** Ζῆνα ⟨δὲ⟩ scripsi ex FP4 : ζῆνα **Φ** : καὶ ζῆνα BP1 **13** δὲ addidi ex BPF **17** ἀνθρωπίνων B **21** αὐτῶν **Φ** et BP1 : αὐτοῖς FP4 **22** διὰ τοῦτο τοὺς γέροντας μὴ τεκνοποιεῖν **Φ** : seclusi ut glossema, om. BPF

ΤΟΜΟΣ Η΄

⟨62. ΠΥΘΑΓΟΡΑΣ⟩

8.8 Πυθαγόρας ἐρωτηθεὶς ὑπὸ Λέοντος τοῦ Φλιασίων τυράννου τίς εἴη, "Φιλόσοφος," εἶπεν. "Ὁ δὲ βίος ἔοικε πανηγύρει· ὡς οὖν εἰς ταύτην οἱ μὲν ἀγωνιούμενοι 5 ἔρχονται, οἱ δὲ κατ' ἐμπορίαν, οἱ δὲ βέλτιστοι θεαταί, οὕτως ἐν τῷ βίῳ οἱ μὲν ἀνδραποδώδεις," ⟨ἔφη,⟩ "φύονται δόξης καὶ πλεονεξίας θηραταί, οἱ δὲ φιλόσοφοι τῆς 9 ἀληθείας." Ἐρωτηθεὶς πότε δεῖ πλησιάζειν γυναικί, ἔφη· 10 "Ὅτε βούλει γενέσθαι σεαυτοῦ ἀσθενέστερος." Οὕτω δὲ 10 διῄρει τὸν ἀνθρώπινον βίον· "Παῖς κ΄ ἔτη, ἔαρ· νεανίσκος ἤτοι μειράκιον κ΄ ἔτη, θέρος· νεανίας ἤτοι ἀνὴρ κ΄ ἔτη, φθινόπωρον· γέρων ⟨κ΄ ἔτη⟩, χειμών." Οἱ Πυθαγορικοὶ f. 84ᵛ ἀπείχοντο σοροῦ κυπαρισσίνης διὰ τὸ τὸ τοῦ Διὸς | σκῆπ- 11 τρον ἐντεῦθεν πεποιῆσθαι. Παραγυμνωθέντος Πυθαγόρου 15 ὁ μηρὸς ὤφθη χρυσοῦς· καὶ ὁ ποταμὸς Νέσος διαβαίνοντα αὐτὸν προσηγόρευσεν.

13 Ἀπηγόρευε δὲ ἅπτεσθαι ζῴων· πρόσχημα μὲν ὡς μετεχόντων ψυχῆς, τὸ δ' ἀληθὲς εἰς εὐκολίαν βίου τοὺς ἀνθρώπους ἐθίζων, ὥστ' εὐποριστους αὐτοῖς εἶναι τὰς 20 τροφάς, ἄπυρα προσφερομένοις καὶ ὕδωρ πίνουσι. Διὸ καὶ μόνον τὸν ἐν Δήλῳ βωμὸν Ἀπόλλωνος γενέτορος προσεκύνησε, διὰ τὸ ἄπυρα ⟨μόνα⟩ τίθεσθαι ἐπ' αὐτοῦ, ἱερεῖον 17–18 δὲ μηδέν. Σύμβολα δὲ αὐτοῦ· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν

24 Σύμβολα – **p. 309.8** τοῦ ζῆν : *Suda,* 3124 Πυθαρόρας

2 addidi **4** φιλόσοφος **Φ** et P[4] : φιλόσοφον BP[1]F **7** ἔφη addidi ex BPF **9** γυναικὶ **Φ**, om. BPF **10** ὅτε βούλει **Φ** et FP[4] : ὅταν βούλη BP[1] | σεαυτοῦ **Φ** : ἑαυτοῦ FP[4] : αὑτοῦ P[1], αὐτοῦ B **11** διῄρει **Φ** : διαιρεῖται BPF **13** κ΄ ἔτη ex BPF suppl. Lambros **14** τὸ τὸ τοῦ **Φ** : τὸ τοῦ BP[1]F : τὸ τὸ P[4] **16** νέσος **Φ** et F : νέσσος BP **18** ἀπηγόρευε **Φ**[2]**Ψ** et FP[4] : ἀπαγορεύειν BP[1] **20** συνεθίζων BPF **21** καὶ λιτὸν ὕδωρ BPF **23** μόνα supplevi ex BPF

(ἤτοι δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν)· ζυγὸν μὴ ὑπερβαίνειν (ἤτοι τὸ ἴσον καὶ δίκαιον)· ἐπὶ χοίνικος μὴ καθίζειν (ἤγουν ἐν ἴσῳ τοῦ παρόντος καὶ τοῦ μέλλοντος φροντίδα ποιεῖσθαι· ἡ γὰρ χοῖνιξ ἡμερησία
5 τροφή)· καρδίαν μὴ ἐσθίειν (ἤτοι μὴ τὴν ψυχὴν ἀνίαις κατατείνειν καὶ λύπαις)· εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι (ἤγουν ἀπαλλαττομένους τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν).

Ἀπήντων δὲ ἐπὶ τὰς νυκτερινὰς ἀκροάσεις αὐτοῦ οὐκ **15**
10 ἐλάττους τῶν ἑξακοσίων· καὶ εἴ τινες ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους ὡς μεγάλου τινὸς τετυχηκότες. Ὠνομάσθη δὲ Πυθαγόρας ὡς τὴν ἀλήθειαν **21** ἀγορεύων οὐχ ἧττον τοῦ Πυθίου. Φασὶ δέ τινες αὐτὸν **20** πάντα μὲν τὰ ἄλλα συγχωρεῖν ἐσθίειν ἔμψυχα, μόνου δ'
15 ἀπέχεσθαι βοὸς ἀροτῆρος καὶ κριοῦ.

Ὅτι Ζάμολξις, ᾧ Γέται θύουσιν ὡς Κρόνῳ, δοῦλος ἦν **2** Πυθαγόρου. Φησὶ δ' Ἱερώνυμος κατελθόντα αὐτὸν εἰς **21** ᾅδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσιν, τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ
20 δένδρου καὶ ὄφεις περὶ αὐτήν, | ἀνθ' ὧν εἶπον περὶ θεῶν. f. 85r

Ἔλεγε δὲ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν **27** κατὰ τὸ μετέχειν ἄνθρωπον θερμοῦ· διὸ καὶ προνεῖσθαι τὸν θεὸν ἡμῶν. Τὴν δὲ ἀκτῖνα τοῦ ἡλίου εἰς τὰ βάθη δύεσθαι καὶ ζωοποιεῖν πάντα. Τὸ δὲ σπέρμα εἶναι σταγόνα **28**
25 ἐγκεφάλου περιέχουσαν ἐν ἑαυτῇ ἀτμὸν θερμόν· ταύτην

13 Φασὶ – **15** κριοῦ : *Suda*, 3124 Πυθαγόρας **16** cf. Herod. 4.93–94 **17** Φησὶ – **20** θεῶν : *Suda*, ibid. **21** Ἔλεγε δὲ – **22** θερμοῦ : *Suda*, ibid. **23** Τὴν δὲ ἀκτῖνα – **24** πάντα : *Suda*, ibid.

3 τοῦ παρόντος **Φ** : τοῦ ἐνεστῶτος *Frob.* : τοῦ BPF : τῷ D et *Suda* **4** ἡμερήσιος BPF et *Suda* **6** κατατείνειν **Φ** : κατατήκειν BPF et *Suda* **10** εἴ τινες **Φ** et PF : οἵτινες B **14** μόνου **Φ** et *Suda* : μόνον BPF **20** εἶπον **Φ** et BP^1, *Suda* : εἶπε FP^4 **23** βάθη **Φ** et BP^4 : βένθη P^{1}F et *Suda*

δὲ προσφερομένην τῇ μήτρᾳ ἀπὸ μὲν τοῦ ἐγκεφάλου ἰχῶρα καὶ ὑγρὸν ⟨καὶ⟩ αἷμα προίεσθαι, ἐξ ὧν σάρκας καὶ νεῦρα καὶ ὀστᾶ συνίστασθαι, ἀπὸ δὲ τοῦ ἀτμοῦ [καὶ]
30 ψυχὴν καὶ αἴσθησιν. Τρέφεσθαί τε τὴν ψυχὴν ἀπὸ τοῦ
31 αἵματος· τοὺς δὲ λόγους ψυχῆς ἀνέμους εἶναι. Δεσμά τε 5
32 εἶναι ψυχῆς τὰς φλέβας καὶ τὰς ἀρτηρίας. Εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ ταύτας δαίμονάς τε καὶ ἥρωας νομίζεσθαι καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις ὀνείρους καὶ σημεῖα καὶ νόσους.

36 Φησὶ δὲ Ξενοφάνης περὶ αὐτοῦ· 10

> Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
> φασί γ' ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
> "Παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
> ψυχή, τὴν ἔγνων φθεγξανένης ἀΐων."

40 Εἰς Μεταπόντιον δὲ ἐλθὼν ἐκεῖ τὸν βίον ἀσιτίᾳ κατέστρεψε, μὴ βουλόμενος περαιτέρω ζῆν. Οἱ δέ φασι πολεμούντων Ἀκραγαντίνων καὶ Συρρακουσίων ἐξελθεῖν ⟨μετὰ τῶν συνήθων⟩ αὐτὸν καὶ προστῆναι τῶν Ἀκραγαντίνων· τροπῆς δὲ γενομένης περικάμπτοντα αὐτὸν τὴν τῶν κυάμων χώραν ὑπὸ τῶν Συρρακουσίων ἀναιρεθῆναι. 20
41 Φασὶ δὲ ὅτι γενόμενος ἐν Ἰταλίᾳ κατὰ γῆς οἰκίσκον ἐποίησε καὶ τῇ μητρὶ ἐνετείλατο τὰ γινόμενα εἰς δέλτον γράφειν σημειουμένην καὶ τὸν χρόνον, ἔπειτα καθιέναι αὐτῷ.

5 Δεσμά – **6** τὰς ἀρτηρίας : *Suda,* 269 Δεσμά **11–14** *Anth. Pal.* 7.120; *Suda,* 46 Ξενοφάνης et 1264 Στυφελίξαι; 21 B 7 DK

2 καί^2 addidi ex BPF **3** συνίστασθαι Φ et BP^1 : ὑφίστασθαι FP^4 | καί^2 delevi, om. ΔΠ et BPF **4** ἀπὸ Φ et B : ὑπὸ BF **7** ταύτας ΦD : τούτους BP^1 **11** καί : δή *Anth.* | μιν ΦPD, *Suda* : μην BF | παριόντος B **12** φασί γ' Φ et P^1, *Suda,* 46 Ξενοφάνης : φασὶ γοῦν F : φασὶν B et *Anth., Suda,* 1264 Στυφελίξαι **13** ἐπειὴ ΦD et *Suda* : ἐπεὶ ἢ P^{1}F : ἐπειδὴ P^4 : ἐπεὶ ἦ Bergk **18** μετὰ τῶν συνήθων supplevi ex BPF **23** αὐτῷ Φ et B^{2}F : αὐτὸν B^{1}D : αὐτὸ P

Μετὰ δὲ χρόνον ἀνῆλθε στυγνὸς καὶ κατεσκελετευμένος· εἰσελθὼν δὲ εἰς τὴν ἐκκλησίαν | ἔφασκεν ὡς ἀφῖκται ἐξ ᾅδου καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ συμβεβηκότα. Οἱ δ' ἐθαύμαζον. f. 85v

5 Ἔστι δὲ εἰς αὐτὸν ἡμῶν ἐπίγραμμα· 44

Οὐ μόνος †ἀψύχων ἀπέσχες† χέρας, ἀλλὰ καὶ ἡμεῖς·
τίς γὰρ ⟨ὃς⟩ ἐμψύχων ἥψατο, Πυθαγόρα;
Ἀλλ' ὅταν ἑψηθῇ τι καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.

10 Ἐσέβετο δὲ τοὺς κυάμους, ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι. Παράγγελμα δὲ αὐτοῦ μὴ καταγνύειν ἄρτον, ὅτι ἐπὶ ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων· μὴ γοῦν διαιρεῖν ὃς συνάγει αὐτούς. Ἀλεκτρυόνος μὴ ἅπτεσθαι ⟨λευκοῦ⟩, ὅτι ἱερὸς τοῦ Μηνὸς †οἰκέτης.† 34 35 34

15 63. ΕΜΠΕΔΟΚΛΗΣ

Ἐμπεδοκλῆς ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων, ὡς καὶ τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς γενέσθαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δὲ Κω-
20 λυσανέμας ἐκλήθη. Κληθέντος αὐτοῦ ὑπό τινος τῶν ἀρχόντων καὶ προβαίνοντος τοῦ πότου τὸ δεῖπνον οὐκ 60 64

6–9 *Anth. Pal.* 7.121 **10** Ἐσέβετο – **14** *Suda,* 3124 Πυθαγόρας **16–20** ἐκλήθη : *Suda,* 3242 Ἄπνους

1 στυγνὸς **Φ** : ἰσχνὸς BPF **2** δὲ **Φ** : τε BPF **3** αὐτὸς B **6** ἀψύχων **Φ** et *Pal.* : ἀψύχοις BP[1]F : ἐμψύχων P[4] et *Plan.* | ἀπέσχες **Φ** : ἄπεχες P[4] et *Pal.* : ἐπέχες BP[1] : ἐπέσχες F | χεῖρας **Φ**, correxi ex BPF **7** ὃς addidi ex BPF **9** οὐκ **Φ** et BPF : μὴ *Pal.* **13** λευκοῦ supplevi ex BPF et *Suda* **14** μηνὸς **Φ** et BPF : ἡλίου *Suda* : διὸς D | οἰκέτης **Φ** : καὶ οἰκέτης F : καὶ ἱκέτης BP **17** καὶ **Φ** : om. BP et *Suda* : ἂν F **18** γενέσθαι : ποιῆσαι BPF et *Suda* **19** κωλυσάνεμον *Suda,* A 3242 **21** τοῦ πότου τὸ δεῖπνον **Φ** et BP : τὸ δείπνου τὸ ποτὸν F, Lambros

εἰσεφέρετο, τῶν δ' ἄλλων ἡσυχαζόντων, μισοπονήρως ἐκεῖνος διατεθεὶς ἐκέλευσεν εἰσφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. Ὡς δὲ ἦλθε, κατέστησεν αὐτὸν ὁ δειπνοκλήτωρ συμποσίαρχον· ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ 5 καταχεῖσθαι τῆς κεφαλῆς. Τότε μὲν οὖν Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ ἀγαγὼν εἰς δικαστήριον ἀπέκτεινεν ἄμφω, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον.

70 Ἐμπεσόντος Σελινουντίοις λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ f. 86r παρα|κειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς 10 φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἰδίαις δαπάναις καταμίξας ἐγλύκανε τὰ ῥεύματα. Οὕτω δὴ λήξανοτς τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων παρὰ τῷ ποταμῷ, ἐπεφάνη· οἱ δ' ἐξαναστάντες προσεκύνουν καθὰ θεῷ. Ταύτην οὖν 15 θέλων διαβεβαιῶσαι τὴν ὑπόληψιν εἰς πῦρ ἐνήλατο.

69 Ὕστερον δὲ ἐγνώσθη, μιᾶς τῶν ἐμβάδων αὐτοῦ ἀναρριπισθείσης· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι.

76 Ἔλεγε δέ·

Ζεὺς †Ἄρης,† Ἥρη τε φερέσβιος, ⟨ἠδ' Ἀϊδωνεύς,⟩ 20
Νῆστίς τε

20–21 31 B 6 DK (Aët. 1.3.20; S.E. *Adv. math.* 9.362; 10.315; Hippol. *Refut.* 7.29.4; Eus. *Praep. ev.* 14.14.6; Stob. *Flor.* 1.10.11b et al.)

1 δ' del. Cobet **2** ἐκεῖνος **Φ** : om. BPF **3** ἦλθε **Φ** : παρεγένετο BPF **4** ὁ δειπνοκλήτωρ **Φ** : τοῦ κεκληκότος BPF **7** ἀγαγὼν **Φ** : εἰσαγαγὼν BPF, Lambros | ἀπέκτεινε καταδικάσας BPF **8** ἀμφοτέρους BPF **12** ἐγλύκανε **Φ** : γλυκάναι P4 : γλυκῆναι BF : γλυκύναι P1 **15** προσκυνεῖν καὶ προσεύχεσθαι BPF **16** διαβεβαιῶσαι **Φ** et FP4 : βεβαιῶσαι BP1 | ὑπόληψιν **Φ** : διάληψιν BPF | ἐνήλλατο **Φ** **17** ἐμβάδων **Φ** (ex 8.73) : κρηπίδων BPF **20** ἄρης **Φ** (et Eus.) : ἀργής BPF : αἰθὴρ Plut. ap. Stob. | ἠδ' Ἀϊδωνεύς supplevi ex BPF

Ἐδόκει δὲ αὐτῷ Δία μὲν λέγειν τὸ πῦρ, [Ἄρεα τὴν μάχην,] Ἥρην τὴν γῆν, Ἀϊδωνέα τὸν ἀέρα, Νῆστιν τὸ ὕδωρ, ὡς εἶναι ταῦτα τὰ δʹ στοιχεῖα· Φιλίαν τε, ᾗ συγκρίνεται, καὶ Νεῖκος, ᾧ διακρίνεται. Τὸν ἥλιον ἔλεγε 77
5 πυρὸς ἄθροισμα μέγα, τὸν οὐρανὸν κρυσταλλοειδῆ, τὴν ψυχὴν παντοῖα εἴδη ζῴων ⟨καὶ φυτῶν⟩ ἐνδύεσθαι· φησὶ γοῦν·

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

10 ⟨Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·⟩ 74

Καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας,
πῦρ ἀπὸ κρατήρων †ἔπιες θάνατον·†
οὐκ ἐρέω δ(ὲ) ὅτι αὐτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

15

64. ΑΡΧΥΤΑΣ

Ἀρχύτας ὁ Πυθαγορικὸς ἑπτάκις τῶν πολιτῶν δι' 79 ἀρετὴν ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούντων διὰ τὸ κωλύειν τὸν νόμον. Οὗτός ἐστιν ὁ Πλάτωνα ῥυσάμενος δι' ἐπιστολῆς παρὰ Διονυσίου μέλλοντα ἀναιρεῖσθαι.

8–9 31 B 117 DK (Athen. 8, 365 E; Clem. *Strom.* 6.24.3; Hippol. *Refut.* 1.3.2) **11–14** *Anth. Pal.* 7.123

1–2 ἄρεα τὴν μάχην seclusi ut glossema **5** κρυσταλοειδῆ **Φ** **6** καὶ φυτῶν supplevi ex BPF (cf. v. 9 θάμνος) **7** γοῦν **Φ** et BP : γὰρ F **9** ἐξ ἁλὸς **Φ** et PF : ἔξαλος B | ἔμπυρος **Φ** et BP : ἄμπυρος F : ἔμπορος Athen., Hippol. : ἔλλοπος Clem. **10** καὶ ἔστιν ἡμῶν εἰς αὐτόν supplevi **11** διερεῖ B | καθήρας **Φ** et BP[1], *Anth.* : κάθηρας FP[4] **12** πυρὸς **ΦΔΠ**, corr. Lambros ex BPF et *Anth.* | κρητήρων DP[4] et *Pal.*[corr.] *Plan.* | ἔ Σπιες **Φ**[2]**Ψ** : ἔπιες *Pal.*[1] : ἔκπιες BPF et *Plan.* | θάνατον **Φ** et BP[1]F : ἀθανάτων P[4] et *Anth.* : ἀθάνατον Meineke **13** αὐτὸν **ΦΔΠ** : σαυτὸν BPF et Lambros

65. ΕΥΔΟΞΟΣ

90 Ὅτε ἦν ἐν Αἰγύπτῳ Εὔδοξος ὁ Κνίδιος, ὁ Ἄπις αὐτοῦ θοἰμάτιον ἐλιχμήσατο. Ἔνδοξον οὖν αὐτὸν ἀλλ' ὀλιγο-
91 χρόνιον ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι· ἀποδύσασθαι γὰρ
f. 86ᵛ ὅσον | οὔπω τὴν βιοτήν. Τοῦτον ἀντὶ Εὐδόξου Ἔνδοξον 5 ἐκάλουν διὰ τὴν λαμπρότητα.

ΤΟΜΟΣ Θ΄

66. ΗΡΑΚΛΕΙΤΟΣ

9.3 Ἡράκλειτος ὁ Ἐφέσιος ἀναχωρήσας εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος μετὰ παίδων ἠστραγάλιζε· περιστάντων δὲ 10 αὐτὸν τῶν Ἐφεσίων, "Τί, ὦ κάκιστοι, θαυμάζετε;" εἶπεν· "ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι;" Καὶ τέλος μισανθρωπήσας ἐν ὄρεσι διῃτᾶτο· περιτραπεὶς δὲ εἰς ὕδερον κατῆλθεν εἰς ἄστυ καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχ- 15 μὸν ποιῆσαι· τῶν δὲ μὴ συνιέντων, εἰς βουστάσιον κατορύξας ἑαυτὸν τῇ τῶν βολβίτων ἀλέᾳ ἤλπιζεν ἐξατμισθήσεσθαι· οὐδὲν δ' ἀνύων ἐτελεύτα.

67. ΠΑΡΜΕΝΙΔΗΣ

21 Παρμενίδης ἔλεγε δύο εἶναι στοιχεῖα, πῦρ καὶ γῆν, καὶ 20
22 τὸ μὲν δημιουργοῦ τάξιν ἔχειν, τὴν δὲ ὕλης. Γένεσίν τε ἀνθρώπων ἐξ †ἡλίου† πρῶτον γενέσθαι· †αὐτόν† τε ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ πάντα

13 περιτραπεὶς – **18** : φ 34. Cf. *Suda*, 472 Ἡράκλειτος

3 ἐλιχμήσατο **Φ** (ex 8.91) : περιελιχμήσατο PF **4** ἔφασαν **Φ** et PF : ἔφασκον B **6** διὰ τὴν λαμπρότητα τῆς φήμης BPF **11** εἶπεν **Φ** et BP : ἔφη F **16** βουστάσιον **Φ** : βούστασιν BPF **17** βολβίτων **Φ** et B (cf. φ et *Suda*) : βολίτων P, βουλίτων F | ἤλπισεν BPF | ἐξατμισθήσεσθαι **Φ** et BP[1] : ἐξατμίζεσθαι FP[4] **22** ἐξ ἡλίου **Φ** et BPF : ἐξ ἰλύος *Frob.* : ἐκ πηλοῦ Ziegler | αὐτόν τε **Φ** : αὐτὸν δὲ BPF : αἴτια δὲ Diels

συνεστάναι.

68. ΖΗΝΩΝ

Ζήνων καθελεῖν θελήσας Νέαρχον τὸν τύραννον 26
συνελήφθη· καὶ ἐξεταζόμενος εἰπεῖν τοὺς συνειδότας,
5 πάντας ἐμήνυσεν αὐτοῦ τοὺς φίλους, βουλόμενος ἔρημον
αὐτὸν καταστῆσαι· εἶτα περί τινων εἰπεῖν ἔχειν αὐτῷ
πρὸς τὸ οὖς ἔλεγε· καὶ κύψαντος δακὼν τὸ ὠτίον οὐκ
ἀνῆκεν ἕως ἀπεκεντήθη. Δημήτριος δέ φησι τὸν μυκτῆρα 27
αὐτὸν ἀποτραγεῖν. Ἀντισθένης δέ, ἐρωτηθῆναι πρὸς τοῦ
10 τυράννου εἴ τις ἄλλος εἴη· τὸν δὲ εἰπεῖν· "Σύ, ὁ τῆς
πόλεως ἀλιτήριος." Πρὸς δὲ τοὺς παρεστῶτας φάναι·
"Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν ὧν ἐγὼ
ὑπομένω δουλεύετε τῷ τυράννῳ." Καὶ τέλος ἀποτραγόντα
τὴν γλῶτταν προσπτύσαι αὐτῷ· τοὺς δὲ πολίτας παρορ- f. 87r
15 μηθέντας τὸν τύραννον καταλεῦσαι. Ἕρμιππος δέ φησιν
εἰς ὅλμον αὐτὸν βληθῆναι καὶ κατακοπῆναι.

69. ΔΗΜΟΚΡΙΤΟΣ

Οὗτος τοσοῦτον ἦν φιλόπονος, ὥστε τοῦ περικήπου 36
δωμάτιόν τι ἀποτεμόμενος κατάκλειστος ἦν. Καί ποτε τοῦ
20 πατρὸς αὐτοῦ πρὸς θυσίαν βοῦν ἄγοντος καὶ αὐτόθι προσ-
δήσαντος, ἱκανὸν χρόνον οὐκ ἔγνω, ἕως αὐτὸν ἐκεῖνος
διαναστήσας προφάσει τῆς θυσίας καὶ τὰ περὶ τὸν βοῦν
διηγήσατο. Οὗτος μάγων τινῶν διήκουσε καὶ Χαλδαίων, 34
Ξέρξου τοῦ βασιλέως τῷ πατρὶ αὐτοῦ ἐπιστάτας καταλι-
25 πόντος, ἡνίκα ἐξενίσθη παρ' αὐτῷ.

Νόμου ὄντος τὸν τὴν πατρῴαν οὐσίαν ἀναλώσαντα 39
μὴ θάπτεσθαι ἐν τῇ πατρίδι, Δημόκριτος συνείς, μὴ ὑπεύ-

4 εἰπεῖν **Φ**, om. BPF **6** εἰπεῖν ἔχειν **Φ** : εἰπεῖν ἔχειν τινὰ BP[1] : εἰπὼν ἔχειν τινὰ εἰπεῖν FP[4] **7** ἔλεγε· καὶ κύψαντος **Φ** : om. BPF | τὸ ὠτίον **Φ** : om. BPF **11** δὲ **Φ** : τε BPF **12** ἐγὼ **Φ** et F : νῦν ἐγὼ BP **15** αὐτίκα τὸν τύραννον BPF **20** ἄγοντος **Φ** : ἀγαγόντος BPF **27** θάπτεσθαι **Φ** : ἀξιοῦσθαι ταφῆς BPF

θυνος ἔσεται πρός τινων φθονούντων (ὡς καὶ αὐτὸς ἀναλώσας τὴν πατρῴαν οὐσίαν εἰς ἀποδημίαν), ἀνέγνω τὸν Μέγαν διάκοσμον· καὶ πεντακοσίοις ταλάντοις ἐτιμήθη καὶ χαλκαῖς εἰκόσι καὶ τελευτήσας δημοσίᾳ ἐτάφη.
42 Ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν ἐκέλευσε κομισθῆναι 5
γάλα· καὶ ἰδὼν εἶπε· "Καὶ αἰγὸς πρωτοτόκου καὶ μελαίνης·" καὶ ἐθαύμασε τὴν ἀκρίβειαν αὐτοῦ ὁ Ἱπποκράτης. Ἀλλὰ καὶ τὴν κόρην τὴν μετὰ Ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν τῇ μὲν πρώτῃ ἡμέρᾳ ἠσπάσατο οὕτως· "Χαῖρε κόρη," τῇ δ' ἑτέρᾳ· "⟨Χαῖρε⟩ γύναι·" καὶ ἦν ἡ κόρη τῆς 10
43 νυκτὸς διεφθαρμένη. Ἀποθνῄσκοντος δὲ αὐτοῦ ἡ ἀδελφὴ ἐλυπεῖτο ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι· ὁ δὲ ἐκέλευσε προσφέρειν αὐτῷ ἄρτους θερμοὺς ὁσημέραι, καὶ τούτους ταῖς ῥισὶ προσφέρων διεκράτησεν ἑαυτὸν τὴν ἑορτήν. 15

70. ΠΡΩΤΑΓΟΡΑΣ

51 Οὗτος ἑνὸς τῶν συγγραμμάτων αὐτοῦ ἤρξατο οὕτως· "Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσί· πολλὰ γὰρ τὰ κωλύοντα, ἥ τε ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου." Διὰ τοῦτο ἐξεβλήθη παρὰ Ἀθη- 20
ναίων καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ, ὑπὸ

5 Ἐλθόντος – **15** τὴν ἑορτήν : *Suda,* 448 Δημόκριτος **18–20** : 80 B 4 DK (Eus. *Praep. ev.* 14.3.7; S.E. *Adv. math.* 9.55; Theoph. *Ad Autol.* 3.7.1 et al.)

1 ἔσεται **Φ** : γενηθείη BPF **2** ἀποδημίαν scripsi conl. 9.39 : ἀποδημίας **Φ** | ἀνέγνω αὐτοῖς BPF **6** ἰδὼν **Φ** : θεασάμενος τὸ γάλα BPF et *Suda* | καὶ αἰγὸς **Φ** et BPF : αἰγὸς εἶναι Casaubon e *Suda* **7** καὶ **Φ** et *Suda* : ὅθεν BPF **8–9** τὴν κόρην τὴν μετὰ ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν **Φ** et *Suda* : κόρης ἀκολουθούσης τῷ ἱπποκράτει BPF **10** ἑτέρα **Φ** : ἐχομένη BPF et *Suda* | Χαῖρε supplevi ex BPF et *Suda* **12** θεσμοφορίων **Φ** : θεσμοφόρων BPF et *Suda* **19** τὰ κωλύοντα εἰδέναι BPF **20** παρὰ **Φ** : πρὸς BPF

κήρυκι ἀναλεξάμενοι παρὰ τῶν ἐχόντων.

71. ΑΝΑΞΑΡΧΟΣ

Οὗτος ἐχθρὸς ἦν Νικοκρέοντι τῷ Κύπρου τυ|ράννῳ· 58 f. 87v
καί ποτε συνεστιώμενος Ἀλεξάνδρῳ, ἐρομένου τοῦ βασι-
5 λέως τί ἄρα δοκεῖ τὸ δεῖπνον, εἶπε· "Πάντα πολυτελῆ·
ἔδει δὲ λοιπὸν κεφαλὴν τινὸς σατράπου παρατεθῆναι."
Τοῦτο δὲ εἶπε διὰ Νικοκρέοντα. Ὁ δὲ μνησικακήσας, 59
μετὰ τελευτὴν τοῦ βασιλέως ὅτε πλέων ἀκουσίως προσ-
ηνέχθη τῇ Κύπρῳ, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν
10 ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις. Ὁ δὲ οὐ φροντίσας
ἔλεγε· "Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνά-
ξαρχον δὲ οὐ πλήττεις." Κελεύσαντος τοῦ τυράννου καὶ
τὴν γλῶτταν αὐτοῦ ἀποτμηθῆναι, ἀποτραγὼν προσέ-
πτυσεν αὐτῷ. Οὗτος τὸν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν 60
15 ἐπέστρεψεν· ἔκ τινος γὰρ πληγῆς ἰδὼν αὐτοῦ καταρρέον
αἷμα, δείξας τῇ χειρί φησι· "Τουτὶ μὲν αἷμα καὶ οὐκ

ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν."

Ἀλλὰ καὶ ἄλλοτε προπίνων αὐτῷ, δείξας τὴν κύλικα
εἶπε·

20 Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.

17 *Iliad.* 5.340 **20** Eurip. *Orest.* 271

1 κήρυκι **Φ** : κήρυκα BPF | παρὰ τῶν ἐχόντων **Φ** : παρ' ἑκάστου τῶν κεκτημένων BP **4** συνεστιώμενος ἀλεξάνδρω ἐρομένου τοῦ βασιλέως **Φ** : ἐν συμποσίω τοῦ ἀλεξάνδρου ἐρωτήσαντος BPF **5** πολυτελῆ **Φ** : πολυτελῶς BPF **6** παρατεθῆναι **Φ** : παρατεθεῖσθαι BPF **7** τοῦτο δὲ εἶπε διὰ νικοκρέοντα **Φ** : ἀπορρίπτων πρὸς τὸν νικοκρέοντα BPF **8** ⟨τὴν⟩ τελευτὴν Lambros ex BPF **10** οὐ φροντίσαντα τῆς τιμωρίας BPF **11** ἔλεγε **Φ** : εἰπεῖν BPF | πτίσσε bis **Φ** : semel BPF **12** πλήττεις **Φ** et BPF : πτίσσεις Menag. ex Clem. **13** ἐκτμηθῆναι BPF **15** αὐτοῦ **Φ** : αὐτῷ BPF

72. ΠΥΡΡΩΝ

62 Οὗτος οὐδὲν ἐφυλάττετο, ἅπαντα ὑφιστάμενος, ἁμάξας, εἰ τύχοι, καὶ κρημνοὺς καὶ κύνας, μηδὲν ταῖς αἰσθήσεσιν ἐπιτρέπων. Ἐσῴζετο μέντοι ὑπὸ ⟨τῶν⟩ οἰκείων
63 παρακολουθούντων. Ἀναξάρχου δέ ποτε εἰς τέλμα ἐμπεσόντος, παρῆλθεν οὐ βοηθήσας (ἦν δὲ αὐτοῦ μαθητής)· 5
τινῶν δὲ αἰτιωμένων, αὐτὸς Ἀνάξαρχος ἐπῄνει τὸ ἀδιά-
66 φορον αὐτοῦ καὶ ἄστοργον. Λέγεται δὲ οὗτος καὶ δέλφακα
67 λούειν ὑπὸ ἀδιαφορίας. Φαρμάκων δὲ καὶ τομῶν καὶ καύσεων ἐπί τινος ἕλκους αὐτῷ προσενεχθέντων, οὐδὲ 10
τὰς ὀφρῦς συνήγαγεν. Ἐθαύμαζε δὲ Ὅμηρον ὅτι μυίαις καὶ ὄρνισιν εἴκαζε τοὺς ἀνθρώπους, καὶ τό· "Οἵη περ φύλλων γενεή ..." προέφερεν ἀεί. Καὶ τό·

Ἀλλά, φίλος, θάνε καὶ σύ· †τί† ὀλοφύρεαι αὔτως;
Κάτθανε καὶ Πάτροκλος, †ὅσπερ† σέο πολλὸν ἀμείνων. 15

68 Τῶν συμπλεόντων αὐτῷ ποτε ἐσκυθρωπακότων ὑπὸ χειμῶνος, αὐτὸς μετὰ γαλήνης δείξας ἐν τῷ πλοίῳ χοιρίδιον ἐσθίον, εἶπεν ὡς χρὴ τὸν σοφὸν ἐν τοιαύτῃ καθεστάναι ἀταραξίᾳ. Εὐρύλοχος δὲ ὁ μαθητὴς αὐτοῦ τοσοῦτον παρωξύνθη ποτέ, ὥστε τὸν ὀβελίσκον ἄρας 20
69 μετὰ τῶν κρεῶν ἕως τῆς ἀγορᾶς ἐδίωκε τὸν μάγειρον. Καὶ
f. 88r ἐν Ἤλιδι καταπονούμενος ὑπὸ τῶν ζητούν|των ἐν λόγοις, ἀπορρίψας θοἰμάτιον τὸν Ἀλφειὸν ἐνήχετο· [σχοίνῳ δὲ κεντηθεὶς ἀπέθανεν].

12–13 *Iliad.* 6.146 **14-15** *Iliad.* 21.106–107

4 τῶν addidi ex BPF | οἰκείων Φ : γνωρίμων BPF **11** ὅτι μυίαις Φ : ὅτι φησὶ (σφηξὶ recte Herelius) καὶ μυίαις BPF **14** τί Φ : τη B[1] : τίη P : τί ἦ F | αὔτως Φ, αὕτως PF : οὕτως B **15** ὅσπερ Φ et F[2] : ὅ περ P : ὥσπερ BF[1] **16** αὐτῷ Φ : om. BPF **17** μετὰ γαλήνης Φ : γαληνὸς ὢν BPF **23** ἀπορρίψας Φ et BP : ἀπορήξας F | τὸν ἀλφειὸν Φ et FP[4] : πέραν τὸν ἀλφειὸν BP[1] | ἐνήχετο Φ : διενήξατο BPF **23–24** σχοίνῳ δὲ κεντηθεὶς ἀπέθανεν seclusi ut glossema : om. BPF

73. ΤΙΜΩΝ

Ἱερώνυμος ὁ Περιπατητικὸς ἔλεγε περὶ Τίμωνος τοῦ 112
Φλιασίου ὅτι "Ὥσπερ παρὰ τοῖς Σκύθας καὶ οἱ φεύγοντες
τοξεύουσι καὶ οἱ διώκοντες, οὕτως τῶν φιλοσόφων οἱ μὲν
5 διώκοντες αἱροῦσι τοὺς μαθητάς, οἱ δὲ φεύγοντες, ⟨καθά-
περ καὶ ὁ Τίμων."⟩ Εἰώθει δὲ ὁ Τίμων παίζειν καὶ πρὸς τὸν 114
θαυμάζοντα ⟨πάντα⟩ εἶπε· "Τί δ' οὐ θαυμάζεις ὅτι τρεῖς
ὄντες τέτταρας ἔχομεν ἐφθαλμούς;" Ἦν δὲ αὐτὸς ἑτερόφ-
θαλμος καὶ Διοσκουρίδης ὁ μαθητὴς αὐτοῦ, καὶ ὁ πρὸς ὃν
10 ἔλεγεν ὑγιής. Πολλάκις καὶ Κύκλωπα ἑαυτὸν ὁ Τίμων 112
ἐκάλει.

ΤΟΜΟΣ ΔΕΚΑΤΟΣ

74. ΕΠΙΚΟΥΡΟΣ

Ἤρα Λεοντίας Ἐπίκουρος καὶ γέγραφέ ποτε πρὸς 10.5
15 αὐτήν· "Παιὰν ἄναξ, φίλον Λεοντάριον, οἵου κροτοθορύ-
βου ἡμᾶς ἐνέπλησας ἀναγνόντας σου τὸ ἐπιστόλιον."
Πρὸς δὲ Θεμίσταν τὴν Λέοντος γυναῖκα, "Οἷός τε," φησίν,
"εἰμί, ἐὰν μὴ ὑμεῖς πρός με ἀφίκησθε, αὐτὸς τρικύλιστος,
ὅπου ἂν ὑμεῖς παρακαλῆτε, ὠθεῖσθαι." Οὐκ ἠξίου δὲ εἰς 11
20 τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, ὥσπερ ὁ Πυθαγόρας,
λέγων ὅτι Κοινὰ τὰ τῶν φίλων· ἀπιστούντων γὰρ εἶναι τὸ

15–16 *Suda,* 2480 Κροτοθορύβου **17–19** : *Suda,* 986 Τρικύλιστος **21** cf. 4.53; 6.37 et 72; 8.10

5 αἱροῦσι **Φ** : θηρῶσι BPF **5–6** καθάπερ καὶ ὁ Τίμων supplevi ex BPF (excidit ob Τίμων²) **7** πάντα addidi ex BPF | εἶπε **Φ** : ἔφη BPF **15** αὐτήν **Φ** : λεοντίαν BPF : λεόντιον H² et Meibom. **16** ἐνέπλησας **Φ** et *Suda* : ἐνέπλησε(ν) BPF | ἀναγνόντας σου **Φ** et P² : ἀναγνόντι σοι P¹F et *Suda* : ἀναγνοντι B¹ et σοι ss. B² **17** λέοντος **Φ** et BPF : Λεοντέως Gassendi **19** ὑμεῖς **Φ** et *Suda* : ὑμεῖς καὶ θεμίστα BPF **20** ὥσπερ **Φ** : καθάπερ BPF

τοιοῦτον· εἰ δ' ἀπίστων, οὐ⟨δὲ⟩ φίλων. Αὐτός τέ φησιν ἐν ταῖς ἐπιστολαῖς ὕδατι μόνον ἀρκεῖσθαι καὶ ἄρτῳ λιτῷ. Καί, "Πέμψον μοι," φησί, "τυροῦ κυθρίδιον, ἵν' ὅταν βούλωμαι καὶ πολυτελεύσασθαι δύνωμαι."

1 ἀπίστων οὐ⟨δὲ⟩ φίλων scripsi ex BPF : ἄπιστον, οὐ φίλον **Φ** **3** κυθρίδιον **Φ** : κυθριδίου BPF **4** καὶ **Φ** : om. BPF | πολυτελεύσασθαι **Φ** et BP[1] : πολυτελέσασθαι FP[4] | post δύνωμαι addit **Φ** πάθη ὑπερβολὴν οὐ καταλιπόντα τοῦ ἐν αὐτοῖς μεγέθους

CONSPECTUS LOCORUM EXCERPTORUM

I. Magnum excerptum (= Φ), *Suda*, Ps.–Hesychius (= φ)

DL	Φ	*Suda*	φ
1.1–4	1		
1		Δ 1542; Ω 283	
2		M 28; O 710	
6–16	1		
12		Σ 806	
16		E 3853; I 554	
18	1		
19–21		Aι 286	
19–20	2		
21	9		
23–24	10		
26–27	10		
26		Eι 312; Θ 295	
33–37	10		
45	11	A 2833; Σ 776	
49–51	11		
51		Σ 776; 781	
55–61	11		
57		Y 457	
61–63		Σ 776	
63	11		
68–72	12		
68		X 311	
74–81	13		

DL	Φ	*Suda*	φ
74		Π 1659; Υ 663	
76		Π 1658; Χ 16	
79		Π 1659	
80		Α 4305; Β 236	
81		Σ 118	
82–88	14		
83		Κ 2464; Π 1569	
84		Β 270; Δ 1055	
89–93	15		
89		Κ 1719	
91		Κ 1718; 1719	
93		Κ 1719	
94		Υ 447	
95–98	16		
97		Π 1067	
101–105	17		
101		Δ 854	
105–108	18		
107		Μ 1480	
109–112	19		
112		Δ 908	
114–115	19		
116–118	20		
118		Φ 215; Χ 529	
119		Θ 597	
2.1	21	Γ 346; Η 241	
3	22	Α 1988	
6–14	23		
7		Α 1981; Μ 1378; Ο 310	
8		Γ 18; Ε 102	
15		Μ 378	
16		Α 4084	
18–29	24		
18–19		Σ 829	

DL	Φ	*Suda*	φ
22		Δ 400; Σ 829	
23		Σ 829	
24		Ι 728	
26		Λ 377; Σ 829	
31–37	24		
32		Σ 829	
36		Τ 1070	
40		Α 2517	
41–46	24		
42		Τ 628	
46		Κ 2034; Φ 214	
48–49	25		
48		Ξ 47	
51		Π 2538	
52		Ξ 47	
55–57		Ξ 47	
60–62			3
60	26	Αι 346	
61		Αι 346; Σ 1684	
62	26		
65–83	27		
65–66		Α 3908	
66			4
68			4
72			4
74			4
77–79		Α 3909	
80			4
85			4
86–92	3		
86–88		Η 97	
86		Α 3908	
87		Τ 283	
93	3; 4		

DL	Φ	*Suda*	φ
94–95	4		
96–97	5		
97–99			35
99–103	28		
101			35
103			36
106–107			29
107–108	29		
108		E 3539; P 224	
109–110			5
111–112			18
113		M 388	63
114	30		
115–120			63
116–119	30		
121		K 2451	
122–123	31		
125–134			44
125		K 1215	
127–131	32		
134–136	32		
134		N 218	
136–137			44
138	32		
139			44
142–143			44
3.1–2		Π 1707	
4		Π 1707	55
5–7	33		
6		Π 1707	
7–14			55
7–8		A 774	
7		Π 1707	
18–19	33		

DL	Φ	*Suda*	φ
18		Σ 893	
19–20		Π 1707	
20		A 3908	
21		A 4121	
23–24			55
23	33		
26–27			55
26		Π 316	
28–29	33		
28		Σ 706	
30		Γ 214	
31–33	33		
33		I 545	
35	33		
37		Φ 418	
38–39	33		
43–44	33		
45		Σ 95	
47		E 1922	
48–50		Δ 627	
51–52		Δ 1319	
52		E 2110	55
53–55	33	E 1923	
56–58		T 395	
61		E 3413; E 3664; X 166	
63–64		Φ 141	
63		Σ 807; Φ 142	
64		E 22	
67	33		
68–92	6		
94–109	6		
4.1	34	Σ 928	

DL	Φ	*Suda*	φ
2		Δ 81	
3–4	34		
4		E 421	
6–11	35		
6		Π 2904	
7		A 2528; A 2817	
8		M 109; Ξ 42	
10		K 1852; Λ 3	
11			50
14	35	M 820	50
16–18	36		
16		Π 1887	
18–19		O 76	
19		B 121; Δ 1462; E 1594	
20	36	K 2730; Π 1887; Y 644	
21–22			40
22		Σ 229	
24	37		
26–27			41
26		Oι 101	
27	37	Θ 262; Σ 631; Φ 545	
29–35	38		
29		A 1367; Eι 258	
30		E 3816	
32		E 2110; Θ 213	
33		A 2825; Λ 77	
34			8
35		Δ 932	
36–38			8
36		Φ 270	
38		Δ 354	
39		E 665; Π 2388	

DL	Φ	*Suda*	φ
40			8
41–44	38		
42		K 2665	8
43		Γ 41	
44		Π 370	
45		E 3181	
46–54	39		
46		A 249; Σ 1377	
47		K 112	
56–57			13
58			14
59–61	40		
59		B 174; Λ 72	
62–64	41		
62		K 400	
64		K 400	
66	41		
5.1–3		A 3929	
1		N 399	
2	42		*Prooem.*
3–4		K 240	
4	42		
5–6		A 3929	
9–10		E 98	
9	42		
11	42		
16–21	42		
28–34			6
36–38		Θ 199	
37	43		37
39–43	43		
40		Θ 199	
42		Θ 199	
44–45		Θ 199	

DL	Φ	*Suda*	φ
53	43		
58		Σ 1185	
60	44		
65	45		
67	45	Ω 265	
72		P 273	
75–78	46		
76–77		Φ 510	
77–78		Δ 429	
79		M 155	
80		Δ 429	
82–83	46		
85		Σ 512	
86	47		
89–93	47		
92–93		Π 449	
6.1–11	48		
10–13			7
13		K 64	*Prooem.*
18	48	Φ 532	
19			7
20–69	49		
20–21		Δ 1143	
71–79	49		
74		Δ 1143; E 3640	
76		I 761	
77		N 577	
79		A 180; Δ 1143; O 28	
82	50		
84		A 3274; O 351	
85–93	51		
85–88		K 2341	
85		I 517	
94	52		

DL	Φ	*Suda*	φ
96–98	53		
96–97		Η 448	
98		Θ 150	
102	54	Φ 180	
103–105	49		
104–105		Κ 2712	
7.1-7	55		
1–2		Αι 76	
2		Ζ 79; Σ 1313	
3		Ε 3531	
4		Ν 604	
5		Ζ 79; Π 1469; Σ 1150	
12–15	55		
12		Λ 438	
15			32
17–24	55		
21		Μ 364	32
25		Κ 76	
26–29	55		
26		Α 3722	
27–28		Ζ 79	
28		Α 4420	
30		Α 4387; Κ 21	
32–33	55		
32		Κ 327	
36			32
37		Δ 202	
39–40	61		
42		Δ 627	
50–51		Φ 85	
52–53		Ν 524	
54		Π 2495	
55–56		Σ 835	
56–59		Λ 658	

DL	Φ	*Suda*	φ
59		Β 104; Σ 782	
60		Α 1951; Α 229;	
		Ο 627	
62		Α 1706; Α 4435	
63–64		Κ 1039	
65–66		Α 2827	
70	7		
74		Αι 371	
75		Α 537; Α 1827;	
		Π 1572	
76–77		Τ 1055	
76		Ε 3569	
77		Λ 659	
82	7		
85–87		Ο 601	
89–93		Α 3830	
92		Δ 1073; Φ 726	
93		Α 403; Ε 123;	
		Ε 3384; Κ 150;	
		Κ 427; Μ 371	
94–98		Α 118	
95		Κ 150	
98–99		Λ 865	
99–101		Κ 246	
99		Δ 242; Δ 244; Χ 497;	
		Χ 499	
100		Κ 245	
101–103		Ο 406	
104–107		Α 478	
107–110		Κ 77	
110–112		Π 27	
111		Λ 843; Φ 304	
112	7	Φ 559	
113–114		Ε 2341	

DL	Φ	*Suda*	φ
114		Ε 2767; Η 97	
115		Α 3997	
116		Ε 3633	
117–131	7		
117		Α 2873; Α 4398; Α 4462	
118		Α 874; Α 3683	
119		Ε 3735; Θ 305	
120–121		Α 1654	
121		Δ 1370; Δ 1424; Ε 807; Π 1917	
122		Β 147; Δ 1424	
123		Α 1656; Σ 123	
126–128		Α 3830	
127		Α 3831	
130		Ε 3070	
132–133		Φ 862	
134–146	7		
134		Α 4092	
135		Γ 424; Ε 2739; Σ 1105	
136–137		Σ 1238	
137–140		Κ 2148	
138		Ο 940	
141		Χ 533	
143–146		Π 149	
145		Α 1956	
147	61	Θ 178	
148–149	7	Φ 864	
149		Ει 142	
151–159	7		
151	61	Δ 113; Χ 234	
152–153		Κ 1996	
152		Θ 254; Ι 598; Φ 494	

DL	Φ	*Suda*	φ
153		Α 4252; Β 549; Π 831; Υ 75; Χ 5	
154		Κ 1377; Π 2269; Σ 291; Τ 1224	
155		Δ 595; Κ 2654	
156		Ζ 137	
158		Υ 442	
159	61	Η 41	
160–164	56		
160		Τ 282	
165		Ε 2627; Υ 603	
166–167	58		
166	57		
168–174	59		
168		Κ 1711; Φ 696	
170–171			42
173			42
176	59		
177	60	Ε 3569	
179–184	61		
179–180		Χ 568	
181			78
184–185		Χ 568	
186–188	61		
186–187		Χ 569	
188–189			78
8.2	62		
8–11	62		
13	62		
15	62		
17–26		Π 3124	
17–18	62		
20–21	62		
20		Π 929	

DL	Φ	*Suda*	φ
27–28	62		
30–32	62		
30		N 524	
31		Δ 269	
32		O 344	
34–36	62		
34–35		Π 3124	
36–37		Ξ 46	
36		Σ 1264	
38–39		Π 3124	
40–41	62		
44	62		
46		A 4523	
51		E 1002	
53		E 1002	
58		E 1002	
59–61		A 3242	
60	63	E 1002	
64	63		
65		A 1026	31
67–68			31
69–70	63		
69		E 1002	
73		E 1002	31
74	63		
76–77	63		
76		N 346	
77		E 1002	
79	64		
82			9; 10
84		Y 533; Φ 384	38
86–88		E 3429	
90–91	65		
9.1		H 472	

DL	Φ	*Suda*	φ
3–5	66		
3	66		34
7–11			34
12		Δ 400	
16		A 2046	34
17		Λ 309	
19–20			51
20		H 174	
21–22	67		
21		Π 675	
23		E 3187	
24			45
25–27		Z 77	
26–27	68		
28		E 768	
29		Z 77	33
30–33			43
34–35		Δ 447	
34	69		
35			23
36	69		
37		Δ 448; Π 971	
38–39			23
39	69		
42–43	69	Δ 448	
43		Π 234	
44–45		A 1827	23
45		E 3446	
46		Δ 447; T 1019	
47		K 2348	
50		Π 2958	
51–52	70		
53–54		Π 2958; Π 3132	
53		K 2166; Φ 610	
57			24

DL	Φ	*Suda*	φ
58–60	71		
58			11
61		Ε 2824; Π 3238	56
62–63	72		
63–64			56
66–69	72		
66			56
69–91	8		
69–71		Π 3241	
73		Τ 662	
74–76		Ο 802	
75		Μ 115	
79		Ο 802; Π 3216	
93–108	8		
96–97		Σ 325	
101		Π 3238	
112	73		
114	73		
10.1–3		Ε 2404	
2			30
5–6			30
5	74	Κ 2480; Τ 986	
8			30
11	74		
13–15		Ε 2404	
15–16			30
16		Π 3119	
26–27			30
31–34	9		
33–34		Π 2495	
38–40	9		
63–67	9		
117–121	9		
123	9		

DL	Φ	*Suda*	φ
125–137	9		
139	9		

II. Burley = Gualteri Burlaei *De vita* et *moribus philosophorum*, ed. H. Knust (Tubingae, 1886)

DL	Burley
1.22	1 (p. 2.8–10; 12–13)
23	1 (2.13–18; 4.9–10)
24	1 (4.4)
25	1 (4.4–5)
26	1 (4.5–6)
27	1 (4.7–9)
33	1 (8.1–3)
34	1 (6.18–22)
35	1 (10.3–4)
36	1 (10.15–15)
37	1 (10.15–12.5)
38	1 (12.8)
50	2 (12.15–16; 14.12–14)
51	2 (12.16–18; 14.15–18)
55	2 (16.16–19)
56	2 (16.19–21)
57	2 (16.21–24; 16.26–18.1)
58	2 (20.4–5; 6–9)
59	2 (14.5–12; 16.25–26; 22.4–6)
60	2 (18.1–2; 3–7)
61	2 (22.7)
62	2 (12.18; 22.16)
63	2 (15.13–15)
64	2 (15.3–12)
68	3 (28.4–5)
69	3 (22.26–24.5; 7–9)

DL	Burley
70	3 (24.10–26.6)
71	3 (26.8–12)
74–75	4 (28.8–17)
76	4 (28.18–21; 30.4–7)
77	4 (30.9–10; 30.19–32.4)
78	4 (30.10–19)
79	4 (32.5–6)
82	5 (32.10–16)
83	5 (32.20–34.11)
85	5 (36.1–2)
86	5 (36.3–7; 38.9–15; 40.1–2)
87	5 (36.7–11; 13–15; 38.6–10; 38.15–40.1)
88	5 (36.15–38.1; 40.4–5)
89	6 (40.9–10; 44.5–6)
91	6 (40.10–14; 15–17)
92	6 (42.3–44.2)
93	6 (44.2–6)
95	7 (46.3–4)
97	7 (44.9–15)
98	7 (44.16–46.2)
101–102	10 (48.21–28)
101	10 (48.17–19)
102	10 (52.16–18)
103	10 (50.1–7; 52.5–7)
104	10 (50.7–12; 52.2–3; 7–12; 19–21)
105	10 (50.12–15; 50.17–52.1)
106	9 (52.23)
108	9 (52.23–54.5)
109	12 (54.8–17)
110	12 (54.17–56.3)
111–112	12 (56.9–14)
116	13 (56.16–22)
118	13 (56.22–58.1)

DL	Burley
119	13 (56.8)
2.1	9 (48.2)
3	16 (64.25–26); 63 (272.2–3)
6	18 (80.13)
7	18 (80.12; 15–18; 84.4)
10	18 (82.5–8)
12	18 (84.6–7)
16	18 (80.13); 30 (110.1)
18	30 (108.24–110.1)
21	30 (112.15–17)
26	30 (114.1–5)
31	30 (136.24–138.1)
32	30 (122.11–12; 126.18–19)
33	30 (126.19–21)
34	30 (120.12–18)
35	30 (114.10–11; 140.13–14)
36–37	30 (118.4–10)
36	30 (114.11–13; 116.10–13)
37	30 (118.10–13)
43	30 (142.5–7)
48	32 (150.7; 11–12)
49	32 (150.5–6)
56	32 (150.8–9; 152.3)
60	35 (156.19)
65–66	31 (142.15–19; 144.1–5)
67	31 (144.5–10)
68	31 (144.11–14; 144.17–146.3)
69	31 (144.14–17; 146.3–8)
70	31 (146.8–13)
71	31 (146.13–17; 148.3–7)
108	37 (160.16)
3.1	52 (214.11–14)
4	52 (216.5–6)
38	52 (220.22–222.1)

DL	Burley
4.1	57 (252.19–20)
5.1	53 (234.4–9)
9	53 (234.10–12)
17	53 (240.5–6; 240.18–242.4)
18	53 (240.7–9; 242.4–6)
19	53 (240.9–11; 16–18; 242.6–8)
20	53 (240.14–16; 242.8–13)
21	53 (240.1; 11–14; 242.13–14)
6.2	33 (152.6)
20–21	33 (152.6–7)
21	50 (194.6–8)
32	50 (206.4–9)
40	50 (208.2–4)
58	31 (148.12–13)
60	50 (206.20–22)
7.27–28	25 (94.15–16)
28	78 (304.20–21)
8.10	17 (76.6–7)
18	17 (74.3–13)
9.58	67 (280.28)
59	67 (282.5–8)

III. Arsenii *Violetum* (ed. Chr. Walz, Stutgardiae, 1832) et 'Eudociae Augustae' [i.e. Constantini Palaeocappae] *Violarium* (ed. Io. Flach, Lipsiae, 1880)

DL	Arsenius	'Eudocia'
1.5	p. 266	
71	479	
73	480	
83–85		233
86	148	
91	328	
92	327	
97	418	
98	419	
99	418	
101–102		182
103	105	
104	105 s.	
105	105	
106	105	
2.1–2		94
3		95
6	104	
6–7		92
7	104	
10	104 s.	

DL	Arsenius	'Eudocia'
15		92
16		179
17		179
33	438	
34	436	
36–37	438	
54	377	
64		86
65		175
66		175
67	113	175
68		175
69	111; 113	
70	112; 113	
71	114; 115	
72	112	
73	114; 115	
74–74	115	
74	114	
75	115	
76	112; 116	
77	115; 116	
78	112	
79	116	
83		175
106	253	
111–112		324
124		252
4.28		171
29		171
31		171
32–33		171
33–34		171
37		171
44		171

DL	Arsenius	'Eudocia'
47		235
58		235
64	325	
65	325	
5.17	120	
18	122	
19	120 s.	
20	121	
40	295; 296	
51	119	
65	342	
75		322
78		322
80		322
6.1	106 s.	96
2		95
4	107	
5	107	
6	108	
7	108	
8	108	
9	108	
10–11	108	
11	109	
12	109	
13		95
14	109	95
15	109	
21–23		332
21	198	
23		332
24		332
25		332
26		332
27–28	199	

DL	Arsenius	'Eudocia'
27	198	
29	199	332
30	199	
31		332
32		332
34	204	332
36	204 s.	
37	205	
38	206	
39	206	
40	205; 206	332
41	197	
43	206	332
44–45	206	
45	206; 207	332
46	207	
47		332
49	207	332
50	199; 208	332
51	208	
52	200; 208	332
53	200	
54		332
55	201; 209	332
56	208	332
57	201; 205	332
58	201	332
59	202	
60	202	332
61	202	332
62		332
63	202	332
65	202	332
66	202	

DL	Arsenius	'Eudocia'
67	202	
68	203	332
72	203	
74	204	332
76		332
78		332
79		332
80		332
81		329
7.14–15	266	
18	266	
19	266 s.	
20	266	
21	267	
22	267	
23	267	
24	267	
26	267	
166–167		326
171	326; 327	
172	327	
173	327	
174	326	
182	480	
183	481	
186	482	
187	481	
8.51		402
53		402
54		402
55–56		402
57–58		402
58–59		402
60	251	
63	251	

DL	Arsenius	'Eudocia'
69		402
70		402
72–73		402
76	251	
78		408
79		185
83		90
86		411
9.15		95
34		319
35–36		319
37		319
38		319
41		319
42–43		319
42	192 s.	
43	193	
47–49		319
57		329
58–59	103	
59		91
60		91
10.1–2		406
13–14		406
22		406
24		406
26		406
28		406
35–116		om. Flach[1]
117		406

1 In A. Villoisoni *Anecdotis gr.* I (Venetiis, 1781), pp. 173–192, invenies.